Κύδιστ' ἀθανάτων, πολυώνυμε, παγκρατὲς αἰεὶ
Ζεῦ, φύσεως ἀρχηγέ, νόμου μέτα πάντα κυβερνῶν,
χαῖρε· σὲ γὰρ πάντεσσι θέμις θνητοῖσι προσαυδᾷν.
Ἐκ σοῦ γὰρ γένος ἐσμέν, ἑνὸς μίμημα λαχόντες
μοῦνον, ὅσα ζώει τε καὶ ἕρπει θνήτ' ἐπὶ γαῖαν.
Τῷ σε καθυμνήσω, καὶ σὸν κράτος αἰὲν ἀείσω.
Σοὶ δὴ πᾶς ὅδε κόσμος ἑλισσόμενος περὶ γαῖαν
πείθεται, ᾗ κεν ἄγῃς, καὶ ἑκὼν ὑπὸ σεῖο κρατεῖται·
τοῖον ἔχεις ὑποεργὸν ἀνικήτοις ἐνὶ χερσὶν
ἀμφήκη, πυρόεντα, ἀειζώοντα κεραυνόν.
Τοῦ γὰρ ὑπὸ πληγῆς φύσεως πάντ' ἐῤῥίγασιν,
ᾧ σὺ κατευθύνεις κοινὸν λόγον, ὃς διὰ πάντων
φοιτᾷ, μιγνύμενος μεγάλοις μικροῖς τε φάεσσιν,
ὡς τόσσος γεγαώς, ὕπατος βασιλεὺς διὰ παντός.
Οὐδέ τι γίγνεται ἔργον ἐπὶ χθονὶ σοῦ δίχα, δαῖμον,
οὔτε κατ' αἰθέριον θεῖον πόλον, οὔτ' ἐνὶ πόντῳ,
πλὴν ὁπόσα ῥέζουσι κακοὶ σφετέρῃσιν ἀνοίαις.
Ἀλλὰ σὺ καὶ τὰ περισσὰ ἐπίστασαι ἄρτια θεῖναι,
καὶ κοσμεῖν τὰ ἄκοσμα, καὶ οὐ φίλα σοὶ φίλα ἐστίν.
Ὧδε γὰρ εἰς ἓν ἅπαντα συνήρμοκας ἐσθλὰ κακοῖσιν,
ὥσθ' ἕνα γίγνεσθαι πάντων λόγον αἰὲν ἐόντα,
ὃν φεύγοντες ἐῶσιν ὅσοι θνητῶν κακοί εἰσι,
δύσμοροι, οἵ τ' ἀγαθῶν μὲν ἀεὶ κτῆσιν ποθέοντες
οὔτ' ἐσορῶσι θεοῦ κοινὸν νόμον, οὔτε κλύουσιν,
ᾧ κέν πειθόμενοι σὺν νῷ βίον ἐσθλὸν ἔχοιεν.
Αὐτοὶ δ' αὖθ' ὁρμῶσιν ἄνευ καλοῦ ἄλλος ἐπ' ἄλλα,
οἱ μὲν ὑπὲρ δόξης σπουδὴν δυσέριστον ἔχοντες,
οἱ δ' ἐπὶ κερδοσύνας τετραμμένοι οὐδενὶ κόσμῳ,
ἄλλοι δ' εἰς ἄνεσιν καὶ σώματος ἡδέα ἔργα,
σπεύδοντες μάλα πάμπαν ἐναντία τῶνδε γενέσθαι.
Ἀλλὰ Ζεῦ πάνδωρε, κελαινεφές, ἀρχικέραυνε,
ἀνθρώπους ῥύοιο ἀπειροσύνης ἀπὸ λυγρῆς,
ἣν σύ, πάτερ, σκέδασον ψυχῆς ἄπο, δὸς δὲ κυρῆσαι
γνώμης, ᾗ πίσυνος σὺ δίκης μέτα πάντα κυβερνᾷς,
ὄφρ' ἂν τιμηθέντες ἀμειβώμεσθά σε τιμῇ,
ὑμνοῦντες τὰ σὰ ἔργα διηνεκές, ὡς ἐπέοικε
θνητὸν ἐόντ', ἐπεὶ οὔτε βροτοῖς γέρας ἄλλο τι μεῖζον,
οὔτε θεοῖς, ἢ κοινὸν ἀεὶ νόμον ἐν δίκῃ ὑμνεῖν.

(Stobæus Eclog. phys. lib. I cap. 2, 12, tom. I p. 13-14 ed. Gaisford. Vs. 3 πάντεσσι conjecit Scaliger; πᾶσι codices. — Vs. 4 ἤχου μίμημα librorum lectio est quam mutavi in ἑνὸς μίμημα. — Vs. 5 μοῦνον Ursinus, vulgo μοῦνοι. — Vs. 7 σοὶ δὴ Scaliger; σοὶ δὲ codd. — Vs. 9 ἐνὶ χερσὶν Brunckius; ὑπὸ χερσὶν codices. — Vs. 13

Hymnus in Jovem.

Gloriosissime immortalium, celebratissime, semper omnipotens
Jupiter, naturæ auctor, certa lege omnia gubernans,
salve; te enim alloqui omnibus mortalibus licet.
Nam tua progenies sumus, unius imaginem sortiti
solam, quotquot vivimus atque incedimus per terram mortales.
Quapropter te canam tuamque potentiam perpetuo celebrabo.
Tibi profecto totus hic mundus qui terram ambit
paret, quoquo agis, et volens a te regitur.
Adeo habes obsequens invictis in manibus
fulmen utrimque acutum, igneum, semper vivum.
Hujus enim ictu percussa omnis natura horrescit,
quo tu moderaris mentem communem, quæ omnia
pervadit, mixta parvis magnisque luminibus,
ut tantus rerum dominus summusque omni tempore rex.
Neque ulla res fit in terris sine te, Deus,
neque in æthereo divinoque cœlo, neque in mari,
nisi quantum nequitiæ ab improbis suâ amentiâ admittitur.
Sed tu etiam imparia scis paria reddere,
et ornare inornata, atque ingrata tibi grata sunt.
Ita enim in unum cuncta coegisti bona cùm malis,
ut una omnium mens eaque immortalis oriatur,
quam fugiendo missam faciunt quicunque mortalium mali sunt,
miseri, qui bonorum quidem possessionem semper exoplantes
neque intuentur communem Dei legem, neque audiunt,
cui obtemperantes prudenter vitam honestam degerent.
Ipsi autem inhoneste alius ad alia prorumpunt,
hi indomita gloriæ cupiditate flagrantes,
illi indecenter ad dolos fraudesque conversi,
alii lasciviæ et corporis gaudiis dediti,
properantes omnino contraria his assequi.
Sed Jupiter omnium largitor, atras efficiens nubes, fulminis moderator,
homines miserabili ignorantia liberes,
quam tu, pater, ex animis pelle et concede ut consequamur
intelligentiam, qua fretus tu juste omnia gubernas,
ut honorati honore te remuneremur,
carminibus facta tua perpetuo celebrantes, quemadmodum decet
hominem, quoniam neque mortalibus ullum aliud majus donum contigerit
nec diis quam si communem legem semper juste celebremus.

μεγάλοις μικροῖς τε φάεσσιν Brunck; μεγάλων μικροῖσι φάεσσιν libri. — Vs. 16 ἐνὶ πόντῳ Brunck.; ἐπὶ πόντῳ membranæ. — Vs. 21 ἐόντα vulgo; alii ἐόντων. —Vs. 26 αὖθ' Cod. Augustanus; vulgo αὖ. — Vs. 29-30. Inter ἡδέα ἔργα et σπεύδοντες in membranis quibusdam legitur ἐπ' ἄλλο τε δ' ἄλλα φέροντες quod hemistichium cum Brunckio omisi. — Vs. 32 ῥύοιο conjecit Brunckius; in libris ῥύου.)

ἈΠΟΣΠΑΣΜΑΤΙΑ.

Μὴ πρὸς δόξαν ὅρα, ἐθέλων σοφὸς αἶψα γενέσθαι,
μηδὲ φοβοῦ πολλῶν ἄκριτον καὶ ἀναιδέα δόξαν.
Οὐ γὰρ πλῆθος ἔχει συνετὴν κρίσιν, οὔτε δικαίαν,
οὔτε καλήν· ὀλίγοις δὲ παρ' ἀνδράσι τοῦτο κεν [εὕροις.

(Clemens Alex. Strom. V p. 554 A. Καὶ ἡ Κλεάνθους δὲ τοῦ Στωϊκοῦ φιλοσόφου ποιητικὴ ὧδέ πως τὰ ὅμοια γράφει κτλ.)

Πόρναις τε δοῦναι, σῶμά τ' εἰς νόσους πεσὸν
δαπάναις ἐπιτρῖψαι.

(Plutarchus Moral. p. 889 A. Cf. Eurip. Phœn. vs. 21 : ὁ δ' ἡδονῇ δοὺς εἴς τε βακχεῖον πεσών.)

Τἀγαθὸν ἐρωτᾷς μ' οἷόν ἐστ', ἄκουε δή·
Τεταγμένον, δίκαιον, ὅσιον, εὐσεβές,
κρατοῦν ἑαυτοῦ, χρήσιμον, καλόν, δέον·
αὐστηρόν, αὐθέκαστον, αἰεὶ συμφέρον·
ἄφοβον, ἄλυπον, λυσιτελές, ἀνώδυνον,
ὠφέλιμον, εὐάρεστον, ἀσφαλές, φίλον,
ἔντιμον, ὁμολογούμενον, * * * *
εὐκλεές, ἄτυφον, ἐπιμελές, πρᾶον, σφοδρόν,
χρονιζόμενον, ἄμεμπτον, αἰεὶ διαμένον.
Ἀνελεύθερος πᾶς ὅστις εἰς δόξαν βλέπει,
ὡς δὴ παρ' ἐκείνης τευξόμενος καλοῦ τινος.

(Clemens Alex. Admonit. ad Gentes pag. 35 : Κλεάνθης δὲ ὁ Πισαδεύς, ὁ ἀπὸ τῆς στοᾶς φιλόσοφος, ὃς οὐ θεογονίαν ποιητικήν, θεολογίαν δὲ ἀληθινὴν ἐνδείκνυται, οὐκ ἀπεκρύψατο τοῦ θεοῦ πέρι ὅ, τι περ εἶχε φρονῶν· τἀγαθὸν ἐρωτᾷς κτλ. Ἐνταῦθα σαφῶς (οἶμαι) διδάσκει ὁποῖός ἐστιν ὁ θεός, καὶ ὡς ἡ δόξα ἡ κοινὴ καὶ ἡ συνήθεια τοὺς ἑπομένους αὐταῖν, ἀλλὰ μὴ τὸν θεὸν ἐπιζητοῦντας ἐξηνδραποδιζέσθην. Pro Πισαδεὺς Menagius ad Diog. Laert. VII, 168 legi vult Ἀσσεύς. Post ὁμολογούμενον posui lacunæ signa cum Scaligero apud Stephanum Poes. phil. p. 217.)

Λ. Τί ποτ' ἔσθ' ὅ, τι βούλει, Θυμέ; τοῦτό μοι [φράσον.
Θ. Ἔχω, Λογισμέ, πᾶν ὃ βούλομαι ποιεῖν.
Λ. Βασιλικόν ἐστι. Πλὴν ὅμως εἰπὸν πάλιν.
Θ. Ὧν ἂν ἐπιθυμῶ, ταῦθ' ὅπως γενήσεται.

(Galenus de placitis Hippocr. et Plat. lib. V, 170 : Τὴν μὲν τοῦ Κλεάνθους γνώμην ὑπὲρ τοῦ παθητικοῦ τῆς ψυχῆς ἐκ τῶνδε φαίνεσθαί φησι τῶν ἐπῶν [ὁ Ποσειδώνιος]· τί ποτ' ἔσθ' κτλ. Ταυτὶ τὰ ἀμοιβαῖα Κλεάνθους φησὶν εἶναι Ποσειδώνιος, ἐναργῶς ἐνδεικνύμενος τὴν περὶ τοῦ παθητικοῦ τῆς ψυχῆς γνώμην αὐτοῦ, εἴγε δὴ πεποίηκε τὸν Λογισμὸν τῷ Θυμῷ διαλεγόμενον ὡς ἕτερον ἑτέρῳ. Colloquuntur igitur Ratio et Cupiditas. Vs 57 ἔχω λογισμὸν codd.; ἔχω, Λογισμέ, correxit Wyttenbachius Opusc. II p. 271. Vs. 58. βασιλικόν γε membranæ; βασιλικόν ἐστι scripsi metri causa. — Vs. 59 ὡς ἂν ἐπιθυμῶ libri mss., sed requiritur ὧν ἂν ἐπιθυμῶ quod textui inserui.)

Κακουργότερον οὐδὲν διαβολῆς ἐστί πω·
λάθρᾳ γὰρ ἀπατήσασα τὸν πεπεισμένον
μῖσος ἀναπλάττει πρὸς τὸν οὐδὲν αἴτιον.

(Stobæus Floril. XLII, 2.)

Ὅστις ἐπιθυμῶν ἀνέχετ' αἰσχροῦ πράγματος,

FRAGMENTA.

Ne ad gloriam specta, sapiens celeriter fieri volens,
neve iniquam gravemque et vehementem multorum de te [sententiam reformida.
Etenim multitudo neque perite judicat neque juste,
neque ex æquo et bono; in paucis vero hominibus hoc [animadvertas. —
Meretricibus se dare corpusque in morbum delapsum
dispendio exhaurire. —
Rogas me quale sit bonum; audi igitur.
Compositum, justum, sanctum, pium,
continens se, utile, honestum, necessarium;
austerum, rigidum, semper conducibile;
intrepidum, tristitiæ expers, fructuosum, vacuum dolore,
commodum, placitum, tutum, gratum,
honorificum, confessum, * * * *
gloriosum, modestum, diligens, mansuetum, acre,
diuturnum, inculpatum, semper permanens.
Illiberalis est quicumque ad gloriam spectat,
nempe ex illa aliquid honesti consecuturus. —
R. Quidnam est quod vis, Cupiditas? hoc mihi dic.
C. Possum, o Ratio, facere quidquid volo.
R. Regium quidem id est. Nihilominus tamen dic rursus.
C. Quæcumque desidero, hæc curabo ut fiant. —
Nihil quidquam est malitiosius calumnia.
Hæc enim ubi clam aliquem ad credendum adductum de- [cepit,
odium concitat in eum qui nihil commeruit. —
Quicumque rem turpem concupiscere sustinet,

οὗτος ποιήσει τοῦτ', ἐὰν καιρὸν λάβῃ.

(Stobæus Floril. VI, 19.)

Πόθεν ποτ' ἄρα γίγνεται μοιχῶν γένος;
ἐκ κριθιῶντος ἀνδρὸς ἐν ἀφροδισίοις.

(Stobæus Floril. l. c.)

Ἄγετε δή μ', ὦ Ζεῦ, καὶ σύ γ' ἡ Πεπρωμένη,
ὅποι ποθ' ὑμῖν εἰμι διατεταγμένος·
ὡς ἕψομαί γ' ἄοκνος· ἢν δὲ μὴ θέλω,
κακὸς γενόμενος οὐδὲν ἧττον ἕψομαι.

(Epictet. Man. cap. 52 [cap. 77 p. 328 ed. Salmas.] cf. Diss. IV, 1, 131; 4, 34. Scripsi ἄγετε δή μ' ὦ; vulgo ἄγε δή με ὦ, quod nonnulli in ἄγου δέ μ' ὦ mutarunt. Latine vertit Seneca hos versus Epist. 107.)

Χωρία καταλογάδην γεγραμμένα.

Ὁ δὲ Κλεάνθης οὕτως συνηρώτα·

Εἰ φύσις φύσεως ἐστι κρείττων, εἴη ἄν τις ἀρίστη φύσις· εἰ ψυχὴ ψυχῆς ἐστι κρείττων, εἴη ἄν τις ἀρίστη ψυχή· καὶ εἰ ζῷον τοίνυν κρεῖττόν ἐστι ζῴου, εἴη ἄν τι κράτιστον ζῷον· οὐ γὰρ εἰς ἄπειρον ἐκπίπτειν πέφυκε τὰ τοιαῦτα. Ὥσπερ οὖν οὐδὲ ἡ φύσις ἐδύνατο ἐπ' ἄπειρον αὔξεσθαι κατὰ τὸ κρεῖττον, οὐδ' ἡ ψυχή, οὔτε τὸ ζῷον. Ἀλλὰ μὴν ζῷον ζῴου κρεῖττόν ἐστιν, ὡς ἵππος χελώνης, εἰ τύχοι, καὶ ταῦρος ὄνου, καὶ λέων ταύρου. Πάντων δὲ σχεδὸν τῶν ἐπιγείων ζῴων καὶ σωματικῇ καὶ ψυχικῇ διαθέσει προέχει τε καὶ κρατιστεύει ὁ ἄνθρωπος. Τοίνυν κράτιστον ἂν εἴη ζῷον καὶ ἄριστον. Καὶ οὐ πάνυ τι ὁ ἄνθρωπος κράτιστον εἶναι δύναται ζῷον· οἷον εὐθέως ὅτι διὰ κακίας πορεύεται τὸν πάντα χρόνον, εἰ δὲ μή γε τὸν πλεῖστον. Καὶ γὰρ εἴποτε περιγένοιτο ἀρετῆς, ὀψὲ καὶ πρὸς ταῖς τοῦ βίου δυσμαῖς περιγίνεται· ἐπίκηρόν τ' ἐστὶ καὶ ἀσθενὲς καὶ μυρίων δεόμενον βοηθημάτων, καθάπερ τροφῆς καὶ σκεπασμάτων καὶ τῆς ἄλλης τοῦ σώματος ἐπιμελείας, πικροῦ τινος τυράννου τρόπον ἐφεστῶτος ἡμῖν καὶ τὸν πρὸς ἡμέραν δασμὸν ἀπαιτοῦντος, καὶ εἰ μὴ παρέχοιμεν ὥστε λούειν αὐτὸ καὶ ἀλείφειν καὶ περιβάλλειν καὶ τρέφειν, νόσους καὶ θάνατον ἀπειλοῦντος. Ὥστε οὔτε τέλειον ζῷον ὁ ἄνθρωπος, ἀτελὲς δὲ καὶ πολὺ κεχωρισμένον τοῦ τελείου. Τὸ δὲ τέλειον καὶ ἄριστον κρεῖττον μὲν ἂν ὑπάρχοι ἀνθρώπου καὶ πάσαις ταῖς ἀρεταῖς συμπεπληρωμένον καὶ παντὸς κακοῦ ἀνεπίδεκτον. Τοῦτο δὲ οὐ διοίσει Θεοῦ. Ἔστιν ἄρα Θεός.

(Sextus Empiricus adv. Math. IX, 88.)

Κλεάνθης ἔλεγεν, εἰ τέλος ἐστὶν ἡ ἡδονή, πρὸς κακοῦ τοῖς ἀνθρώποις τὴν φρόνησιν δεδόσθαι.

(Stobæus Floril. VI, 37. Posui δεδόσθαι cum Meinekio; vulgo δίδοσθαι.)

Κλεάνθης ἐρωτώμενος πῶς ἄν τις εἴη πλούσιος, εἶπεν· εἰ τῶν ἐπιθυμιῶν εἴη πένης.

(Stobæus Floril. XCII, 25.)

Κλεάνθης, ὑπὸ γλώττης ἕλκους αὐτῷ γενομένου, τὴν τροφὴν οὐκ ἐδύνατο παραπέμπειν· ὡς δὲ ῥᾷον ἔσχε καὶ ὁ ἰατρὸς αὐτῷ τροφὴν προσήγαγεν « σὺ δέ με » ἔφη « βούλει ἤδη τὸ πλέον τῆς ὁδοῦ κατανύ-

---

is etiam faciet eam, opportunitatem nactus. —
Unde tandem nascitur adulterorum genus?
E viro in rebus venereis lasciviente. —
Ducite me, o Jupiter, tuque Sors,
quocumque a vobis destinatus sum;
nam impigre certe sequar: quodsi nolo,
malus factus nihilominus sequar.

Loci soluta oratione scripti.

Cleanthes sic interrogabat:

Si natura naturæ præstat, fuerit optima quædam natura: si anima animæ præstat, fuerit optima quædam anima, ac si porro animal animali præstantius est, fuerit præstantissimum aliquod animal. Neque enim naturà ita comparatum est, ut talia in infinitum procedant. Quemadmodum igitur ne natura quidem poterat in infinitum præstantià crescere, sic neque anima, neque animal. Atqui animal animali præstantius est, ut equus testudine, verbi gratia, et taurus asino et leo tauro. Sed omnibus prope terrestribus animantibus corporis animique affectione præstat et antecellit homo. Ergo præstantissimum fuerit animal et optimum. At non omnino potest homo præstantissimum esse animal. Exempli gratia, quia semper vitiis deditus est, nisi forte diutissime. Etenim si quando virtutis compos fiat, sero et circa vitæ finem compos fit: estque animal caducum et infirmum sexcentarumque rerum auxilio indigens, velut victu cultuque et reliqua corporis cura, quod importuni tyranni in morem nobis præpositum est et sublucanum tributum exigit, ac nisi id ita exhibeamus, ut lavemus et ungamus et vestiamus et nutriamus, morbos et mortem nobis minatur. Itaque non perfectum animal homo est, sed imperfectum longeque a perfecto remotum. Perfectum vero et optimum præstantius quidem homine fuerit et omnibus virtutibus ornatum omnisque mali immune. Hoc autem non differet a Deo. Est ergo Deus.

Cleanthes dicebat, si finis esset voluptas, tamquam malum hominibus datam esse prudentiam.

Cleanthes quærenti, quomodo quis dives evadere posset, respondit: Si cupiditatum fuerit inops.

Cleanthes sub lingua ulcere ei enato cibum nequibat transmittere: quum vero melius se haberet cibumque ei medicus adhiberet: « Tu vero me, inquit, vis majore

σαντα ἀναστρέφειν, εἶτα πάλιν ἐξ ὑπαρχῆς τὴν αὐτὴν ἔρχεσθαι; » καὶ ἐξῆλθεν τοῦ βίου.

(Stobæus Floril. VII, 54.)

Σιωπῶντος τοῦ Κλεάνθους, ἐπεί τις ἔφη « τί σιγᾷς; καὶ μὴν ἡδὺ τοῖς φίλοις ὁμιλεῖν », « Ἡδύ, ἔφη, ἀλλ' ὅσῳ ἥδιον, τοσῷδε μᾶλλον αὐτοῦ τοῖς φίλοις παραχωρητέον. »

(Stobæus Floril. XXXIII, 8.)

Κλεάνθης ἔφη τοὺς ἀπαιδεύτους μόνῃ τῇ μορφῇ τῶν θηρίων διαφέρειν.

(Stobæus Floril. IV, 90.)

Κλεάνθης ἔφη τὸν ὀμνύοντα ἤτοι εὐορκεῖν ἢ ἐπιορκεῖν καθ' ὃν ὄμνυσι χρόνον. Ἐὰν μὲν γὰρ οὕτως ὀμνύῃ ὡς ἐπιτελέσων τὰ κατὰ τὸν ὅρκον, εὐορκεῖν, ἐὰν δὲ πρόθεσιν ἔχων μὴ ἐπιτελεῖν, ἐπιορκεῖν.

(Stobæus Floril. XXVIII, 14.)

---

jam viæ parte superata reverti, deinde denuo eamdem ab initio ingredi? » atque e vita excessit.

Quum tacente Cleanthe aliquis dixisset : Tu quid taces? Atqui jucundum est cum amicis sermocinari. Jucundum quidem, respondit Cleanthes, sed quo jucundius est, eo magis hac re amicis cedere oportet.

Cleanthes dixit rudes homines sola forma a bestiis differre.

Cleanthes dixit jurantem eo ipso quo jurat tempore sancte jurare aut pejerare. Nam si ita juret tamquam facturus quæ interposito jurejurando pollicetur, religiose jurare, sin eo consilio, ut non faciat, pejerare.

DE LINO.

Lini (1) nomine tres iique antiquissimi in veterum scriptis memorantur. Eorum unus fuit Chalcidensis (2), Mercurii et Psamathes filius, vel ut alii voluerunt, ab Apolline et Terpsichore genitus, vel si Pausaniæ fides est, Amphimari et Uraniæ Musæ soboles. Alter, qui cum illo commutatur sæpe et permiscetur, Thebanus Ismenii filius fuit. Tertius denique Linus Narcissus ab Eustathio ad Iliad. lib. XVIII, 570, p. 1223, superioribus adjungitur. Primus quum musicæ scientia cæteris mortalibus antecelleret, adeo ut ipsi Apollini conferre se auderet, ab hoc deo interfectus est. Similis Thebano contigit sors. Qui quum præstantissimus et poeta et musicus esset, ab Hercule (3) occisus ejusque mors a Musis lugubri cantu defleta esse fertur. Sunt tamen qui Thebanum etiam ab Apolline trucidatum perhibeant. Utcumque est, tradunt (4) eum mundi originem adumbrasse a tali carminis initio orsum :

Ἦν ποτέ τοι χρόνος οὗτος, ἐν ᾧ ἅμα πάντ' ἐπεφύκει

(1) Conf. Fabric. Bibl. Græc. I pag. 110-114 ed. Harl.; L. Ambroschii de Lino disputationem, Berolini 1829; Welckeri Script. minor. I, p. 8 seqq. Clintonis Fast. Hellen. I, pag. 341-343; Hermanni Opusc. V, p. 199 sqq.

(2) Suidas : Λίνος Χαλκιδεύς, Ἀπόλλωνος καὶ Τερψιχόρης, οἱ δὲ Ἀμφιμάρου καὶ Οὐρανίας, οἱ δὲ Ἑρμοῦ καὶ Οὐρανίας. Apollinis filium facit etiam Virgilius Eclog. V, 57, ejusdem dei et Psamathes filium Conon apud Photium in Bibliotheca, Apollodorus υἱὸν Οἰάγρου κατ' ἐπίκλησιν Ἀπόλλωνος. Pausanias lib. IX, 29, 6 : Λέγεται δὲ ὡς ὁ Λίνος οὗτος παῖς μὲν Οὐρανίας εἴη καὶ Ἀμφιμάρου τοῦ Ποσειδῶνος, μεγίστην δὲ τῶν τε ἐφ' αὑτοῦ καὶ ὅσοι πρότερον ἐγένοντο λάβοι δόξαν ἐπὶ μουσικῇ, καὶ ὡς Ἀπόλλων ἀποκτείνειεν αὐτὸν ἐξισούμενον κατὰ τὴν ᾠδήν. Ἀποθανόντος δὲ τοῦ Λίνου τὸ ἐπ' αὐτῷ πένθος διῆλθεν ἄρα καὶ ἄχρι τῆς βαρβάρου πάσης, ὡς καὶ Αἰγυπτίοις ᾆσμα γενέσθαι Λίνον· καλοῦσι δὲ τὸ ᾆσμα Αἰγύπτιοι τῇ ἐπιχωρίῳ φωνῇ Μανέρων. Οἱ δὲ Ἕλλησιν ἔπη ποιήσαντες, Ὅμηρος μέν, ἅτε ᾆσμα Ἕλλησιν ὂν ἐπιστάμενος τοῦ Λίνου τὰ παθήματα, ἐπὶ τοῦ Ἀχιλλέως ἔφη τῇ ἀσπίδι ἄλλα τε ἐργάσασθαι τὸν Ἥφαιστον καὶ κιθαρῳδὸν παῖδα ᾄδοντα τὰ ἐς Λίνον (Iliad. XVIII, 570, ubi legendum λίνον)·

Τοῖσιν δ' ἐν μέσσοισι πάϊς φόρμιγγι λιγείῃ
ἱμερόεν κιθάριζε, Λίνον δ' ὑπὸ καλὸν ἄειδεν.

Πάμφως δέ, ὃς Ἀθηναίοις τῶν ὕμνων ἐποίησε τοὺς ἀρχαιοτάτους, οὗτος ἀκμάζοντος ἐπὶ τῷ Λίνῳ τοῦ πένθους Οἰτόλινον ἐκάλεσεν αὐτόν. Σαπφὼ δὲ ἡ Λεσβία τοῦ Οἰτολίνου τὸ ὄνομα ἐκ τῶν ἐπῶν τῶν Πάμφω μαθοῦσα Ἄδωνιν ὁμοῦ καὶ Οἰτόλινον ᾖσεν. Θηβαῖοι δὲ λέγουσι παρὰ σφίσι ταφῆναι τὸν Λίνον, καὶ ὡς μετὰ τὸ πταῖσμα τὸ ἐν Χαιρωνείᾳ τὸ Ἑλληνικὸν Φίλιππος ὁ Ἀμύντου κατὰ δή τινα ὄψιν ὀνείρατος τὰ ὀστᾶ ἀνελόμενος τοῦ Λίνου κομίσειεν ἐς Μακεδονίαν· ἐκεῖνον μὲν δὴ αὖθις ἐξ ἐνυπνίων ἄλλων ὀπίσω τοῦ Λίνου τὰ ὀστᾶ ἐς Θήβας ἀποστεῖλαι, τὰ δὲ ἐπιθήματα τοῦ τάφου, καὶ ὅσα σημεῖα ἄλλα ἦν, ἀνὰ χρόνον φασὶν ἀφανισθῆναι. Λέγεται δὲ καὶ ἄλλα τοιάδε ὑπὸ Θηβαίων, ὡς τοῦ Λίνου τούτου γένοιτο ὕστερον ἕτερος Λίνος καλούμενος Ἰσμηνίου, καὶ ὡς Ἡρακλῆς ἔτι παῖς ὢν ἀποκτείνειεν αὐτὸν διδάσκαλον μουσικῆς ὄντα. Ἔπη δὲ οὔτε ὁ Ἀμφιμάρου Λίνος οὔτε ὁ τούτου γενόμενος ὕστερον ἐποίησαν· ἢ καὶ ποιηθέντα ἐς τοὺς ἔπειτα οὐκ ἦλθεν. Cf. Orig. contr. Cels. I p. 14, infra adn. 6.

(3) Ælianus Var. Hist. lib. III cap. 32 : Τὸν γὰρ Ἡρακλέα ὁ Λίνος ἔτι παῖδα ὄντα κιθαρίζειν ἐπαίδευεν· ἀμουσότερον δὲ ἁπτομένου τοῦ ὀργάνου ἐχαλέπηνε πρὸς αὐτὸν ὁ Λίνος. Ὁ δὲ ἀγανακτήσας ὁ Ἡρακλῆς τῷ πλήκτρῳ τοῦ Λίνου καθίκετο, καὶ ἀπέκτεινεν αὐτόν. Eustathius ad Iliad. XVIII, 570, pag. 1223 : Λίνος εἶδος ᾠδῆς κατὰ Ἀρίσταρχον ἢ ὕμνου, ὡς καὶ ὁ παιὰν καὶ ὁ διθύραμβος. Ὠνόμασται δὲ Λίνος τὸ τοιοῦτον ᾠδικὸν εἶδος, ἢ ὡς μετὰ λίνου ἤτοι χορδῆς ᾀδόμενος, ἢ ἀπό τινος Λίνου ἀνδρὸς ἥρωος. Φασὶ γὰρ οἱ παλαιοὶ ποιημάτιόν τι ἐπὶ τῷ Λίνῳ εἶναι, ὃ Σφαῖρα μὲν καλεῖται, εἰς Ὀρφέα δὲ ἀναφέρεται. Φιλόχορος δὲ ὑπὸ Ἀπόλλωνος ἀναιρεθῆναι τὸν Λίνον φησί, διότι πρῶτος τὸν Λίνον καταλύσας χορδῇ ἐχρήσατο εἰς μουσικῆς ὄργανον. Ἐτάφη δὲ ἐν Θήβαις, καὶ ἐτιμᾶτο ὑπὸ τῶν ποιητῶν θρηνώδεσιν ἀπαρχαῖς. Hesiodus ibid. :

Οὐρανίη δ' ἄρ' ἔτικτε Λίνον πολυήρατον υἱόν,
ὃν δὴ ὅσοι βροτοί εἰσιν ἀοιδοὶ καὶ κιθαρισταί,
πάντες μὲν θρηνοῦσιν ἐν εἰλαπίναις τε χοροῖς τε,
ἀρχόμενοι δὲ Λίνον καὶ λήγοντες καλέουσι.

Vetus epigramma :

Ὦ Λίνε πάντα θεοῖσι τετιμένε, σοὶ γὰρ ἔδωκαν
ἀθάνατοι πρώτῳ μέλος ἀνθρώποισιν ἀείδειν
ἐν ποδὶ δεξιτερῷ, Μοῦσαι δέ σε θρήνεον αὐταὶ
μυρόμεναι μολπῇσιν, ἐπεὶ λίπες ἡλίου αὐγάς.

Herodotus II, 79 : Τοῖσι (Αἰγυπτίοισι) ἄλλα τε ἐπάξιά ἐστι νόμιμα, καὶ δὴ καὶ ἄεισμα ἕν ἐστι, Λίνος, ὅσπερ ἔν τε Φοινίκῃ ἀοίδιμός ἐστι καὶ ἐν Κύπρῳ καὶ ἄλλῃ, κατὰ μέντοι ἔθνεα οὔνομα ἔχει, συμφέρεται δὲ ὡυτὸς εἶναι, τὸν οἱ Ἕλληνες Λίνον οὐνομάζοντες ἀείδουσι, ὥστε πολλὰ μὲν καὶ ἄλλα ἀποθωυμάζειν με τῶν περὶ Αἴγυπτον ἐόντων, ἐν δὲ δὴ καὶ τὸν Λίνον ὁκόθεν ἔλαβον. Φαίνονται δὲ αἰεί κοτε τοῦτον ἀείδοντες. Ἔστι δὲ Αἰγυπτιστὶ ὁ Λίνος καλεύμενος Μανέρως. Ἔφασαν δέ μιν Αἰγύπτιοι τοῦ πρώτου βασιλεύσαντος Αἰγύπτου παῖδα μουνογενέα γενέσθαι, ἀποθανόντα δ' αὐτὸν ἄνωρον θρήνοισι ὑπ' Αἰγυπτίων τιμηθῆναι, καὶ ἀοιδήν τε ταύτην πρώτην καὶ μούνην σφίσι γενέσθαι. Plutarchus de Iside et Osiride cap. XVII : Ὃν γὰρ ᾄδουσιν Αἰγύπτιοι παρὰ τὰ συμπόσια Μανέρωτα, τοῦτον εἶναι....... τὸν δ' ᾀδόμενον Μανέρωτα πρῶτον εὑρεῖν μουσικὴν ἱστοροῦσιν.

(4) Diogenes Laertius Procem. 4 : Τὸν δὲ Λίνον παῖδα εἶναι Ἑρμοῦ καὶ Μούσης Οὐρανίας, ποιῆσαι δὲ κοσμογονίαν, ἡλίου καὶ σελήνης πορείαν, καὶ ζῴων καὶ καρπῶν γενέσεις. Τούτῳ ἀρχὴ τῶν ποιημάτων ἥδε· Ἦν ποτέ τοι χρόνος οὗτος, ἐν ᾧ ἅμα πάντ' ἐπεφύκει. Ὅθεν λαβὼν Ἀναξαγόρας πάντα ἔφη χρήματα γεγονέναι ὁμοῦ· νοῦν δὲ ἐλθόντα αὐτὰ διακοσμῆσαι. (Male hæc addit; nam alia fuit Anaxagoræ ratio.)

(fragm. vs. 26). Eundem dicunt solis lunæque cursum versibus persecutum esse ac de animalium plantarumque generatione scripsisse, quamquam non defuerunt qui neque Apollinis neque Ismenii filium quidquam scripsisse proderent aut saltem nihil ab illis scriptum exstare conjenderent. Verum a Sexto Empirico adv. Math. I, 204 aliisque inter eos numeratur quos ante Homerum carmina composuisse fama fuerit. Diodorus (5) eum primum numerorum et canticorum inventorem fuisse litterasque a Cadmo e Phœnicia allatas græcæ linguæ accommodasse auctor est, ita ut suum cuique litteræ nomen imponeret earumque formas constitueret. Carminum pulchritudinem et majestatem spectasse videtur Virgilius Eclog. V, 55-57 sic canens :

Non me carminibus vincet nec Thracius Orpheus,
nec Linus : huic mater quamvis atque huic pater adsit,
Orphei Calliopea, Lino formosus Apollo.

Hippobotus apud Diogenem Laertium I, 42 septem Græciæ sapientes ita in ordinem redigit, ut primo loco Orpheum et Linum ponat. Poematum quæ ad Linum auctorem nonnulli referebant initium esse vult Iamblichus de Vit. Pythag. cap. 28 § 139 p. 117 seq. duos versiculos quos e Stobæi Floril. CIX, 1 depromtos fragmentis inserui. Vid. vs. 11-12. Neque tamen ipse dissimulat Pythagoreos Lino carmina supposuisse. Ex hoc igitur fonte sine dubio omnes manarunt versus qui hodie Lino tribuuntur (6). Quos quum magna ex parte jam collegisset Henr. Stephanus in Poesi philosophica, reliquos qui ad nostram memoriam propagati sunt adjunxi omnesque recensui et converti.

Τὸν δὲ Λίνον τελευτῆσαι ἐν Εὐβοίᾳ τοξευθέντα ὑπὸ Ἀπόλλωνος, καὶ αὐτῷ ἐπιγεγράφθαι·

Ὧδε Λίνον Θηβαῖον ἐδέξατο γαῖα θανόντα,
Μούσης Οὐρανίης υἱὸν ἐϋστέφανον.

(5) Diodorus lib. III, 67 : Φησὶ τοίνυν παρ' Ἕλλησι πρῶτον εὑρετὴν γενέσθαι Λίνον ῥυθμῶν καὶ μέλους, ἔτι δὲ Κάδμου κομίσαντος ἐκ Φοινίκης τὰ καλούμενα γράμματα πρῶτον εἰς τὴν Ἑλληνικὴν μεταθεῖναι διάλεκτον, καὶ τὰς προσηγορίας ἑκάστῳ τάξαι καὶ τοὺς χαρακτῆρας διατυπῶσαι. Κοινῇ μὲν οὖν τὰ γράμματα Φοινίκεια κληθῆναι διὰ τὸ παρὰ τοὺς Ἕλληνας ἐκ Φοινίκων μετενεχθῆναι, ἰδίᾳ δὲ τῶν Πελασγῶν πρώτων χρησαμένων τοῖς μετατεθεῖσι χαρακτῆρσι Πελασγικὰ προσαγορευθῆναι. Τὸν δὲ Λίνον ἐπὶ ποιητικῇ καὶ μελῳδίᾳ θαυμασθέντα μαθητὰς σχεῖν πολλούς, ἐπιφανεστάτους δὲ τρεῖς, Ἡρακλέα, Θαμύραν καὶ Ὀρφέα. Τούτων δὲ τὸν μὲν Ἡρακλέα κιθαρίζειν μανθάνοντα διὰ τὴν τῆς ψυχῆς βραδύτητα μὴ δύνασθαι δέξασθαι τὴν μάθησιν, ἔπειθ' ὑπὸ τοῦ Λίνου πληγαῖς ἐπιτιμηθέντα διοργισθῆναι καὶ τῇ κιθάρᾳ τὸν διδάσκαλον πατάξαντα ἀποκτεῖναι, Θαμύραν δὲ φύσει διαφόρῳ κεχορηγημένον ἐκπονῆσαι τὰ περὶ τὴν μουσικήν, καὶ κατὰ τὴν ἐν τῷ μελῳδεῖν ὑπεροχὴν φάσκειν ἑαυτὸν τῶν Μουσῶν ἐμμελέστερον ᾄδειν.

(6) Nam Origenes contra Cels. lib. I p. 14 ait : Καὶ Λίνου μὲν, ὃν προέταξεν ἐν οἷς ὠνόμασεν ὁ Κέλσος, οὔτε νόμοι οὔτε λόγοι φέρονται, ἐπιστρέψαντες καὶ θεραπεύσαντες ἔθνη.

ΛΙΝΟΥ ΕΠΗ.

Φράζεο δή, σπουδὴν ἐντυνάμενος δι' ἀκουῆς
μύθων ἡμετέρων, ἀτραπὸν περὶ παντὸς ἀληθῆ,
κῆρας ἀπωσάμενος πολυπήμονας, αἵ τε βεβήλων
ὄχλον ἀϊστοῦσαι ἄταις περὶ πάντα πεδῶσι
παντοίαις, μορφῶν χαλεπῶν ἀπατήματ' ἔχουσαι.
Τὰς μὲν ἀπὸ ψυχῆς εἴργειν φυλακαῖσι νόοιο.
Οὗτος γάρ σε καθαρμὸς ἀκήριος ὢν ὁσιώσει,
εἴ κεν ἀληθείῃ μισῇς ὀλοὸν γένος αὐτῶν·
νηδὺν μὲν πρώτιστ' αἰσχρῶν δώτειραν ἁπάντων,
ἣν ἐπιθυμία ἡνιοχεῖ μάργοισι χαλινοῖς.

(Stobæus Floril. V, 22. Vs. 4 ἀϊστοῦσαι] posui; vulgo ἀνιστῶσαι. Vs. 7 ἀκήριος ὢν] scripsi; codd. ὄντως δικαίως. Vs. 8 μισῇς edidi cum Brunckio; membranæ μισέεις.)

Ἔλπεσθαι χρὴ πάντ', ἐπεὶ οὐκ ἔστ' οὐδὲν ἄελπτον.
Ῥᾴδια πάντα θεῷ τελέσαι καὶ ἀνήνυτον οὐδέν.

(Stobæus Floril. CIX, 1.)

Ὡς κατ' ἔριν συνάπαντα κυβερνᾶται διὰ παντός·
ἐκ παντὸς δὲ τὰ πάντα, καὶ ἐκ πάντων πᾶν ἐστι.
Πάντα δ' ἕν ἐστιν, ἕκαστον ἑνὸς μέρος, ἦν ἓν [ἅπαντα·

LINI CARMINA.

Prospice tibi, ad studium concitatus auditione
nostri sermonis, viam præ omnibus veram,
repulsis sortibus damnosis, quæ profanorum
vulgus subvertentes malis usquequaque implicant
variis, molestarum formarum fallacias induentes.
Has tu custodiâ mentis ab anima arceto.
Hæc enim expiatio quæ immortalis est te purgabit,
si re ipsa oderis exitiosum illarum genus :
ventrem quidem imprimis turpium omnium datorem,
quem cupido aurigæ instar regit stolidis frenis. —
Speranda sunt omnia, quia nihil est quod sperari nequeat.
Omnia Deo facilia ad perficiendum sunt neque quidquam [infectum. —
Nam contentione omnia semper gubernantur : ex universo autem universa atque ex universis universum [constat.
Universa vero unum sunt, singula unius membra; omnia [unum erant :

ἐκ γὰρ ἑνός ποτε ὄντος ὅλου τάδε πάντ' ἐγένοντο·
ἐκ πάντων δέ ποτ' αὖθις ἓν ἔσσεται ἐν χρόνου αἴσῃ,
αἰὲν ἓν ὂν καὶ οὐ πολλά, καὶ οὐ κατὰ ταυτὸν ἀθροισθέν.
Πολλάκι δ' ἔσται ταῦτα, καὶ οὔποτε πεῖρας ἔπεισιν
αἰεὶ πείρατ' ἔχον· ποῖον γένος ἔλλαχε, τοῦτ' ὄν;
ὧδε γὰρ ἀθάνατος θάνατος περὶ πάντα καλύπτει
θνητὸς ἐών, καὶ πᾶν θνήσκει φθαρτὸν, τὸ δ' ὑπάρχον
φαντασίαις ἀλληλοτρόποις καὶ σχήμασι μορφῆς
ἀλλάσσει τρόπον, ὡς ἀποκρυπτέμεν ὄψιν ἁπάντων·
ἄφθορον ἔσται ἐόν τ' αἰεὶ καθὸ τῇδε τέτυκται.

(Stobæus Eclog. Phys. et Eth. lib. I cap. 10, 5 addito lemmate: Λίνου ἐκ τῶν περὶ Φύσεως κόσμου. Vs. 15 ἦν ἓν ἅπαντα] rescripsi; εἶναι ἅπαντα codd. Vs. 18 ἀθροισθέν] emendavi; ἀθροῖσαι membranæ.)

Ἦν ποτέ τοι χρόνος οὗτος ἐν ᾧ ἅμα πάντ' ἐπεφύκει.

(Diogenes Laertius Procem. 4: Τούτῳ [τῷ Λίνῳ] ἀρχὴ τῶν ποιημάτων ἥδε· ἦν ποτέ κτλ.)

Ἑβδομάτη δή οἱ τετελεσμένα πάντα τέτυκται.

ΚΑΙ ΠΑΛΙΝ

Ἑβδόμη εἰν ἀγαθοῖς, καὶ ἑβδόμη ἐστὶ γενέθλη·
ἑβδόμη ἐν πρώτοισι, καὶ ἑβδόμη ἐστὶ τελείη.

ΚΑΙ

Ἑπτὰ δὲ πάντα τέτυκται ἐν οὐρανῷ ἀστερόεντι,
ἐν κύκλοισι φανέντ' ἐπιτελλομένων ἐνιαυτῶν.

(Eusebius Præp. Evang. pag. 668. Vs. 31 ἐπιτελλομένων ἐνιαυτῶν edidi pro librorum scriptura ἐπιτελλομένοις ἐνιαυτοῖς.)

---

ex uno enim corpore aliquando hæc omnia exstiterunt:
ex omnibus vero rursus aliquando unum constabit quodam temporis spatio,
semper unum manens ac non multa, sed non eodem tempore collectum.
Sæpe autem hæc erunt, neque unquam finis instat
ei quod (novos) semper terminos habet; qualem ortum habet hoc quod *est*?
Sic enim mors immortalis cuncta obruit
sua mortalitate, et caduca omnia moriuntur; at quod *est*
visis ultro citroque commeantibus et formarum specie
mutat modum, ita ut omnium faciem abscondat;
incorruptum erit et semper manens, quatenus sic est. —
Erat aliquando tempus quo simul omnia exstiterant.
Septimo jam die omnia ei perfecta sunt.

ET ALIO LOCO

Septimus dies in bonorum numero est, idem dies etiam rerum origo;
septimus in principio est, idem etiam dies supremus.

ET

Septem vero omnia sunt in cœlo stellifero,
in conficiendis ineuntium annorum orbibus apparentia.

DE MUSÆO.

Musæus, philosophus et poeta Atheniensis, Eumolpo sive, ut alii tradunt, Antiphemo (1) et Luna parentibus ortus, Orphei imitator (2) et discipulus, clarum apud veteres nomen habuit. Nam si Diogeni Laertio (3) credimus, Deorum generationem carmine celebraverat ac præterea aliud poema Sphæræ nomine inscriptum condiderat, cujus nullum videtur vestigium superesse. Nisi forte Lambecii probanda sententia est qui quæ græcus Apollonii Rhodii interpres ad libri tertii initium de duabus Μουσῶν γενέσεσιν affert e priore illo carmine petita esse arbitratur. Addit Diogenes Musæum docuisse ex uno omnia esse nata atque in idem resolvi. Neque vero hæc sola ejus scripta fuisse constat. Etenim quum vates (4) esset, oracula litteris consignavit, quorum meminerunt Pausanias lib. X cap. 9, 11, et Philostratus Heroic. cap. II, 19 pag. 693 ed. Olear., quæ tamen Clemens Strom. I p. 332 cum aliis ab Onomacrito supposita esse ratus est. Sed aperte Plato (5) Musæo carmina quædam, imprimis τελετάς τε καὶ χρησμῳδίας tribuit. Huc accedunt *præcepta ad Eumolpum filium* [Εὐμολπία], quattuor millibus versuum comprehensa, quæ a Suida et Pausania lib. X cap. 5, 3 citantur. Porro *Hymni in Cererem* compositi mentio est apud Pausaniam (6), qui hoc excepto reliqua poemata vulgo Musæo ascripta spuria esse judicat. Musæi

(1) Pausanias lib. X cap. 5 : Μουσαίῳ δὲ τῷ Ἀντιοφήμου προσποιοῦσι τὰ ἔπη. Hieronymus in Chronico Eusebiano Musæum Eumolpi filium esse vult, sed Diodorus Orphei. Suidas Eumolpi patrem fuisse dicit, filium Antiphemi. Servius ad Virgil. Æneid. lib. VI vs. 667 : « Eum alii Lunæ filium, alii Orphei volunt, cujus eum constat fuisse discipulum, nam ad ipsum primum carmen scripsit quod appellatur Crater. » Justinus Martyr libro de Monarchia Dei pag. 82 : Ὀρφεὺς γοῦν ὁ τῆς πολυθεότητος ὑμῶν, ὡς ἂν εἴποι τις, πρῶτος διδάσκαλος γεγονώς, οἷα πρὸς τὸν υἱὸν αὐτοῦ Μουσαῖον καὶ τοὺς λοιποὺς γνησίους ἀκροατὰς ὕστερον περὶ ἑνὸς καὶ μόνου θεοῦ κηρύττει λέγων, ἀναγκαῖον ὑπομνῆσαι ὑμᾶς. Φησὶ δὲ οὕτως· Φθέγξομαι οἷς θέμις ἐστί, θύρας δ' ἐπίθεσθε βεβήλοις Πᾶσιν ὁμῶς. Σὺ δ' ἄκουε φαεσφόρου ἔκγονε Μήνης Μουσαῖ'. Ἐξερέω γὰρ ἀληθέα κτλ. Proclus in Plat. Tim. p. 34 E (p. 79 ed. Schneider.) : Εἴτε οὖν Γῆς υἱὸν τὸν Τιτυόν, εἴτε Ἡλίου τὸν Φαέθοντα λέγοιεν, εἴτε Σελήνης τὸν Μουσαῖον εἴτε ἄλλου τινὸς οἱ μυθοπλάσται κτλ. Id. l. c. p. 51 B (p. 117 ed. Schneider.) : Ἐπείπερ καὶ ἀπὸ Μουσαίου τοῦ Σεληνιακοῦ τὸ γένος τοῖς ἐν Ἐλευσῖνι τῶν μυστηρίων ἡγουμένοις εἶναί φησι. Id. l. c. p. 326 C : Οὕτω δὴ καὶ Σεληνιακὴν ψυχὴν εἰς ἀνδρὸς κατιέναι φύσιν καθὰ τὴν Μουσαίου φασί. De uxore ejus Deïope Aristoteles Mirab. Auscult. 131 hæc prodit : Φασὶν οἰκοδομούντων Ἀθηναίων τὸ τῆς Δήμητρος ἱερὸν τῆς ἐν Ἐλευσῖνι περιεχομένην στήλην πέτραις εὑρεθῆναι χαλκῆν, ἐφ' ἧς ἐπεγέγραπτο « Δηϊόπης τόδε σῆμα, » ἣν οἱ μὲν λέγουσι Μουσαίου εἶναι γυναῖκα, τινὲς δὲ Τριπτολέμου μητέρα γενέσθαι. Musæi amicam Antiopen fuisse testatur Hermesianax in Eleg. vs. 15 apud Athenæum XIII p. 597 his verbis : Οὐ μὴν οὐδ' υἱὸς Μήνης ἀγέραστον ἔθηκε Μουσαῖος, Χαρίτων ἤρανος, Ἀντιόπην.

(2) De Musæo Orphei imitatore Pausanias lib. X cap. 7, 2 : Ὀρφέα δὲ σεμνολογίᾳ τῇ ἐπὶ τελεταῖς καὶ ὑπὸ φρονήματος τοῦ ἄλλου καὶ Μουσαῖον τῇ ἐς πάντα μιμήσει τοῦ Ὀρφέως οὐκ ἐθελῆσαί φασιν αὐτοὺς ἐπὶ ἀγῶνι μουσικῆς ἐξετάζεσθαι.

(3) Diogenes Laertius Prooem. 3 : Ἰδοὺ γοῦν παρὰ μὲν Ἀθηναίοις γέγονε Μουσαῖος, παρὰ δὲ Θηβαίοις Λίνος. Καὶ τὸν μὲν Εὐμόλπου παῖδά φασι, ποιῆσαι δὲ Θεογονίαν καὶ Σφαῖραν πρῶτον, φάναι τε ἐξ ἑνὸς τὰ πάντα γενέσθαι καὶ εἰς ταὐτὸν ἀναλύεσθαι.

(4) Cf. Strabo lib. XVI p. 762 ed. Casaub.

(5) Plato Ione p. 536 ed. Steph. : Ἐκ δὲ τούτων τῶν πρώτων δακτυλίων, τῶν ποιητῶν, ἄλλοι ἐξ ἄλλου αὖ ἠρτημένοι εἰσὶ καὶ ἐνθουσιάζουσιν, οἱ μὲν ἐξ Ὀρφέως, οἱ δὲ ἐκ Μουσαίου· οἱ δὲ πολλοὶ ἐξ Ὁμήρου κατέχονταί τε καὶ ἔχονται. Id. Protag. pag. 316 ed. Steph. : Ἐγὼ δὲ τὴν σοφιστικὴν τέχνην φημὶ μὲν εἶναι παλαιάν, τοὺς δὲ μεταχειριζομένους αὐτὴν τῶν παλαιῶν ἀνδρῶν, φοβουμένους τὸ ἐπαχθὲς αὐτῆς πρόσχημα ποιεῖσθαι καὶ προκαλύπτεσθαι τοὺς μὲν ποίησιν, οἷον Ὅμηρόν τε καὶ Ἡσίοδον καὶ Σιμωνίδην, τοὺς δὲ αὖ τελετάς τε καὶ χρησμῳδίας, τοὺς ἀμφί τε Ὀρφέα καὶ Μουσαῖον. Musæi oracula memorat etiam Herodotus lib. VIII, 96 et VII, 6. Posteriore loco de Onomacriti fraude hæc refert :...ἔχοντες Ὀνομάκριτον, ἄνδρα Ἀθηναῖον, χρησμολόγον τε καὶ διαθέτην χρησμῶν τῶν Μουσαίου. Ἀναβεβήκεσαν γὰρ τὴν ἔχθρην προκαταλυσάμενοι· ἐξηλάθη γὰρ ὑπὸ Ἱππάρχου τοῦ Πεισιστρατίδεω ὁ Ὀνομάκριτος ἐξ Ἀθηνέων, ἐπ' αὐτοφώρῳ ἁλοὺς ὑπὸ Λάσου τοῦ Ἑρμιονέος ἐμποιέων ἐς τὰ Μουσαίου χρησμόν, ὡς αἱ ἐπὶ Λήμνου ἐπικείμεναι νῆσοι ἀφανιζοίατο κατὰ τῆς θαλάσσης. Cf. Lobeckii Aglaoph. p. 978.

(6) Pausanias lib. I cap. 22, 7 : Ἐγὼ δὲ ἔπη μὲν ἐπελεξάμην ἐν οἷς ἐστι πέτεσθαι Μουσαῖον ὑπὸ Βορέου δῶρον, δοκεῖν δέ μοι, πεποίηκεν αὐτὰ Ὀνομάκριτος, καὶ ἔστιν οὐδὲν Μουσαίου βεβαίως ὅτι μὴ μόνον ἐς Δήμητρα ὕμνος Λυκομίδαις. Id. lib. I cap. 14, 3 dubitanter : Ἔπη δὲ ᾄδεται Μουσαίου μέν, εἰ δὴ Μουσαίου καὶ ταῦτα, Τριπτόλεμον παῖδα Ὠκεανοῦ καὶ Γῆς εἶναι κτλ. Ipse Hymnum in Cererem legit, ut patet e lib. IV cap. 1, 5 : Ὁμολογεῖ δέ σφισι καὶ ὕμνος Μουσαίου Λυκομίδαις ποιηθεὶς ἐς Δήμητρα. Vatibus quorum oracula legit adnumerat Musæum lib. X, cap. 12, 11 : Χρησμολόγους δὲ ἄνδρας Κύπριόν τε Εὔκλουν καὶ Ἀθηναῖον Μουσαῖον τὸν Ἀντιοφήμου καὶ Λύκον τὸν Πανδίονος, τούτους τε γενέσθαι καὶ ἐκ Βοιωτίας Βάκιν φασὶ κατάσχετον ἄνδρα ἐκ νυμφῶν· τούτων πλὴν Λύκου τῶν ἄλλων ἐπελεξάμην τοὺς χρησμούς.

Morborum curationes laudant Aristophanes (7) Ran. vs. 1033 et Eustathius Procemio in Iliad. p. 3. In hoc libro conjicias cum dixisse de polio herba quod ex Musæo profert Theophrastus lib. IX Histor. plant. cap. 21 (8) repetitque Plinius Hist. nat. lib. XXI cap. 7 et 20, item lib. XXV, cap. 2, et quod de junipero ex eo habet Scholiastes Apollonii in librum IV. Titanographiam ejus, cujus tertium librum citat Scholiastes Apollonii ad lib. III, ignoramus, nisi quod Eudocia in Violario pag. 248 Musæum hoc ipso istius operis libro de Cadmo egisse ait. Denique delictorum expiationes, lustralia et mystica carmina sive lustrationes et mysteria (παραλύσεις καὶ τελετὰς καὶ καθαρμούς) Musæum scripsisse legimus apud græcum Aristophanis enarratorem ad Ran. vs. 1033, quocum re verbisque concinit Plato (9) de Musæo et Orpheo lib. II de Rep. pag. 364 disputans eademque illa tria vocabula copulans. Quippe mysteriorum conditor Platoni aliisque antiquorum visus est Musæus, quia Cereris sacra, si verum refert Tertullianus Apologet. cap. 21, instituit, quamvis Sophoclis interpres priscos auctores secutus (1) et Lucianus Eleusiniorum parentem Eumolpum nominent. Jam etsi alii omnem mysteriorum ritum ab Orpheo (2) repetunt, Isocrates (3) vero ipsam Cererem hoc beneficium in homines contulisse ait, multi denique in quibus Plato est ejus rei auctores Orpheum et Musæum jungunt : tamen in hac opinionum varietate quid illi qui carmina mystica Musæo attribuerunt de sacrorum istorum origine statuerint, exstat atque apparet. Musæum Phaleris diem suum obiisse testatur Diogenes (4) ejusque tumulo hoc elegion inscriptum fuisse ait :

Εὐμόλπου φίλον υἱὸν ἔχει τὸ Φαληρικὸν οὖδας,
Μουσαῖον, φθίμενον σῶμ' ὑπὸ τῷδε τάφῳ.

Eundem apud inferos summis honoribus frui

(7) Aristophanes Ran. vs. 1032-1034 :

Ὀρφεὺς μὲν γὰρ τελετάς θ' ἡμῖν κατέδειξε φόνων τ' ἀπέχεσθαι,
Μουσαῖος δ' ἐξακέσεις τε νόσων καὶ χρησμούς, Ἡσίοδος δὲ
γῆς ἐργασίας κτλ.

(8) Theophrastus Hist. plant. lib. IX cap. 21 : Καὶ ὥς δή φασι, τὸ πόλιον καθ' Ἡσίοδον καὶ Μουσαῖον εἰς πᾶν πρᾶγμα σπουδαῖον χρήσιμον εἶναι· διὸ καὶ ὀρύττουσιν αὐτὸ νύκτωρ κτλ. Plinius Hist. nat. lib. XXI cap. 7 : « Sic et apud Græcos polion herbam, inclytam Musæi et Hesiodi laudibus, ad omnia utilem prædicantium, superque cætera ad famam etiam ac dignitates, prorsusque miram, si modo (ut tradunt) folia ejus mane candida, meridie purpurea, sole occidente cærulea aspiciuntur. » Scholiastes Apollonii in lib. IV : Ἡ δὲ ἄρκευθος δένδρον τι ἀκανθῶδες Ἀπόλλωνος ἴδιον, ὡς ἱστορεῖται ἐν τρίτῳ τῶν εἰς Μουσαῖον ἀναφερομένων.

(9) Plato de Rep. lib. II p. 364 : Βίβλων δὲ ὅμαδον παρέχονται Μουσαίου καὶ Ὀρφέως, Σελήνης τε καὶ Μουσῶν ἐγγόνων, ὥς φασι, καθ' ἃς θυηπολοῦσι, πείθοντες οὐ μόνον ἰδιώτας ἀλλὰ καὶ πόλεις, ὡς ἄρα λύσεις τε καὶ καθαρμοὶ ἀδικημάτων διὰ θυσιῶν καὶ παιδιᾶς ἡδονῶν εἰσὶ μὲν ἔτι ζῶσιν, εἰσὶ δὲ καὶ τελευτήσασιν, ἃς δὴ τελετὰς καλοῦσιν, αἳ τῶν ἐκεῖ κακῶν ἀπολύουσιν ἡμᾶς· μὴ θύσαντας δὲ δεινὰ περιμένει. Ubi λύσεις Astius recte exponit *expiationes*, τελετὰς autem *mysteria* et *initia*.

(1) Sophoclis interpres ad Œd. Col. vs. 1049 : Ζητεῖται τί δήποτε οἱ Εὐμολπίδαι τῶν τελετῶν ἐξάρχουσι ξένοι ὄντες; εἴποι δ' ἄν τις, ὅτι ἀξιοῦσιν ἔνιοι πρῶτον Εὔμολπον ποιῆσαι τὸν Δηιόπης τῆς Τριπτολέμου τὰ ἐν Ἐλευσῖνι μυστήρια, καὶ οὐ τὸν Θρᾷκα· καὶ τοῦτο ἱστορεῖν Ἴστρον ἐν τῷ περὶ τῶν ἀτάκτων. Ἀκεσίδωρος δὲ, πέμπτον ἀπὸ τοῦ πρώτου Εὐμόλπου εἶναι τὸν τὰς τελετὰς καταδείξαντα, γράφων οὕτως· « Κατοικῆσαι δὲ τὴν Ἐλευσῖνα ἱστοροῦσι πρῶτον μὲν τοὺς αὐτόχθονας, εἶτα Θρᾷκας τοὺς μετὰ Εὐμόλπου παραγενομένους πρὸς βοήθειαν εἰς τὸν κατ' Ἐρεχθέως πόλεμον. » Τινὲς δέ φασι καὶ τὸν Εὔμολπον εὑρεῖν τὴν μύησιν τὴν συντελουμένην κατ' ἐνιαυτὸν ἐν Ἐλευσῖνι Δήμητρι καὶ Κόρῃ. Ἀνδροτίων μὲν οὖν γράφει, οὐ τὸν Εὔμολπον εὑρεῖν τὴν μύησιν, ἀλλ' ἀπὸ τούτου Εὔμολπον πέμπτον γεγονότα. Εὐμόλπου γὰρ γενέσθαι Κήρυκα, τοῦ δὲ Εὔμολπον, τοῦ δὲ Ἀντίφημον, τοῦ δὲ Μουσαῖον τὸν ποιητήν, τοῦ δὲ Εὔμολπον τὸν καταδείξαντα τὴν μύησιν καὶ ἱεροφάντην γεγονότα. Lucianus Demonact. : Ἐτόλμησε δέ ποτε καὶ Ἀθηναίους ἐρωτῆσαι δημοσίᾳ, τῆς προῤῥήσεως ἀκούσας, διὰ τίνα αἰτίαν ἀποκλείουσι τοὺς βαρβάρους, καὶ ταῦτα τοῦ τὴν τελετὴν αὐτοῖς καταστησαμένου Εὐμόλπου βαρβάρου καὶ Θρᾳκὸς ὄντος. Hesychius : Εὐμολπίδαι, οὕτως οἱ ἀπὸ Εὐμόλπου ἐκαλοῦντο, τοῦ πρώτου ἱεροφαντήσαντος· πολλοὶ δὲ γεγόνασιν ὁμώνυμοι Εὔμολποι. Suidas : Εὐμολπίδαι γένος ἀπὸ τοῦ Θρᾳκὸς, ὃς καὶ τὴν μύησιν εὗρεν, ἢ ἀπὸ τοῦ Μουσαίου υἱοῦ, ὃς ἦν ἀπὸ τοῦ δευτέρου πέμπτος κτλ. Vid. Meursii Eleus. cap. 2. Cf. Ouvaroff, *Essai sur les mystères d'Éleusis* (*Études de philologie et de critique*, pag. 82 seqq.)

(2) Proclus in Platonis Timæum pag. 291 (pag. 705 ed. Schneid.) : Αὗται δέ εἰσιν αἱ Ὀρφικαὶ παραδόσεις. Ἃ γὰρ Ὀρφεὺς δι' ἀποῤῥήτων λόγων μυστικῶς παραδέδωκε, ταῦτα Πυθαγόρας ἐξέμαθεν ὀργιασθεὶς ἐν Λεϐήθροις τοῖς Θρᾳκίοις Ἀγλαοφάμω τελέστα (leg. Ἀγλαοφήμου τελεστοῦ) μεταδόντος ἣν περὶ θεῶν Ὀρφεὺς σοφίαν παρὰ Καλλιόπης τῆς μητρὸς ἐπινύσθη. Ταῦτα γάρ φησιν ὁ Πυθαγόρας ἐν τῷ ἱερῷ λόγῳ.

(3) Isocrates Paneg. cap. 6 : Δήμητρος γὰρ ἀφικομένης εἰς τὴν χώραν, ὅτ' ἐπλανήθη τῆς Κόρης ἁρπασθείσης, καὶ πρὸς τοὺς προγόνους ἡμῶν εὐμενῶς διατεθείσης ἐκ τῶν εὐεργεσιῶν ἃς οὐχ οἷόν τ' ἄλλοις ἢ τοῖς μεμυημένοις ἀκούειν, καὶ δούσης δωρεὰς αἵπερ μέγισται τυγχάνουσιν οὖσαι, τούς τε καρπούς, οἳ τοῦ μὴ θηριωδῶς ζῆν ἡμᾶς αἴτιοι γεγόνασι, καὶ τὴν τελετὴν, ἧς οἱ μετασχόντες περί τε τῆς τοῦ βίου τελευτῆς καὶ τοῦ σύμπαντος αἰῶνος ἡδίους τὰς ἐλπίδας ἔχουσιν, οὕτως ἡ πόλις ἡμῶν οὐ μόνον θεοφιλῶς ἀλλὰ καὶ φιλανθρώπως ἔσχεν, ὥστε κυρία γενομένη τοιούτων ἀγαθῶν οὐκ ἐφθόνησε τοῖς ἄλλοις, ἀλλ' ὧν ἔλαβεν ἅπασι μετέδωκεν.

(4) Diogenes Laertius Procem. 3 : Τοῦτον τελευτῆσαι Φαληροῖ, καὶ αὐτῷ ἐπιγεγράφθαι τόδε τὸ ἐλεγεῖον· Εὐμόλπου φίλον υἱὸν κτλ. Paulo aliter Pausanias lib. I cap. 25, 7 : Ἔστι δὲ ἐντὸς τοῦ περιβόλου τοῦ ἀρχαίου τὸ Μουσεῖον, ἀπαντικρὺ τῆς ἀκροπόλεως λόφος, ἔνθα Μουσαῖον ᾄδειν καὶ ἀποθανόντα γήρᾳ ταφῆναι λέγουσιν.

finxit Virgilius (5) Æneid. lib. VI vs. 667, ubi Sibylla in Elysio non Homerum, sed antiquiorem Homero Musæum primum ante omnes vates allocuta esse dicitur. Diversum ab hoc Musæo esse alterum cujus de Herus et Leandri amoribus poema omnium manibus teritur, non est quod moneamus (6). Reliquum est, ut pauca de iis qui in veterum libris comparent Musæi versiculis dicamus. Effatum quod est apud Aristotelem Politic. lib. VIII cap. 5 (cf. fragm. vs. 1) *e præceptis ad Eumolpum* filium tanquam uberrimo fonte haustum videtur. Inde fortasse fluxit etiam versus quem servarunt Aristoteles Hist. an. lib. VI, cap. 6 et Plutarchus Vit. Marii cap. 36 (cf. fragm. vs. 2), si præceptorum partem ad res naturales spectasse existimamus. Certum est ad idem poema referri versus quos habet Pausanias lib. X cap. 5, 3 (conf fragm. vss. 6-7). Ipse enim scriptor hoc testatur. Ex eodem opere nemo negabit sumtos esse versus allatos a Clemente Strom. VI p. 618 et 628 (cf. fragm. vss. 8-13). Ex oraculis tres tantum supersunt versus apud Pausaniam lib. X cap. 9, 11. Vid. fragm. vss. 3-5. Sed licet gravissima sit quorundam antiquorum quos testes adhibuimus auctoritas, qui ex Musæi scriptis versus quosdam se proferre affirmant, tamen omnia quæ hodie exstant fragmenta cum Clemente et Pausania Onomacritum auctorem habere nobis persuasimus. Paucas has carminum reliquias collectas primum ab Henr. Stephano in Poesi philosophica, postea a philologis neglectas, ego consultis recentioribus veterum scriptorum exemplis accuratius recensui, locos corruptos emendavi, dicta quædam quæ Stephani diligentiam fugerant adjeci, effata denique omnia et versus latine interpretatus sum.

(5) Virgilius Æneid. lib. VI, vs. 666:

Quos circumfusos sic est affata Sibylla,
Musæum ante omnes: medium nam plurima turba
hunc habet, atque humeris exstantem suspicit altis:
Dicite, felices animæ, tuque, optime vates,
quæ regio Anchisen, quis habet locus? illius ergo
venimus, et magnos Erebi tranavimus amnes.

(6) De hoc ita Josephus Scaliger epistola 247 ad Claud. Salmasium: « Nonnum ita soleo legere, quomodo mimos spectare solemus qui nulla alia re magis nos oblectant, quam quod ridiculi sunt. Parcior et castigatior quidem Musæus, sed qui cum illorum veterum frugalitate comparatus prodigus videatur. Neque in hoc sequimur optimi parentis nostri judicium, quem acumina illa et flores declamatorii ita ceperunt, ut non dubitarit cum Homero præferre. » Putavit enim Julius Cæsar Scaliger Poetices lib. V cap. 1 hunc posterioris ætatis poetam esse veterem illum vatem, quem ante Homerum vixisse multi iique haud contemnendi auctores tradiderunt. De aliis Musæis vide Fabricii Bibl. Gr. vol. I p. 123 ed. Harles.

ΜΟΥΣΑΙΟΥ ΕΠΗ.

[Ἀλλ' ὀλιγοχρονίοισι] βροτοῖς ἥδιστον ἀείδειν.

(Aristoteles Politic. lib. VIII cap. 5: Τὴν δὲ μουσικὴν πάντες εἶναί φαμεν τῶν ἡδίστων, καὶ ψιλὴν οὖσαν καὶ μετὰ μελῳδίας· φησὶ γοῦν καὶ Μουσαῖος εἶναι « βροτοῖς ἥδιστον ἀείδειν, » unde versum fingere ausus sum.)

Ὃς τρία μὲν τίκτει, δύο δ' ἐκλέπει, ἓν δ' ἀλεγίζει.

(Aristoteles Histor. animal. lib. VI cap. 6: Ὁ δ' ἀετὸς ᾠὰ μὲν τίκτει τρία, ἐκλέπει δὲ τούτων τὰ δύο, ὥσπέρ ἐστὶ καὶ ἐν τοῖς Μουσαίου λεγομένοις ἔπεσιν, ὃς τρία κτλ. Cf. Plutarch. Vit. Marii cap. 36.)

Καὶ γὰρ Ἀθηναίοισιν ἐπέρχεται ἄγριος ὄμβρος
ἡγεμόνων κακότητι· παραιφασίη δέ τις ἔσται·
Ἑλλάδος ἡμύσουσι πόλεις, τίσουσι δὲ ποινήν.

(Pausanias lib. X cap. 9, 11: Τὴν δὲ πληγὴν Ἀθηναῖοι τὴν ἐν Αἰγὸς ποταμοῖς οὐ μετὰ τοῦ δικαίου συμβῆναί σφισιν ὁμολογοῦσι· προδοθῆναι γὰρ ἐπὶ χρήμασιν ὑπὸ τῶν στρατηγησάντων, Τυδέα δὲ εἶναι καὶ Ἀδείμαντον οἳ τὰ δῶρα ἐδέξαντο παρὰ Λυσάνδρου. Καὶ ἐς ἀπόδειξιν τοῦ λόγου Σιβύλλης παρέχονται τῶν χρησμῶν· « Καὶ τότ' Ἀθηναίοισι βαρύστονα κήδεα θήσει Ζεὺς ὑψιβρεμέτης, οὗπερ κράτος ἐστὶ μέγιστον. Νηυσὶ φέρει πολέμοιο μάχην καὶ δηϊοτῆτα, Ὀλλυμέναις δολεροῖσι τρόποις κακότητι (legend. κακίῃ τε) νο-

MUSÆI CARMINA.

[Sed brevis ævi] mortalibus jucundissima res cantus est. —
Quæ tria quidem parit ova, duo excudit, unum nutrit. —
Etenim in Athenienses atrox imber ingruet
ducum fraude; id autem solatio erit,
quod Græciæ urbes cadent luentque pœnam. —

μήων. » Τὰ δὲ ἕτερα ἐκ Μουσαίου χρησμῶν μνημονεύουσι· καὶ γὰρ Ἀθηναίοισιν κτλ. Vs. 5 vulgo ita editur : ἠτταλοισ' ἠμύσουσι (al. ἦ γ' ἄλις ἠμύσουσι) πόλιν, τίσουσι δὲ ποινήν. Scripsi quod sententia postulare videbatur : Ἑλλάδος ἠμύσουσι πόλεις κτλ.)

Αὐτίκα δὲ Χθονίη σφῷν δὴ πινυτὸν φάτο μῦθον,
σὺν δέ τε Πύρκων ἀμφίπολος κλυτοῦ Ἐννοσιγαίου.

(Pausanias lib. X cap. 5, 3 : Ἔστι δὲ ἐν Ἕλλησι ποίησις, ὄνομα μὲν τοῖς ἔπεσιν Εὐμολπία, Μουσαίῳ δὲ τῷ Ἀντιοφήμου προσποιοῦσι τὰ ἔπη· πεποιημένον οὖν ἐστιν ἐν τούτοις Ποσειδῶνος ἐν κοινῷ καὶ Γῆς εἶναι τὸ μαντεῖον, καὶ τὴν μὲν χρᾶν αὐτήν, Ποσειδῶνι δὲ ὑπηρέτην ἐς τὰ μαντεύματα εἶναι Πύρκωνα. Καὶ οὕτως ἔχει τὰ ἔπη· Αὐτίκα δὲ Χθονίης κτλ. Restitui nominativum Χθονίη.)

Ὡς αἰεὶ τέχνη μέγ' ἀμείνων ἰσχύος ἐστίν.

(Clemens Alex. Strom. VI p. 618 : Γράψαντός τε Μουσαίου· ὡς αἰεὶ κτλ. Ὅμηρος λέγει· Μήτι τοι δρυτόμος περιγίνεται ἠὲ βίηφι [Il. XXIII, 315].)

Ὡς δ' αὔτως καὶ φύλλα φύει ζείδωρος ἄρουρα·
ἄλλα μὲν ἐν μελίῃσιν ἀποφθίνει, ἄλλα δὲ φύει·
ὣς δὲ καὶ ἀνθρώπου γενεὴ καὶ φύλλον ἑλίσσει.

(Clemens Al. Strom. l. c. : Πάλιν τοῦ Μουσαίου ποιήσαντος· ὡς δ' αὔτως κτλ. Ὅμηρος μεταγράφει· Φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ' ὕλη Τηλεθόωσα φύει, ἔαρος δ' ἐπιγίνεται ὥρη· Ὡς ἀνδρῶν γενεή, ἡ μὲν φύει, ἡ δ' ἀπολήγει. [Iliad. VI, 147-149].)

Ἡδὺ δὲ καὶ τὸ πυθέσθαι ὅσα θνητοῖσιν ἔδειμαν
ἀθάνατοι· δειλῶν τε καὶ ἐσθλῶν τέκμαρ ἐναργές.

(Clemens Alex. Strom. VI, p. 628, ubi Hesiodus dicitur hos duos versus παρὰ Μουσαίου λαβὼν τοῦ ποιητοῦ κατὰ λέξιν ἐπὶ τοῦ Μελάμποδος γεγραφέναι.)

Statim vero Tellus vobis ambobus sapiens dedit responsum
simulque Pyrcon, illustris Neptuni minister. —
Nam semper ars longe potior viribus est. —
Similiter et folia gignit alma terra;
alia quidem in fraxinis deperdit, alia gignit :
sic et hominum progenies et folia in orbem eunt. —
Jucundum etiam est audire, quæ mortalibus struxerint
immortales, manifestum malorum bonorumque signum.

DE ORPHEO.

Orpheus, si fabulis fides, Apollinis et Calliopes Musæ filius (1), tantum valuit canendo, ut rupes nemoraque moveret fluviosque sisteret. Sed sive unus fuit hujus nominis cantor, sive plures (2), omnia cæterorum facinora ad Thracem illum, deorum interpretem et progeniem referuntur, quem Tzetzes (3) Herculis æqualem facit multique centum fere ante bellum Trojanum annis floruisse statuerunt. Hunc qui cum reliquis disciplinis tum astrorum scientia et poetica facultate excelleret cæterosque mortales vitæ sanctitate superaret (4), præclare de popularibus suis omnique genere humano meruisse veteres rettulerunt. Quare Lucianus auctor est Græcos nihil antiquissima ætate ab Æthiopibus vel Ægyptiis de astrologia audivisse, sed ejus disciplinæ initia ab Orpheo esse repetenda (5). Quid? quod sacra ab eo in Græciam introducta et mysteria instituta esse feruntur. Eundem memorant scelerum expiationes excogitasse, et quibus ritibus iratorum deorum mentes placarentur docuisse, et multa morborum remedia invenisse. Adde longam scriptorum (6) seriem quam plurimi Calliopes filio tribuunt vel potius affingunt.

Fama est Orpheum una cum Argonautis in Colchidem navigasse, quos ne mollibus ac delicatis Sirenum vocibus capti ad exitium perducerentur, lyræ suæ vocisque cantu servavit. Quum autem ingentem ex Eurydices (7) uxoris morte dolorem cepisset, quæ Aristæi vim fugiens a serpente occisa erat, ad inferos descendit, ubi dulcissimis nervorum carminumque sonis Plutonem et Proserpinam flexit obtinuitque non solum ut ipse in lucem re-

(1) Nonnulli etiam Œagri et Polymniæ vel Melanippes vel Thamyridis filium fuisse scripserunt. Apollodor. I, 3, 2 : Ὀρφεύς, Καλλιόπης Μούσης καὶ Οἰάγρου υἱός, ᾄδων ἐκίνει λίθους τε καὶ δένδρα. Hermesianax ap. Athen. XIII p. 597 B : Οἵην μὲν φίλος υἱὸς ἀνήγαγεν Οἰάγροιο κτλ. Apollonius Argonaut. lib I : Πρῶτά νυν Ὀρφῆος μνησώμεθα, τόν ῥά ποτ' αὐτὴ Καλλιόπη Θρήικι φατίζεται εὐνηθεῖσα Οἰάγρῳ σκοπιῆς Πιμπληίδος ἄγχι τεκέσθαι.

(2) De his audiendus Suidas : Ὀρφεὺς Κικοναῖος ἢ Ἀρκὰς ἐκ Βισαλτίας τῆς Θρᾳκικῆς. Γέγονε δὲ καὶ οὗτος πρὸ Ὁμήρου δύο γενεαῖς πρεσβύτερος τῶν Τρωϊκῶν· ἔγραψε δὲ μυθοποιίαν, ἐπιγράμματα, ὕμνους. Ὀρφεὺς Ὀδρύσης ἐποποιός. Διονυσιος δὲ τοῦτον οὐδὲ γεγονέναι λέγει· ὅμως ἀναφέρονται εἰς αὐτον τινα ποιήματα. Ὀρφεὺς Κροτωνιάτης ἐποποιός, ὃν Πεισιστράτῳ συνεῖναι τῷ τυράννῳ Ἀσκληπιάδης φησὶν ἐν τῷ ἕκτῳ βιβλίῳ τῶν Γραμματικῶν· ἔγραψε Δεκαετηρίαν, Ἀργοναυτικὰ καὶ ἄλλα τινά. Ὀρφεὺς Καμαριναῖος, οὗ φασιν εἶναι τὴν εἰς ᾅδου κατάβασιν. Cf. Schol. Apoll. I, 23; Eustath. p. 159; Hermias in Phædr. p. 109.

(3) Tzetzes Chil. XII, 399.

(4) Plato de Legg. VI p. 782 D : Ἀλλὰ Ὀρφικοί τινες λεγόμενοι βίοι ἐγένοντο τοῖς τότε, ἀψύχων μὲν ἐχόμενοι πάντων, ἐμψύχων δὲ πάντων ἀπεχόμενοι.

(5) Lucianus de astrologia init. : Ἕλληνες δὲ οὔτε παρ' Αἰθιόπων οὔτε παρ' Αἰγυπτίων ἀστρολογίης πέρι οὐδὲν ἤκουσαν, ἀλλά σφισιν Ὀρφεὺς ὁ Οἰάγρου καὶ Καλλιόπης πρῶτος τάδε ἀπηγήσατο.

(6) Clemens Alexandrinus Strom. I pag. 332 D : Ὀνομάκριτος, οὗ τὰ εἰς Ὀρφέα φερόμενα ποιήματα λέγεται εἶναι, περὶ τὴν πεντηκοστὴν ὀλυμπιάδα. Ὀρφεὺς δὲ ὁ συμπλεύσας Ἡρακλεῖ, Μουσαίου μαθητής. Καὶ τοὺς μὲν ἀναφερομένους εἰς Μουσαῖον Χρησμοὺς Ὀνομακρίτου εἶναι λέγουσι· τὸν Κρατῆρα δὲ τὸν Ὀρφέως Ζωπύρου τοῦ Ἡρακλεώτου· τὴν δὲ εἰς ᾅδου Κατάβασιν Προδίκου τοῦ Σαμίου. Ἴων δὲ ὁ Χῖος ἐν τοῖς Τριαγμοῖς καὶ Πυθαγόραν εἰς Ὀρφέα ἀνενεγκεῖν τινα ἱστορεῖ. Ἐπιγένης δὲ ἐν τοῖς περὶ τῆς εἰς Ὀρφέα ποιήσεως Κέρκωπος εἶναι τοῦ Πυθαγορείου τὴν εἰς ᾅδου Κατάβασιν καὶ τὸν Ἱερὸν λόγον, τὸν δὲ Πέπλον καὶ τὰ Φυσικὰ Βροντίνου. Suidas : Ὀρφεὺς ἔγραψε Τριασμούς· λέγονται δὲ εἶναι Ἴωνος τοῦ τραγικοῦ· ἐν δὲ τούτοις τὰ Ἱεροστολικὰ καλούμενα. Κλίσεις κοσμικαίνας (leg. Κτίσις κόσμου). Νεοτευκτικά. Ἱεροὺς λόγους ἐν ῥαψῳδίαις κδ'. λέγονται δ' εἶναι Θεογνήτου τοῦ Θεσσαλοῦ, οἱ δὲ Κέρκωπος τοῦ Πυθαγορείου. Χρησμούς, οἳ ἀναφέρονται εἰς Ὀνομάκριτον. Τελετάς· ὁμοίως δέ φασι καὶ ταύτας Ὀνομακρίτου· ἐν τούτοις δ' ἐστὶ περὶ Λίθων γλυφῆς, ἥτις Ὀγδοηκοντάλιθος ἐπιγράφεται. Σωτήρια· ταῦτα Τιμοκλέους τοῦ Συρακουσίου λέγεται καὶ Περγίνου τοῦ Μιλησίου. Κρατῆρας· ταῦτα Ζωπύρου φασί. Θρονισμοὺς μητρῴους καὶ Βακχικά· ταῦτα Νικίου τοῦ Ἐλεάτου φασὶν εἶναι. Εἰς ᾅδου Κατάβασιν· ταῦτα Ἡροδίκου τοῦ Περινθίου· Πέπλον καὶ Δίκτυον· καὶ ταῦτα Ζωπύρου τοῦ Ἡρακλεώτου, οἱ δὲ Βροντίνου. Ὀνομαστικῶν ἔπη ͵ασ'. Ἀστρονομίαν. Ἀμοκοπίαν (leg. Ἀμμοκοπίαν). Θυηπολικόν. Ὠοθυτικὰ ἢ Ὠοσκοπικὰ ἐπικῶς (leg. ἔπη κα'). Καταζωστικόν. Ὕμνους. Κορυβαντικὸν καὶ Φυσικά, ἃ Βροντίνου φασίν. Lascaris Prolegg. in Orph. in Marm. Taurin. p. 98 : Κατέλιπε δὲ συγγράμματα μετρικὰ καὶ ὅσα καὶ αὐτὸς ἐν Ἀργοναύταις (v. 7) κατ' ἐπανάληψιν ἀριθμεῖ—καὶ περὶ θεῶν καὶ κοσμογενείας, ὕμνους διαφόρους εἰς θεούς, Γεωργικά, Φυσικά, Ἀργολικά, Μετέωρα, Λιθικά, μυστήρια δὲ διάφορα, περὶ τῶν φυτῶν, βοτανῶν, χωρογραφίας, ἰατρικῆς, νόμων, τελευταῖα τὰ Ἀργοναυτικά. Γεγόνασι δὲ Ὀρφεῖς ἕξ· πρῶτον οὗτος ἀρχαῖος ποιητὴς ἐκ Λειβήθρων τῆς Θρᾴκης, δεύτερος Κικοναῖος ἐκ Βισαλτίας πενθῶν (leg. πρὸ τῶν) Τρωικῶν καὶ αὐτός, ὃς συνέγραψε μυθοποιίαν, ἐπιγράμματα, ὕμνους. τρίτος Ὀδρύσης ἐποποιίαν τινὰ ποιήσας. τέταρτος Κροτωνιάτης, ὃς συνῆν Πεισιστράτῳ, συνέγραψε δὲ Δεκαετηρίαν, Ἀργοναυτικὰ καὶ ἄλλα. πέμπτος Καμαριναῖος ἐποποιός, οὗ φασι τὴν εἰς ᾅδου κατάβασιν. ἕκτος βασιλεὺς Θρᾳκῶν, ἐφ' οὗ Ἀμαζόνες Φρυγίαν ἐδασμολόγησαν.

(7) Hanc Agriopen vocat Hermesianax ap. Athen. XIII p. 597 B : Οἵην μὲν φίλος υἱὸς ἀνήγαγεν Οἰάγροιο Ἀγριόπην Θρῇσσαν στειλάμενος κιθάρην ᾅδόθεν κτλ.

(Proclus Tim. II pag. 96 A, p. 225 ed. Schneider. : Τὰ τοίνυν ὅλα περιέχων ὁ Ζεὺς καὶ πάντα μοναδικῶς καὶ νοερῶς κατὰ τούτους τοὺς χρησμοὺς μετὰ τῆς Νυκτὸς ὑφίστησι, καὶ πάντα τὰ ἐγκόσμια, θεούς τε καὶ τὰς μοίρας τοῦ παντός. Λέγει γοῦν πρὸς αὐτὸν ἡ Νὺξ ἐρωτήσαντα· Πῶς δέ μοι κτλ. — Vs. 9 legebatur ἐστεφάνωτο, quod cum Gesnero ex Homeri Iliad. lib. XVIII, 485 in ἐστεφάνωται mutavi. — Addit Proclus : Καὶ δὴ καὶ περὶ τῶν ἄλλων ἁπάντων ὑποθεμένη δημιουργημάτων ἐπήνεγκεν· αὐτὰρ ἐπεὶ

Titanes fraudulenti, violentum animum habentes.

IX.

Struxit autem aliam terram infinitam, quam selenen (i. e. lunam)
immortales vocant, terræque cultores lunam,
quæ multos habet montes, multa oppida, multas domos.
— Ut intra mensem vertat quod sol per annum.

X.

Mater nutrix, dearum summa, Nox immortalis, quomodo, hoc mihi dic,
quomodo me oporteat validum immortalium imperium fundare?
Æthere im menso omnia complectere, sed hujus medio gremio
cœlum.
Erige genus nostrum, inclyte deus. —
Quomodo mihi unum aliquid universa erunt et seorsum singula?
Æthere immenso omnia complectere, at hujus medio gremio cœlum, tum vero terram infinitam et mare
et sidera cuncta, quibus cœlum ornatum est.
Sed postquam omnibus tenacissimum vinculum injeceris,
aureâ catenâ ex æthere suspensâ........

κτλ. — Vs. 10 codd. habent ἐπεὶ vel ἐπὴ et ἐπὶ πᾶσι, sed Comment. in Cratyl. in Act. phil. Monac. II p. 128 exaratum est ἐπὴν et περὶ πᾶσι, quemadmodum hic quoque editores scribi voluerunt. At ἐπεὶ pro ἐπὴν epicorum poetarum sermo non respuit. Cf. Iliad. XV, 363. Cæterum iidem versus iterantur a Proclo in Tim. III p. 146 E : Καὶ οὗτός ἐστιν ὁ κρατερὸς δεσμός, ὥς φησιν ὁ Θεολόγος, διὰ πάντων τεταμένος καὶ ὑπὸ τῆς χρυσῆς σειρᾶς συνεχόμενος· ἐπ' αὐτῷ γὰρ ὁ Ζεὺς τὴν χρυσῆν ὑφίστησι σειρὰν κατὰ τὰς ὑποθήκας τῆς Νυκτός· Αὐτὰρ ἐπεὶ κτλ. Cf. Proclus in Tim. III p. 173 F : Κρατερὸς μὲν γὰρ καὶ ὁ δεσμὸς ὁ ἀπὸ νοῦ καὶ ψυχῆς, ὥς καὶ Ὀρφεύς φησιν, ἀλλὰ μείζων ἡ τῆς χρυσῆς σειρᾶς ἕνωσις καὶ μειζόνων τοῖς πᾶσιν ἀγαθῶν αἰτία. Similiter jam Homerus Iliad. VIII, 19 : Σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες.)

XI.

Ζεὺς δ' ἐφορᾷ γονέων ὁπόσοι τίουσι θέμιστας,
ἠδ' ὅσοι οὐκ ἀλέγουσιν, ἀναιδέα θυμὸν ἔχοντες·
καὶ τοῖς μὲν πρόφρων τε καὶ ἤπιος ἐσθλὰ δίδωσι,
τοῖς δὲ κακὰ φρονέων νεμεσίζεται Εὐμενίδεσσι.
δειναὶ γὰρ κατὰ γαῖαν Ἐριννύες εἰσὶ τοκήων.

(Stobæus Floril. LXXIX, 28.)

XII.

Ἦν χρόνος, ἡνίκα φῶτες ἀπ' ἀλλήλων βίον εἶχον
σαρκοδακῆ· κρείσσων δὲ τὸν ἥττονα φῶτα δάϊζε.

(Sextus Empiricus adv. Math. II, 31 et IX, 15 : Οἱ γὰρ νόμοι πόλεών εἰσι σύνδεσμοι, καὶ ὡς ψυχὴ σώματος ἐκφθαρέντος φθείρεται, οὕτω νόμων ἀναιρεθέντων καὶ αἱ πόλεις διόλλυνται. Παρὸ καὶ ὁ ἠθολόγος Ὀρφεὺς τὸ ἀναγκαῖον αὐτῶν ὑποφαίνων φησί· ἦν χρόνος κτλ. Μηδενὸς γὰρ ἐπιστατοῦντος νόμου, ἕκαστος ἐν χερσὶ τὸ δίκαιον εἶχε.)

XIII.

Ἕκτῃ δ' ἐν γενεᾷ καταπαύσατε κόσμον ἀοιδῆς.

(Plato Phileb. p. 66 C : ἕκτῃ δ' ἐν γενεᾷ, φησὶν Ὀρφεύς, κτλ. Idem versus exstat apud Plutarchum περὶ τοῦ ΕΙ τοῦ ἐν Δελφοῖς tom. IX p. 236 ed. Hutten., ubi pro κόσμον codices θυμὸν præbent. Cf. Lobeckii Aglaopham. tom. II p. 788 seqq.)

XIV.

Ὠκεανὸς πρῶτος καλλίρροος ἦρξε γάμοιο,
ὅς ῥα κασιγνήτην ὁμομήτορα Τηθὺν ὄπυιεν.

(Plato Cratyl. p. 402 et Stobæus Eclog. Phys. lib. I cap. 10, 8, tom. I pag. 109 ed. Gaisford., quorum posterior hunc locum a priore mutuatus videtur. Plato addit : Λέγει δέ που καὶ Ὀρφεὺς ὅτι· Ὠκεανὸς κτλ.)

XV.

Ἀργὼ τὸ σκάφος εἰμί, θεῷ δ' ἀνέθηκεν Ἰάσων,
Ἴσθμια καὶ Νεμέαις στεψάμενον πίτυσιν.

(Dio Chrysostomus Orat. XXXVII p. 107 : Ἐγένετο δὲ καὶ τῶν νεῶν ἅμιλλα· καὶ Ἀργὼ ἐνίκα, καὶ μετὰ ταῦτα οὐκ ἔπλευσεν, ἀλλ' αὐτὴν ἀνέθηκεν ὁ Ἰάσων ἐνταῦθα [ἐν Κορίνθῳ] τῷ Ποσειδῶνι, καὶ τὸ ἐπίγραμμα ἐπέγραψεν, ὃ λέγουσιν Ὀρφέως εἶναι· Ἀργὼ τὸ σκάφος κτλ. Cf. Anthol. t. IV, Epigr. ἀδεσπ. CCXXII. b. et Schol. Lyc. v. 175 p. 441. Similiter locutus est Simonides apud Henr. Stephanum Thes. ling. gr. II p. 1690 A : Ἴσθμια, δὶς Νέμεα, τρὶς Ὀλύμπια ἐστεφανώθην, et Lucianus ibid., ἔστεψαι τὰ Ὀλύμπια, neque erat quod Bergkius Poet. Lyr. p. 928 deteriorem scripturam Ἴσθμια δίς, Νεμέᾳ δίς, Ὀλυμπίᾳ ἐστεφανώθην probaret.)

XVI.

Ὣς εἰποῦσα πέπλους ἀνεσύρατο, δεῖξέ τε πάντα
σώματος οὔτι πρέποντα τύπον· παῖς δ' ἦεν Ἴακχος,
χεῖρά θ' ἑὴν ῥίπτασκε γελῶν Βαυβοῦς ὑπὸ κόλπους.
ἡ δ' ἐπεὶ οὖν μείδησε θεά, γήθησ' ἐνὶ θυμῷ,
δέξατο δ' αἰόλον ἄγγος, ἐν ᾧ κυκεὼν ἐνέκειτο.

(Clemens Alexandrinus Cohort. p. 17 : Καὶ

XI.

Jupiter inspicit illos qui colunt parentum jura,
et qui negligunt, impudentia freti.
Atque illis quidem benignus et mitis bona largitur,
his vero inimicus irascitur per Furias.
Sunt enim horribiles in terra parentum Furiæ.

XII.

Erat tempus illud, quum homines mutua cæde vitam tolerarent
carnibus comedendis, et validior vir invalidiorem interfectum dilaniaret.

XIII.

Sexta vero in progenie carminis ornatum finitote.

XIV.

Oceanus pulchre fluens primus conjugium inchoavit,
qui sororem germanam Tethyn uxorem habebat.

XV.

Argo navis sum, deo autem me dedicavit Iason
in Isthmiis ludis Nemeâ etiam pinu coronatam.

XVI.

Sic locuta retexit vestem, ostenditque omnem
pudendam corporis partem : accedebat autem Iacchus puer,
manumque suam ridens Baubûs sinui subjecit.
Postquam vero dea illa subrisit, gavisa est animo
accepitque vas varium, in quo cinnus inerat.

τί θαυμαστὸν εἰ Τυῤῥηνοὶ οἱ βάρβαροι αἰσχροῖς οὕτω τελίσκονται παθήμασιν, ὅπου γε Ἀθηναίοις καὶ τῇ ἄλλῃ Ἑλλάδι (αἰδοῦμαι καὶ λέγειν, αἰσχύνης ἔμπλεως) ἡ περὶ τὴν Δηὼ μυθολογία; ἀλωμένη γὰρ ἡ Δηὼ κατὰ ζήτησιν τῆς θυγατρὸς τῆς Κόρης περὶ τὴν Ἐλευσῖνα ἀποκάμνει, καὶ φρέατι ἐπικαθίζει λυπουμένη. Τοῦτο τοῖς μυουμένοις ἀπαγορεύεται εἰσέτι νῦν, ἵνα μὴ δοκοῖεν οἱ τετελεσμένοι μιμεῖσθαι τὴν ὀδυρομένην. Ὤκουν δὲ τηνικάδε τὴν Ἐλευσῖνα οἱ γηγενεῖς· ὀνόματα αὐτοῖς Βαυβὼ καὶ Δυσαύλης καὶ Τριπτόλεμος· ἔτι δὲ Εὔμολπός τε καὶ Εὐβουλεύς. Βουκόλος ὁ Τριπτόλεμος ἦν, ποιμὴν δὲ ὁ Εὔμολπος, συβώτης δὲ ὁ Εὐβουλεύς· ἀφ' ὧν τὸ Εὐμολπιδῶν καὶ τὸ κηρύκων τὸ ἱεροφαντικὸν δὴ τοῦτο Ἀθήνησι γένος ἤνθησεν. Καὶ δὴ (οὐ γὰρ ἀνήσω μὴ οὐχὶ εἰπεῖν) ξενίσασα ἡ Βαυβὼ τὴν Δηώ, ὀρέγει κυκεῶνα αὐτῇ. Τῆς δὲ ἀναινομένης λαβεῖν, καὶ πιεῖν οὐκ ἐθελούσης (πενθήρης γὰρ ἦν) περιαλγὴς ἡ Βαυβὼ γενομένη, ὡς ὑπεροραθεῖσα δῆθεν, ἀναστέλλεται τὰ αἰδοῖα, καὶ ἐπιδεικνύει τῇ θεῷ· ἡ δὲ τέρπεται τῇ ὄψει ἡ Δηώ, καὶ μόλις ποτὲ δέχεται τὸ ποτόν, ἡσθεῖσα τῷ θεάματι. Ταῦτ' ἐστὶ τὰ κρύφια τῶν Ἀθηναίων μυστήρια· ταῦτά τοι καὶ Ὀρφεὺς ἀναγράφει. Παραθήσομαι δέ σοι αὐτὰ τοῦ Ὀρφέως τὰ ἔπη, ἵν' ἔχῃς μάρτυρα τῆς ἀναισχυντίας τὸν μυσταγωγόν. Ὣς εἰποῦσα κτλ. Repetit hæc iisdem verbis Eusebius Præp. Evang. II, 3. — Vs. 1 sic immutatus legitur apud Gregorium Nazianzenum in Julian. Orat. III p. 104 : Ὣς εἰποῦσα θεὰ δοιοὺς ἀνεσύρατο μηρούς. Sed hoc memoriæ vitio factum. — Vs. 2 scribebatur οὐδὲ πρέποντα, quod Hermannus in οὔτι πρέποντα convertit. Porro ἤεν codices præbent; at sensus requirit ἦεν. — Vs. 3 χειρί τέ μιν ῥίπτασκε γελῶν Βαυβοῦς ὑπὸ κόλποις membranarum scriptura est, cujus loco Gesnerus edidit : χεῖρά θ' ἑὴν ῥίπτεσκε γελῶν Βαυβοῦς ὑπὸ κόλπους. Ego ῥίπτασκε restitui. — Vs. 4 ἡ δ' ἐπεὶ οὖν μείδησε θεά, μείδησ' ἐνὶ θυμῷ codices; scripsi quod sententia flagitat γήθησ' ἐνὶ θυμῷ. — Longe aliter rem narrat Arnobius quem corrigere supersedemus. Is enim Adv. gentes lib. V p. 175 hæc scripsit : « Baubo accipit hospitio Cererem ; sitienti adoris oggerit potionem cinnum ; aversatur et respuit dea. Tum vertit Baubo artes et quam serio non quibat allicere, ludibriorum statuit exhilarare miraculis ; partem illam corporis per quam secus femineum sobolem solet prodere, facit in speciem lævigari nondum duri atque striculi pusionis, redit ad deam tristem et retegit se ipsam. Ipsos in medio ponemus versus quos Calliopes filius ore edidit Græco et cantando per sæcula generi publicavit humano :

Sic effata sinu vestem contraxit ab imo,
objecitque oculis formatas inguinibus res,
quas cava succutiens Bacchi manu', nam puerilis
ollis vultus erat, plaudit, contrectat amice.
Tum dea defigens augusti luminis orbes,
tristitias animi paullum mollita reponit :
inde manu poclum sumit risuque sequenti
perducit totum cyceonis læta liquorem. »

Disputat copiose de hoc loco Lobeckius Aglapham. tom. II p. 818-827, nec tamen ita, ut operæ pretium fecisse videatur.)

XVII.

Κῶνος καὶ ῥόμβος καὶ παίγνια καμπεσίγυια,
μῆλά τε χρύσεα καλὰ παρ' Ἑσπερίδων λιγυφώνων.

(Clemens Alexandrinus Cohort. p. 15 : Τὰ γὰρ Διονύσου μυστήρια τελέως ἀπάνθρωπα, ὃν εἰσέτι παῖδα ὄντα, ἐνόπλῳ κινήσει περιχορευόντων Κουρήτων, δόλῳ δὲ ὑποδύντων Τιτάνων, ἀπατήσαντες παιδαριώδεσιν ἀθύρμασιν οὗτοι δὴ οἱ Τιτᾶνες διέσπασαν, ἔτι νηπίαχον ὄντα, ὡς ὁ τῆς τελετῆς ποιητὴς Ὀρφεύς φησιν ὁ Θρᾴκιος· κῶνος καὶ ῥόμβος κτλ. καὶ τῆσδε ὑμῖν τῆς τελετῆς τὰ ἀχρεῖα σύμβολα οὐκ ἀχρεῖον εἰς κατάγνωσιν παραθέσθαι, ἀστράγαλος, σφαῖρα, στρόβιλος, μῆλα, ῥόμβος, ἔσοπτρον, πόκος. Arnobius Adv. gentes lib. V, 19 p. 169 : « Bacchanalia prætermittamus, in quibus arcana et tacenda res proditur insinuaturque sacratis, ut occupatus puerilibus ludicris distractus a Titanibus Liber sit — sectus — in ollam conjectus — ut Jupiter invocatus advolaverit ad prandium compertaque re grassatores obruerit fulmine et in Tartarum præcipitaverit ; cujus rei argumentum prodidit vates Thracius, talos, speculum, turbines, volatiles rotulas et sumta ab Hesperidibus mala. » Cf. Lobeckii Aglaopham. I p. 699 seqq.)

XVIII.

Ὡς οὐ κύντερον ἦν καὶ ῥίγιον ἄλλο γυναικός.

(Clemens Alexandrinus Strom. lib. VI p. 738 : Ὀρφέως ποιήσαντος· ὡς οὐ κύντερον κτλ. Ὅμηρος ἄντικρυς λέγει (Ὀδ. λ, 426) ὡς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικός.)

XVII.

Turbo et rhombus et oscilla flexibilia,
pulchraque Hesperidum vocalium aurea mala.

XVIII.

Quandoquidem non erat aliud impudentius et horribilius
[muliere.—

Κεῖτ' ἀποδοχμώσας παχὺν αὐχένα, κὰδ δέ μιν [ὕπνος
ἥρει πανδαμάτωρ.

(Clemens Alexandrinus Strom. lib. VI p. 751 : Εὕροις δ' ἂν καὶ Ὅμηρον, τὸν μέγαν ποιητήν, ἐκεῖνα τὰ ἔπη, Οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης (Ἰλ. ρ, 53) καὶ τὰ ἑξῆς, κατὰ λέξιν μετενηνοχότα παρ' Ὀρφέως ἐκ τοῦ Διονύσου ἀφανισμοῦ· ἔν τε τῇ θεολογίᾳ ἐπὶ τοῦ Κρόνου Ὀρφεῖ πεποίηται· κεῖτ' ἀποδοχμώσας κτλ. Ταῦτα δὲ Ὅμηρος (Ὀδ. ι, 372) ἐπὶ τοῦ Κύκλωπος μετέθηκεν.)

Ὠκεανός, ὅσπερ γένεσις πάντεσσι τέτυκται.

(Athenag. Legat. c. 15 p. 64 : Ὁμήρου μὲν γὰρ λέγοντος, Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν· Ὀρφέως δὲ (ὃς καὶ τὰ ὀνόματα αὐτῶν πρῶτος ἐξεῦρεν, καὶ τὰς γενέσεις διεξῆλθε, καὶ ὅσα ἑκάστοις πέπρακται εἶπε, καὶ πεπίστευται παρ' αὐτοῖς ἀληθέστερον θεολογεῖν· ᾧ καὶ Ὅμηρος τὰ πολλὰ καὶ περὶ θεῶν μάλιστα ἕπεται) καὶ αὐτοῦ τὴν πρώτην γένεσιν αὐτῶν ἐξ ὕδατος συνιστάντος· Ὠκεανός, ὅσπερ κτλ. Ἦν γὰρ ὕδωρ ἀρχὴ κατ' αὐτὸν τοῖς ὅλοις, ἀπὸ δὲ τοῦ ὕδατος ἰλὺς κατέστη· ἐκ δὲ ἑκατέρων ἐγεννήθη ζῷον δράκων, προσπεφυκυῖαν ἔχων κεφαλὴν λέοντος. Διὰ μέσου δὲ αὐτῶν θεοῦ πρόσωπον, ὄνομα Ἡρακλῆς καὶ Κρόνος. Οὗτος ὁ Ἡρακλῆς ἐγέννησεν ὑπερμέγεθες ᾠόν, ὃ συμπληρούμενον ὑπὸ βίας τοῦ γεγεννηκότος ἐκ παρατριβῆς εἰς δύο ἐῤῥάγη· τὸ μὲν οὖν κατὰ κορυφὴν αὐτοῦ οὐρανὸς εἶναι ἐτελέσθη· τὸ δὲ κατενεχθὲν γῆ. Προῆλθε δὲ καὶ Γῆ διὰ σώματος. Οὐρανὸς δὲ Γῇ μιχθεὶς γεννᾷ θηλείας μὲν Κλωθώ, Λάχεσιν, Ἄτροπον· ἄνδρας δὲ ἑκατόγχειρας, Κόττυν, Γύγην, Βριάρεων καὶ Κύκλωπας, Βρόντην καὶ Στερόπην καὶ Ἄργον· οὓς καὶ δήσας κατεταρτάρωσεν, ἐκπεσεῖσθαι αὐτὸν ὑπὸ τῶν παίδων τῆς ἀρχῆς μαθών.)

Μῆνιν ἄειδε θεὰ Δημήτερος ἀγλαοκάρπου.

(Justinus Martyr Cohort. c. 16, p. 81 extr. : Τοῦ Ὀρφέως Μῆνιν ἄειδε κτλ. ἐν ἀρχῇ τῆς ποιήσεως εἰρηκότος, αὐτὸς (Homerus) « Μῆνιν ἄειδε Θεὰ Πηληϊάδεω Ἀχιλῆος » γέγραφεν. Cf. Tzetzes Exeg. Hom. ms. fol. 8.)

Υἱὲ Διὸς μεγάλοιο, πάτερ Διὸς αἰγιόχοιο.

(Clemens Alexandr. Strom. lib. V p. 718 : Ἤδη δὲ καὶ Ὅμηρος φαίνεται πατέρα καὶ υἱὸν διὰ τούτων ὡς ἔτυχε μαντείας εὐστόλου λέγων· Εἰ μὲν δὴ οὔτις σε βιάζεται οἶον ἐόντα, Νοῦσον δ' (leg. νοῦσόν γ') οὔπως ἐστὶ Διὸς μεγάλου ἀλέασθαι (Odyss. IX, 410-411). Οὐ γὰρ Κύκλωπες Διὸς αἰγιόχου ἀλέγουσιν (Odyss. IX, 275). Καὶ πρὸ τούτου Ὀρφεὺς κατὰ τοῦ προκειμένου φερόμενος εἴρηκεν· Υἱὲ Διὸς κτλ.)

XIX.

Καὶ φύσεως κλυτὰ ἔργα μένει, καὶ ἀπείριτος αἰών.

(Proclus in Plat. Tim. I p. 29 D, pag. 66 ed. Schneider. : Οὕτω γὰρ καὶ παρ' Ὀρφεῖ τὰ τῆς φύσεως ἔργα κλυτὰ προσαγορεύεται, καὶ φύσεως κτλ.)

Ἔστιν ὕδωρ ψυχῇ, ψυχὴ δ' ὑδάτεσσιν ἀμοιβή·
ἐκ δ' ὕδατος μὲν γαῖα, τὸ δ' ἐκ γαίης πάλιν ὕδωρ·
ἐκ τοῦ δὲ ψυχή, ὅλον αἰθέρος ἀλλάσσουσα.

(Clemens Alexandrinus Strom. lib. VI p. 746 : Ὀρφέως ποιήσαντος· « Ἔστιν ὕδωρ ψυχῇ θάνατος δ' ὑδάτεσσιν ἀμοιβή· ἐκ δ' ὕδατος γαίη, τὸ δ' ἐκ γαίης πάλιν ὕδωρ· ἐκ τοῦ δὲ ψυχή, ὅλον αἰθέρα ἀλλάσσουσα, » Ἡράκλειτος ἐκ τούτων συνιστάμενος τοὺς λόγους ὧδέ πως γράφει, Ψυχῇσι θάνατος, ὕδωρ γενέσθαι· ὕδατι δὲ θάνατος, γῆν γενέσθαι· ἐκ γῆς δὲ ὕδωρ γίνεται, ἐξ ὕδατος δὲ ψυχή. Versus emendavit Hermannus Opusc. tom. II pag. 244.)

Θαλλοῖς δ' ἶσα βροτοῖσιν ἐνὶ φρεσὶν ἔργα μέμηλεν.
οὐδὲν ἔχει μίαν αἶσαν ἐπὶ χθονός, ἀλλὰ κυκλεῖται
πάντα πέριξ· στῆναι δὲ καθ' ἓν μέρος οὐ θέμις [ἐστίν,
ἀλλ' ἔχει, ὡς ἤρξαντο, δρόμου μέρος ἶσον ἕκαστος.

(Clemens Alexandrinus Strom. V p. 672 : Ἀλλὰ καὶ Διονύσιος ὁ Θρᾷξ ἐν τῷ περὶ τῆς ἐμφάσεως τοῦ περὶ τῶν τροχίσκων συμβόλου φησίν· Ἐσήμαινον γοῦν οὐ διὰ λέξεως μόνον, ἀλλὰ καὶ διὰ συμβόλων ἔνιοι τὰς πράξεις. Διὰ λέξεως μὲν ὡς ἔχει τὰ λεγόμενα Δελφικὰ παραγγέλματα· διὰ δὲ συμβόλων, ὥς ὅ τε τροχὸς ὁ στρεφόμενος ἐν τοῖς θεῶν τεμένεσιν εἱλκυσμένος παρὰ τῶν Αἰγυπτίων καὶ τὸ τῶν θαλλῶν τῶν διδομένων τοῖς προσκυνοῦσι· φησὶ

Jacebat inflexa crassa cervice, somnusque eum omnium domitor cepit. —

Oceanus qui fons et origo omnibus est. —

Iram cane, dea, Cereris frugiferæ. —

Fili magni Jovis, pater Jovis ægidem gestantis.

XIX.

Et inclyta naturæ opera manent et tempus infinitum. —

Est aqua aeris, aer autem aquarum permutatio;
ex aqua quidem terra, e terra vero rursus aqua;
sed ex hac aer, ætheris viam mutans. —

Ramis æqualia mortales mente opera curant.
Nihil unam habet sortem in terris, sed in orbem agitantur
omnia circumcirca; neque vero semoto a ceteris loco esse [licet,
sed in suam quisque et æquam instituti cursus partem [venit. —

γὰρ Ὀρφεὺς ὁ Θρᾷξ· Θαλλῶν δ' ὅσα βροτοῖσιν ἐπὶ χθονὸς ἔργα μέμηλεν, οὐδὲν ἔχει μίαν αἶσαν ἐπὶ φρεσίν· ἀλλὰ κυκλεῖται κτλ. Οἱ θαλλοὶ ἤτοι τῆς πρώτης τροφῆς σύμβολον ὑπάρχουσιν ἢ ὅπως ἐπίστωνται οἱ πολλοὶ τοὺς μὲν καρποὺς δι' ὅλου θάλλειν καὶ αὔξεσθαι διαμένοντας, σφᾶς δ' αὐτοὺς ὀλίγον εἰληχέναι τὸν τῆς ζωῆς χρόνον, τούτου χάριν δίδοσθαι τοὺς θαλλούς· ἴσως δὲ καὶ ἵνα ἐπίστωνται, ὅτι, ὡς αὖ οὗτοι καίονται, οὕτως καὶ τοὺς εἰς τοῦτον τὸν βίον (ἥκοντας) ταχέως ἐκλιπεῖν. Poeta cum ramis negotia humana comparat, ut Homerus cum foliis Iliad. VI, 146. Itaque Lobeckius Aglaoph. II p. 836 initium hujus fragmenti sic corrigit : Θαλλῶν δ' ἶσα βροτοῖσιν ἐνὶ φρεσὶν ἔργα μέμηλεν. Οὐδὲν ἔχει μίαν αἶσαν ἐπὶ χθονός. Sed ἶσα postulat dativum θαλλοῖς quem restitui.)

Καὶ βέδυ νυμφάων καταλείβεται ἀγλαὸν ὕδωρ.

(Clemens Alex. Strom. V p. 673 : Χρησιμώτερον ἄρα τὸ τῆς συμβολικῆς ἑρμηνείας εἰς τὰ πολλά—ναὶ μὴν ἡ στοιχειωτικὴ τῶν παίδων διδασκαλία τὴν τῶν τεττάρων στοιχείων περιείληφεν ἑρμηνείαν· βέδυ γὰρ τοὺς Φρύγας τὸ ὕδωρ φησὶ (Δίδυμος) καλεῖν, καθὸ καὶ Ὀρφεύς· Καὶ βέδυ κτλ.)

Διώρισε δ' ἀνθρώποισι
χωρὶς ἀπ' ἀθανάτων ναίειν ἕδος, ᾗ μέσος ἄξων
ἠελίου τρέπεται ποτινεύμενος, οὔτε τι λίην
ψυχρὸς ὑπὲρ κεφαλῆς, οὔτ' ἔμπυρος, ἀλλὰ μεσηγύς.

(Proclus in Plat. Tim. I, p. 38 A, p. 87 ed. Schneid. : Καὶ γὰρ οὐ μόνον οἱ μαθηματικοὶ λέγουσι περὶ τοῦ μὴ πᾶν κλῖμα γῆς ἀνθρώπους ἔχειν, ἀλλὰ καὶ Ὀρφεὺς οὑτωσὶ διορίζων· Διώρισε δ' ἀνθρώποισι κτλ.)

XX.

Τῷ δὲ Δίκη πολύποινος ἐφείπετο πᾶσιν ἀρωγός.

(Proclus in Platonis Theol. VI, 8 p. 363 : Ὁ Ὀρφεὺς—ἤδη βασιλεύοντι [τῷ τῶν ὅλων δημιουργῷ] καὶ διακοσμεῖν ἀρχομένῳ τὸ πᾶν ἕπεσθαί φησι τὴν ὅλην Δίκην· τῷ δὲ Δίκη πολύποινος ἐφέπετο πᾶσιν ἀρωγός. Eodem modo versus corruptus est Comm. in Tim. V p. 310 D, pag. 753 ed. Schneid. Nos certam Æmilii Porti emendationem probavimus.)

XXI.

Οὐδέ τι λήθονται Μουσέων βροτοί· αἱ γὰρ ἔασι
κοίρανοι, αἷσι μέμηλε χορὸς θαλίαι τ' ἐρατειναί.

(Schol. Apollon. Argon. III, 1 : Ὅτι θαλιῶν εἰσι προστάτιδες αἱ Μοῦσαι, ἐν τοῖς Ὀρφικοῖς δεδήλωται· Οὐδέ τι λήθονται κτλ. Et paulo post : Ἐν τοῖς Ὀρφικοῖς εὑρέτις ὀρχήσεως ἡ Ἐρατὼ παραδίδοται. Pro membranarum scriptura λήγονται posui λήθονται cum Ruhnkenio ad Hom. fragm. II. in Bacchum p. 3.)

XXII.

Αὐτὰρ Ἔρωτα Κρόνος καὶ πνεύματα πάντ' ἐτέχνωσε.

(Schol. Apollon. III, 26 : Ἐν τοῖς εἰς Ὀρφέα ἀναφερομένοις Κρόνου [παῖς ὁ Ἔρως] γενεαλογεῖται· αὐτὰρ κτλ. Conf. Orphei Argon. vs. 14.)

XXIII.

Πῦρ ἴκελον σκιρτηδὸν ἐπ' ἠέρος οἶδμα τιταῖνον,
ἢ καὶ πῦρ ἀτύπωτον, ὅθεν φαναὶ προθέουσιν,
ἢ φῶς πλούσιον ἀμφὶ γύην ῥιζαῖον ἑλιχθέν,
ἀλλὰ καὶ ἵππον ἰδεῖν φωτὸς πλέον, ἀστράπτοντα,
ἢ καὶ παῖδα θοοῖς νώτοις ἐποχούμενον ἵππου,
ἔμπυρον, ἢ χρυσῷ πεπυκασμένον, ἢ πάλι γυμνόν,
ἢ καὶ τοξεύοντα καὶ ἑστηῶτ' ἐπὶ νώτοις.

(Proclus in Platonis Polit. p. 380 : Οἱ θεοὶ πολλὰς ἑαυτῶν προτείνουσι μορφάς, πολλὰ δὲ σχήματα ἐξαλλάττοντες φαίνονται. — Καὶ ταῦτα καὶ ἡ θεοπαράδοτος μυσταγωγία παραδίδωσι. Ταῦτα γάρ φησιν ἐπιφωνήσασα· πῦρ ἴκελον κτλ. Est autem ἡ θεοπαράδοτος μυσταγωγία eadem quam Theol. Plat. VI, 8 p. 363 τὴν Ὀρφικὴν μυσταγωγίαν appellat. — Vs. 5 Gesnerus θοοῖς pro θεοῖς scripsit. — V. 6 idem ἔλπυρον recte in ἔμπυρον mutavit. Cf. Lobeckii Aglaoph. I p. 106 seq.)

Et liquor Nympharum, limpida defluit aqua.

Tribuit vero hominibus
sedem seorsum ab immortalibus habitandam, ubi medius
solis vertitur accedens, neque paullo axis
frigidior supra caput, neque ardens, sed temperatus.

XX.

Hunc autem vindex Justitia sequebatur omnibus auxilians.

XXI.

Neque obliviscuntur Musarum mortales : hæ enim sunt dominæ, quæ curant choros et festa jucunda.

XXII.

Sed Amorem Saturnus et ventos omnes genuit.

XXIII.

Ignem similem subsultim per aeris fluctus tendentem,
aut etiam ignem informem unde fulgura emicant,
aut lucem largam in terræ visceribus coruscantem,
sed equum etiam videre luce plenum, fulgentem,
aut etiam puerum veloci equi tergo invehentem,
igneum, vel auro tectum, vel rursus nudum,
vel etiam sagittantem atque in tergo insistentem.

XXIV.

Γλυκερὸν δὲ τέκος Διὸς ἐξεκαλεῖτο.

(Proclus in Tim. lib. II p. 124 D, p. 293 ed. Schneider : Ὡς γὰρ εἴρηται πρότερον, νοῦν ἄνευ ψυχῆς ἀδύνατον παραγενέσθαι τῳ. Τοῦτο δὲ ὅμοιον τῷ παρ' Ὀρφεῖ· γλυκερὸν δὲ κτλ. Τοῦτο δὲ ἦν ὁ κοσμικὸς νοῦς Δίιος ὤν, κατὰ τὸν ἐν τῷ Διὶ μείναντα προελθών.)

Μετὰ δὴ πατρικὰς διανοίας
ψυχὴ ἐγὼ ναίω, θέρμῃ ψυχοῦσα τὰ πάντα.

(Proclus l. c. : Οὕτω δὲ καὶ ἡ θεοπαράδοτος θεολογία φησὶ συμπεπληρῶσθαι τὸν κόσμον ἐκ τῶνδε τῶν τριῶν. Λέγει γοῦν ἡ ψυχὴ περὶ τοῦ Διὸς ἐπέκεινα τοῦ δημιουργήσαντος τὸ πᾶν· μετὰ δὴ πατρικὰς κτλ. Cf. Lobeck. Agl. p. 953).

Νοῦν μὲν ἐνὶ ψυχῇ, ψυχὴν δ' ἐνὶ σώματι ἀργῷ
ἡμῖν ἐγκατέθηκε πατὴρ ἀνδρῶν τε θεῶν τε.

(Proclus l. c. κατέθετο γὰρ « νοῦν μὲν ἐνὶ ψυχῇ κτλ. » Legebatur ἡμέας ἐγκατέθηκε quod mutavi in ἡμῖν ἐγκ. Nam ad ἡμέας defendendum, animas hic pluraliter loqui, cum Gesnero nemo dicet.)

XXV.

Νώτοις δ' ἀμφὶ θεᾶς φύσις ἄπλετος ἠώρηται.

(Proclus in Tim. I, p. 4 D, p. 8 ed. Schneider. : Τοιαύτη δὲ οὖσα προελήλυθεν ἀπὸ τῆς ζωογόνου θεᾶς· νώτοις δ' ἀμφὶ κτλ. Ἀφ' ἧς πᾶσα ζωὴ πρόεισιν, ἥ τε νοερὰ καὶ ἡ ἀχώριστος τῶν διοικουμένων, ἐξηρτημένη δ' ἐκεῖθεν καὶ ἀπηωρημένη φοιτᾷ διὰ πάντων ἀκωλύτως καὶ πάντα ἐμπνεῖ, δι' ἣν τὰ ἀψυχότατα ψυχῆς μετέχει τινός, καὶ τὰ φθειρόμενα μένει διαιωνίως ἐν τῷ κόσμῳ, ταῖς ἐν αὐτῇ τῶν εἰδῶν αἰτίαις συνεχόμενα.)

Ἄρχει δ' αὖ φύσις ἀκαμάτη κόσμων τε καὶ ἔργων.

(Proclus l. c. ἄρχει δ' αὖ κτλ. φησὶ τὸ λόγιον.)

Οὐρανὸς ὄφρα θέῃ δρόμον ἀίδιον κατασύρων.

(Proclus l. c. οὐρανὸς ὄφρα κτλ. καὶ τὰ ἑξῆς.)

Καὶ φύλαχ' αὐτὸν ἔτευξε κέλευσέ τε πᾶσιν ἀνάσσειν.

(Proclus in Tim. V p. 308 F, p. 749 ed. Schneider.: Καὶ διαφερόντως ὁ βασιλεὺς Ἥλιος· τοῦτον γὰρ ἐπέστησε τοῖς ὅλοις ὁ δημιουργός, καὶ φύλαχ' κτλ. ὥς φησιν ὁ Ὀρφεύς.)

XXVI.

Κραῖνε μὲν οὖν Ζεὺς πάντα πατήρ, Βάκχος δ' [ἐπέκραινε.

(Proclus in Tim. V p. 336 A : Ὃ γὰρ εἶπε περὶ τῆς μονάδος τῶν νέων θεῶν ὁ Ὀρφεύς, κραῖνε μὲν οὖν κτλ., τοῦτο καὶ περὶ τῶν νέων θεῶν ῥητέον, ὅτι δὴ τὴν δημιουργίαν ἐπιτελοῦσι τοῦ πατρός, ἣν ἐκεῖνος αὐτῷ τῷ νοεῖν ὑπέστησεν.)

Ταῦτα πατὴρ ἐνόησε, βροτὸς δέ οἱ ἐψύχωτο.

(Proclus l. c. ὥσπερ δή φησι καὶ τὸ λόγιον· Ταῦτα πατὴρ κτλ. καὶ πέπλασται οὖν τὰ θνητά, καὶ ἐψύχωται κατ' αὐτὴν μόνην τὴν δημιουργικὴν νόησιν· οἱ δὲ νέοι θεοὶ τὴν ὁλικὴν ἐκείνου ποίησιν ἐκφαίνουσι διὰ τῆς ἑαυτῶν ἐκφανοῦς δημιουργίας, πληρούμενοι τῆς δημιουργικῆς μονάδος.)

Τῷ πυρὶ γὰρ βροτὸς ἐμπελάσας θεόθεν φάος ἕξει.

(Proclus in Tim. II. p. 65 B, p. 151 ed. Schneider. : Ἐπὶ δὲ ταύταις ἡ ἐμπέλασις [οὕτω γὰρ αὐτὴν καλεῖ τὸ λόγιον· τῷ πυρὶ γὰρ κτλ.] μείζω τὴν κοινωνίαν ἡμῖν παρεχομένη καὶ τρανεστέραν τὴν μετουσίαν τοῦ τῶν θεῶν φωτός.)

Δηθύνοντι βροτῷ κραιπνοὶ μάκαρες τελέθουσι.

(Proclus in Tim. II p. 65 D, 152 ed. Schneid. : καὶ χρὴ ἀδιαλείπτως ἔχεσθαι τῆς περὶ τὸ θεῖον θρησκείας· δηθύνοντι γὰρ βροτῷ κτλ.)

XXVII.

Εἴδη τ' εὐειδὴς καὶ ὁμόσπορος Ἀδράστεια.

(Hermias in Platonis Phædr. p. 148 ed. Ast. : Ἡ δὲ Ἀδράστεια μία ἐστὶ καὶ αὕτη θεὸς τῶν μενουσῶν ἐν τῇ Νυκτί, γενομένη ἐκ Μελίσσου καὶ Ἀμαλθείας . . . ἀδελφὴ τῆς Εἴδης· Εἴδη τ' εὐειδὴς κτλ.)

. . . Παλάμῃσι δὲ χάλκεα ῥόπτρα

XXIV.

Dulcis autem Jovis progenies evocabatur.

Post paternas jam cogitationes
anima ego habito, omnia calore animans. —
Mentem animæ, animam autem corpori pigro
nostrâ causâ indidit hominum atque deorum pater.

XXV.

E deæ tergo natura immensa pendet. —
Regit autem natura indefessa mundos agrosque cultos. —
Ut cœlum sempiterno cursu feratur superiora detrahens.
—Eumque custodem apposuit et omnibus imperare jussit.

XXVI.

Efficiebat igitur omnia Jupiter pater, perficiebat Bacchus.
—Hæc pater mente agitavit, mortalis autem ab eo anima- [tus erat.
—Igni enim mortalis appropinquans divinitus lumen ha- [bebit.
—Diu moranti mortali celeres dii sunt.

XXVII.

Ida formosa et soror Adrastea. —
. Manibus vero ænea cymbala

δῶκεν Ἀδραστείῃ.

(Hermias l. c. : Διὸ (ἡ Ἀδράστεια) καὶ πρὸ τοῦ ἄντρου τῆς Νυκτὸς ἠχεῖν λέγεται· παλάμῃσι κτλ. ἐν τοῖς προθύροις γὰρ τοῦ ἄντρου τῆς Νυκτὸς ἠχεῖν λέγεται τοῖς κυμβάλοις, ἵνα πάντα τὰ αὐτῆς τῶν νόμων κατήκοα γένηται. Ἔνδον μὲν γὰρ ἐν τῷ ἀδύτῳ τῆς Νυκτὸς κάθηται ὁ Φάνης· ἐν μέσῳ δὲ ἡ Νὺξ μαντεύουσα τοῖς θεοῖς, ἡ δὲ Ἀδράστεια ἐν τοῖς προθύροις, πᾶσιν νομοθετοῦσα τοὺς θείους νόμους. Διαφέρει δὲ τῆς ἐκεῖ Δίκης ὡς νομοθετικὴ δικαστικῆς· καὶ ἡ μὲν ἐκεῖ Δίκη θυγάτηρ λέγεται τοῦ ἐκεῖ Νόμου καὶ Εὐσεβείας. Αὕτη ἡ Ἀδράστεια ἐκ Μελίσσου καὶ Ἀμαλθείας οὖσα, περιεκτική ἐστι καὶ τοῦ Νόμου. Αὗται δὴ καὶ λέγονται τρέφειν τὸν Δία ἐν τῷ ἄντρῳ τῆς Νυκτός, ἄντικρυς ταὐτὸ τοῦ θεολόγου λέγοντος.)

Χάλκεα ῥόπτρα [λαβοῦσα καὶ] τύμπανα ἠχήεντα.

(Proclus Theol. Plat. IV, 16, p. 206 : Παρ' Ὀρφεῖ φρουρεῖν λέγεται ἡ Ἀδράστεια τὸν ὅλον (leg. τὸν τῶν ὅλων) δημιουργὸν καὶ χάλκεα ῥόπτρα λαβοῦσα καὶ τύμπανον αἰγηκες οὕτως ἠχεῖν, ὥστε πάντας ἐπιστρέφειν εἰς αὐτὴν τοὺς θεούς. Verba λαβοῦσα καὶ interposuit Proclus duorum versuum exitus jungens. Pro τύμπανον αἴγηκες cum Lobeckio Aglaopham. I p. 515 scripsi τύμπανα ἠχήεντα. Similia Hermiæ tradit Proclus in Tim. V p. 323 C : καὶ γὰρ ὁ δημιουργός, ὥς ὁ Ὀρφεύς φησι, τρέφεται μὲν ἀπὸ τῆς Ἀδραστείας, σύνεστι δὲ καὶ τῇ Ἀνάγκῃ, γεννᾷ δὲ τὴν Εἱμαρμένην.)

XXVIII.

Ἑρμῆς δ' ἑρμηνεύς, τῶν πάντων ἄγγελός ἐστιν·
Νύμφαι ὕδωρ, πῦρ Ἥφαιστος, σῖτος Δημήτηρ.
ἡ δὲ θάλασσα Ποσειδάων μέγας ἠδ' Ἐνοσίχθων.
καὶ πόλεμος μὲν Ἄρης, εἰρήνη δ' ἔστ' Ἀφροδίτη.
οἶνος, τὸν φιλέουσι θεοὶ θνητοί τ' ἄνθρωποι,
ὅντε βροτοῖς εὗρεν λυπέων κλήτορα πασέων
ταυρογενὴς Διόνυσος, εὐφροσύνην πόρε θνητοῖς
ἡδίστην, πάσῃσι τ' ἐπ' εἰλαπίνῃσι πάρεστι.
καὶ Θέμις, ἥπερ ἅπασι θεμιστεύει τὰ δίκαια.
Ἥλιος, ὃν καλέουσιν Ἀπόλλωνα κλυτότοξον,
Φοῖβον ἑκηβελέτην, μάντιν πάντων ἑκάεργον,
ἰητῆρα νόσων Ἀσκληπιόν· ἓν τάδε πάντα.

(Jo. Diaconus ad Hesiodi Theog. 943 : Μαρτυρεῖ δὲ καὶ ἐν τῷ μικροτέρῳ Κρατῆρι Ὀρφεὺς τάδε λέγων· Ἑρμῆς δ' ἑρμηνεὺς κτλ. — Vs. 6 epicas formas λυπέων et πασέων pro membranarum lectionibus λυπῶν et πασῶν cum Hermanni restitui.)

Ζεὺς δέ τε πάντων ἐστὶ θεὸς πάντων τε κεραστής,
πνεύμασι συρίζων φωνῆσίν τ' ἠερομίκτοις.

(Jo. Diaconus l. c. : Ὅτι δὲ ἐκ τῆς Μνημοσύνης αἱ Μοῦσαι γεννῶνται, καὶ ὅτι ὁ Ζεὺς καὶ αἰθὴρ λέγεται, ἄκουε τοῦ εἰρημένου Ὀρφέως· Ζεὺς δέ τε πάντων κτλ. Recte Hermannus vs. 13 κεραστής pro κεράστης et vs. 14 φωνῆσίν τ' ἠερομίκτοις pro φωναῖσίν τ' ἀερομίκτοις scripsit.)

15 Οὕτως ἁρμονίη Μουσέων, ταῖς τ' ὄργανα πάντα
Μνημοσύνη πάντων πρῶτον πόρεν, οὐκ ἀνεφάνθη,
ἀλλὰ χρόνος λήθη κατεχρήσατο καὶ κατέκρυψε.
νῦν δὲ τέχναι τε λόγοι τε νόμοι θ' ὅσα τ' ἔργα τέτυκται,
πάντα διὰ μνήμην διασώζεται ἀνθρώποισιν.

(Jo. Diaconus l. c. : Ἦ γὰρ οὐ δῆλός ἐστι τὸν αἰθέρα καλῶν οὕτω; ταυτὸ καὶ ἁρμονίη Μουσῶν, τάτε ὄργανα πάντων Μνημοσύνη πάντων πρῶτον πόρεν, οὔτ' ἀνεφάνθη κτλ. Vs. 15 οὕτως ἁρμονίη posui; reliqua jam correxerat Hermannus. — Vs. 16 οὔτ' mutavi in οὐκ.)

XXIX.

Ἠδε γὰρ ἀθανάτων προφερεστάτη ἐστὶν ἁπασέων
ἱστὸν ἐποίχεσθαι, ταλασήϊά τ' ἔργα πινύσσειν.

(Proclus in Tim. I p. 41 E. : ἐν τῇ μιᾷ νοήσει τῆς Ἀθηνᾶς περιεχόμενος· ἠδε γὰρ κτλ. φησιν Ὀρφεύς. Adde in Cratyl. pag. 24.)

Adrasteæ dedit. —
Quum ænea cymbala accepisset et tympana sonora.

XXVIII.

Mercurius interpres, cunctorum nuntius est;
Nymphæ aqua, ignis Vulcanus, frumentum Ceres;
at mare Neptunus magnus, terram quatiens.
Ac bellum quidem Mars, pax autem Venus est.
Vinum quod amant dii hominesque mortales,
quod mortalibus invenit ægritudinum omnium levamentum
taurigenus Dionysus, lætitiam mortalibus attulit
effusam, omnibusque conviviis adest.
Ac Themis quæ cunctis jura reddit.
Sol quem vocant Apollinem arcu inclytum,
Phœbum eminus jaculantem, vatem procul omnes amoventem,
morborum medicum Æsculapium; unum hæc omnia. —
Jupiter vero omnium est deus omniumque mixturæ auctor,
ventis stridens sonisque aeri immixtis. —
Sic harmonia Musarum, quibus organa cuncta
Mnemosyne omnium primum dedit, non apparuit
sed tempus eam oblivione delevit et occultavit.
Nunc autem artes ac disciplinæ legesque et quæcunque sunt res,
omnes memoriâ custodiuntur ab hominibus.

XXIX.

Hæc enim immortalium omnium aptissima est
ad percurrendas telas, et ad lanificium scite tractandum.

Ὅπλοις λαμπομένην χαλκήιον ἄνθος ἰδέσθαι.

(Proclus in Tim. I p. 51 D : Διὸ καὶ Ὀρφεὺς περὶ αὐτῆς τικτομένης φησίν, ὅτι ἄρα αὐτὴν ὁ Ζεὺς ἀπεγέννησεν ἐκ τῆς κεφαλῆς· ὅπλοις λαμπομένην κτλ.)

Ὄφρ' αὐτῷ μεγάλων ἔργων κράντειρα πέλοιτο.

(Proclus in Tim. p. 52 B : Λέγει οὖν καὶ ὁ θεολόγος, ὅτι παρήγαγεν αὐτὴν ὁ πατήρ, ὄφρ' αὐτῷ κτλ.)

ἀρετῆς τ' ὄνομ' ἐσθλὸν
κλήζεται.

(Proclus in Tim. I p. 52 D : Οἰκεῖον γὰρ τὸ τῆς ἀρετῆς γένος πρὸς τὴν μεγίστην ταύτην θεόν, ὡς καὶ αὐτὴν ἀρετὴν οὖσαν· ἐν γὰρ τῷ δημιουργῷ μένουσα σοφία καὶ νόησίς ἐστιν ἄτρεπτος, καὶ ἐν τοῖς ἡγεμονικοῖς θεοῖς ἐκφαίνει τὴν τῆς ἀρετῆς δύναμιν, ἀρετῆς τε οὔνομ' ἐσθλὸν κλήζεται, φησὶν Ὀρφεύς. Recepi Lobeckii emendationem Aglaoph. I p. 541.)

Δεινὴ γὰρ Κρονίδαο νόου κράντειρα τέτυκται.

(Proclus in Plat. Polit. pag. 377 de eadem dea, δεινὴ γὰρ κτλ. Idem p. 387 : Καὶ γὰρ οἱ πρώτιστοι Κουρῆτες τάγε ἄλλα τῇ τάξει τῆς Ἀθηνᾶς ἀνεῖνται, καὶ περιεστέφθαι λέγονται τῷ θαλλῷ τῆς ἐλαίας, ὥς φησιν Ὀρφεύς.)

XXX.

Ζεῦ κύδιστε, μέγιστε θεῶν, εἰλυμένε κόπρῳ
μηλείῃ τε καὶ ἱππείῃ καὶ ἡμιονείῃ.

(Gregorius Nazianz. in Julian. s. Or. III p. 104 : Ὀρφεὺς παρίτω μετὰ τῆς κιθάρας καὶ τῆς πάντα ἑλκούσης ᾠδῆς, ἐπιβρεμέτω Διὶ τὰ μεγάλα καὶ ὑπερφυῆ τῆς θεολογίας ῥήματα καὶ νοήματα· Ζεῦ κύδιστε, μέγιστε θεῶν, εἰλυμένε κόπρῳ, ὅση τε μηλείῃ, ὅση τε ἵππων, ὅση τε ἡμιόνων, ἵν' ἐντεῦθεν, οἶμαι, δειχθῇ τὸ ζωογόνον τοῦ θεοῦ καὶ φερέσβιον. Integros affert versus Philostratus Heroic. II, 19 p. 693, nec tamen Orpheo vindicat. Hujus verba sunt : Καὶ μὴν καὶ Παμφὼ σοφῶς μὲν ἐνθυμηθέντος, ὅτι Ζεὺς εἴη τὸ ζωογονοῦν, δι' οὗ ἀνίσταται ἐκ τῆς γῆς πάντα, εὐηθέστερον δὲ χρησαμένου τῷ λόγῳ, καὶ καταβεβλημένα ἔπη ἐς τὸν Δία ᾄσαντος· ἔστι γὰρ τὰ τοῦ Παμφὼ ἔπη· Ζεῦ κύδιστε κτλ.)

Δειλοί, πάνδειλοι, κυάμων ἄπο χεῖρας ἔχεσθε·
Ἶσόν τοι κυάμους τε φαγεῖν κεφαλάς τε τοκήων.

(Didymus Geopon. II, 35, 8 : φέρεται καὶ Ὀρφέως ταῦτα ἔπη, δειλοί—ἔχεσθε, καὶ Ἶσόν τοι κυάμους κτλ. Priorem versum rectius Empedocli tribuit Gellius Noct. Att. IV, 11 [Vid. Empedocl. fragm. vs. 451]; posteriorem modo Orphicum modo Pythagoricum veteres esse volunt. Plutarchus Sympos. II, 3 : Ὠῶν ἀπεχόμενος ὑπόνοιαν παρέσχον ἐνέχεσθαι δόγμασιν Ὀρφικοῖς ἢ Πυθαγορικοῖς καὶ τὸ ᾠόν, ὥσπερ ἔνιοι καρδίαν καὶ ἐγκέφαλον, ἀρχὴν ἡγούμενος γενέσεως ἀφοσιοῦσθαι· καὶ προὔφερέν τις ἐπὶ γέλωτι τὸ Ἶσόν τοι κυάμους κτλ. Cf. Heraclides apud Lyd. de Mens. p. 76; Clemens Strom. III p. 435 D; Lucianus in Gallo § 4 p. 296 tom. 6; Athenæus lib. II p. 65 E; Eustathius p. 948; Sextus Empiricus Pyrrh. Hyp. III p. 184. Adde Menag. ad Laert. VIII, 24 et 34 et Lobeck. Aglaoph. p. 249 seqq. Vid. etiam Pythagoreorum versus infra collectos.)

XXXI.

Πολλαὶ δ' οὐρανόθεν καὶ ἐπαρτέες ἐκ νεφελάων
τῆμος ἐπόρνυνται φηγοῖς καὶ δένδρεσιν ἄλλοις,
οὔρεσί τε, σκοπέλοις τε καὶ ἀνθρώποις ἐριθύμοις
πηγυλίδες, καὶ ἔσονται ἀμειδέες· αἵδε γὰρ ὄντως
τρύουσιν καὶ θῆρας ἐν οὔρεσιν, οὐδέ τις ἀνδρῶν
προβλώσκειν μεγάρων δύναται κατὰ γυῖα δαμασθεὶς
ψύχει λευγαλέῳ, πάχνῃ δ' ὑπὸ γαῖα μέμυκε.

(Jo. Tzetzes ad Hesiodi Op. et D. vs. 505, p. 125 A. : Τὰ δὲ ἔπη ἐκ τῶν Ὀρφέως μετεβλήθη· φησὶ γὰρ Ὀρφεύς· πολλαὶ δ' οὐρανόθεν κτλ.)

XXXII.

Ὦ ἄνα, Λητοῦς υἷ', ἑκατηβόλε, Φοῖβε κραταιέ,
πανδερκές, θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσων,

—Armis fulgentem, æneo decore conspicuam.—
Ut ipsi magnorum operum effectrix esset. —
Ac bonum virtutis nomen
celebratur. —
Sollers enim Saturnii consiliorum effectrix est.

XXX.

Jupiter gloriosissime, maxime deorum, involute fimo
ovillo et equino et mulino. —
Miseri, heu miseri, a fabis abstinete manus;
idem est fabas et capita parentum comedere.

XXXI.

Multæ cœlitus et paratæ e nubibus
tum ingruunt in esculos atque in alias arbores,
in montes et scopulos atque in homines animosos
nives gelu concretæ, quibus contristabuntur; hæ enim revera
vexant etiam belluas in montibus, neque quisquam hominum
domo exire potest membris captus
propter frigus acerbum, pruinâ vero terra prope constricta est.

XXXII.

O rex, Latonæ fili, eminus jaculans, Phœbe præpotens,
omnia videns, mortalibus et immortalibus imperans,

Ἥλιε χρυσείῃσιν ἀειρόμενε πτερύγεσσιν,
δωδεκάτην δὴ τήνδε παραί σεο ἔκλυον ὀμφήν,
σεῦ φαμένου, σὲ δέ γ' αὐτόν, ἑκηβόλε, μάρτυρα [θείην.

(Jo. Malalas chronograph. lib. VI p. 73 ed. Bonn.: Ἐν αὐτῷ δὲ τῷ χρόνῳ ἦν Ὀρφεὺς ὁ Θρᾷξ,.... ἐμφέρεται γὰρ ἐν τῇ αὐτοῦ ἐκθέσει διὰ ποιητικῶν στίχων οὕτως· Ὦ ἄναξ, Λητοῦς υἱέ, κτλ. Versus restituit Bentlejus Epist. ad Mill. ibid. pag. 682. Hunc secutus sum, nisi quod vs. 3 pro membranarum scriptura Ἥλιε χρυσέαισιν, quam Bentlejus in Ἠέλιε χρυσέαισιν convertebat, Ἥλιε χρυσείῃσιν posui. Cf. Argonaut. vs. 324 (328).)

Θῆρές τ' οἰωνοί τε, βροτῶν τ' ἀλιτήρια φῦλα,
ἄχθεα γῆς, εἴδωλα τετυγμένα, μηδαμὰ μηδὲν
εἰδότες, οὔτε κακοῖο προσερχομένοιο νοῆσαι
φράδμονες, οὔτ' ἄποθεν μάλ' ἀποστρέψαι κακότη- [τος,
οὔτ' ἀγαθοῦ παρεόντος ἐπιστρέψαι τε καὶ ἕρξαι
ἴδριες, ἀλλὰ μάτην ἀδαήμονες, ἀπρονόητοι.

(Jo. Malalas lib. IV p. 75 seq. ed. Bonn.: Περὶ δὲ τοῦ ταλαιπώρου γένους τῶν ἀνθρώπων ὁ αὐτὸς Ὀρφεὺς ἐξέθετο ποιητικῶς στίχους πολλούς, ὧν μέρος εἰσὶν οὗτοι· Θῆρές τ' οἰωνοί τε κτλ. Recepi Bentleji emendationes Epist. ad Mill. p. 683.)

XXXIII.

... ἔπειτα δ' ἔτευξε μέγας Κρόνος αἰθέρι δίῳ
ὠεὸν ἀργύφεον —

(Damascius Quæst. 147: Ὀρφεύς· ἔπειτα δ' ἔτευξε κτλ., ubi pro Κρόνος Lobeckius Aglaoph. I p. 475 reponi vult Χρόνος. De ovo illo audiendus Apio in Clement. Homil. VI, 4 p. 671 T. II ed. Galand., p. 678 ed. Cotel.: Ὀρφεὺς τὸ χάος ὠῷ παρεικάζει, ἐν ᾧ τῶν πρώτων στοιχείων ἦν ἡ σύγχυσις κτλ.)

..... τὸ δ' ἀπειρέσιον κατὰ κύκλον
ἀτρύτως ἐφορεῖτο —

(Proclus in Plat. Crat. p. 79: Ὁ Ὀρφεὺς περὶ τοῦ χρυφίου διακόσμου τῶν θεῶν οὕτως ἔφη· τὸ δ' ἀπειρέσιον κτλ. Agitur autem de circulari ovi istius motu. Idem fragmentum affert Proclus Comment. in Euclid. Elem. II, 43; in Parmenid. lib. VII p. 153 et in Tim. III p. 160 D, p. 379 ed. Schneid. Ultimo loco hæc leguntur: Καὶ γὰρ τῷ παντὶ τὸ σφαιρικὸν συγγενές ... προγονικὸν οὖν τὸ σχῆμα τοῦτό ἐστι τῷ κόσμῳ, φανὲν μὲν καὶ ἐν αὐτῷ τῷ κρυφίῳ διακόσμῳ· τὸ γὰρ ἀπειρέσιον κατὰ κύκλον ἀτρύτως ἐφορεῖτο κατ' ἐκείνην εἴρηται τὴν τάξιν· ἐναργέστερον δὲ ὀφθὲν καὶ ἐν τῷ παντελεῖ ζώῳ.)

Ὡρμήθη δ' ἀνὰ κύκλον ἀθέσφατον.

(Proclus in Tim. l. c.: τὸ γὰρ ὡρμήθη δ' ἀνὰ κ. ἀθ. περὶ ταύτης εἴρηται τῷ θεολόγῳ τῆς θεότητος.)

XXXIV.

Εἰνοδίην Ἑκάτην κλήζω, τριοδῖτιν ἐραννήν.

(Jo. Diaconus ad Hesiod. Theog. p. 268: Εὑρίσκω τὸν Ὀρφέα καὶ τὴν Τύχην Ἄρτεμιν προσαγορεύοντα (Hymno LXXI, 3), ἀλλὰ καὶ τὴν Σελήνην Ἑκάτην. Pro membranarum scriptura ἐφανήν Gesnerus conjecit ἐραννήν. Sic autem totus versus ἐν τῇ πρὸς Μουσαῖον εὐχῇ v. 45 exaratus legitur.)

Ῥείη τοι νοερῶν μακάρων πηγή τε ῥοή τε.
πάντων γὰρ πρώτη δυνάμει κόλποισιν ἀφράστοις
δεξαμένη γενεὴν ἐπὶ πᾶν προχέει τροχάουσαν.

(Proclus in Plat. Cratyl. apud Werferum Act. phil. Mon. tom. II, fasc. I pag. 138: Περὶ δὲ τῆς ζωογόνου πηγῆς Ῥέας. . . οὕτω φασὶ τὰ λόγια.)

Ῥείη τὸ πρὶν ἐοῦσά γ', ἐπεὶ Διὸς ἔπλετο μήτηρ,
γίγνετο Δημήτηρ.

(Proclus in Plat. Cratyl. p. 96: Τὴν Δήμητρα Ὀρφεὺς μὲν τὴν αὐτὴν λέγων τῇ Ῥέᾳ εἶναι, λέγει ὅτι ἄνωθεν μὲν μετὰ Κρόνου οὖσα ἀνεκφοίτητος Ῥέα ἐστί, προβάλλουσα δὲ καὶ ἀπογεννῶσα τὸν

Sol aureis alis subvolans, [ante hos]
duodecim dies jam hanc audivi vocem divinam ex te
loquente, cujus rei te certe ipsum, eminus jaculans, testem [citaverim.

— Feræ volucresque et flagitiosa mortalium genera,
pondera terræ, simulacra affabre facta, prorsus nihil
scientes, neque animadvertendorum ingruentium malorum
periti, neque procul amovere et avertere flagitium [præ-
neque bonum præsens convertere et facere [sens],
docti, sed temere imperiti et improvidi sunt.

XXXIII.

— — — Deinde magnus Saturnus in æthere divino fecit
album ovum.

— — — — — Hoc autem infinitum in orbem
irrequieto cursu ferebatur. —

Prorupit vero in orbem immensum.

XXXIV.

Compitalem Hecaten celebro, triviam amabilem. —

Rhea intelligibilium deorum fons et fluentum.
Omnium enim prima viribus sinu ineffabili
excipiens liberos omnino profundit currentes. —

Rhea quæ prius quidem fuerat, postquam Jovis facta est [mater,
Ceres evasit.

Δία Δημήτηρ· λέγει γὰρ Ῥείην τὸ πρὶν ἐοῦσαν ἐπεὶ Διὸς ἔπλετο μήτηρ γέγονε Δημήτηρ. Hinc Werferus p. 139 conjecit legendum esse Ῥείη —ἐοῦσα—γίγνετο, quas emendationes probavi inserta γε particula. Idem in Cratyl. p. 85 : Ὁ Ὀρφεὺς τρόπον μέν τινα τὴν αὐτὴν εἶναι τὴν Δήμητρα τῇ ὅλῃ ζωογονίᾳ, τρόπον δ' ἄλλον οὐ τὴν αὐτήν· ἄνω μὲν γὰρ οὖσα Ῥέα ἐστί, κάτω δὲ μετὰ τοῦ Διὸς Δημήτηρ. Id. Theol. Plat. V, 11 p. 267 : Κατ' Ὀρφέα τῷ μὲν Κρόνῳ συνοῦσα Ῥέα καλεῖται, τὸν δὲ Δία παράγουσα καὶ μετὰ Διὸς ἐμφαίνουσα τούς τε ὅλους καὶ τοὺς μερικοὺς διακόσμους τῶν θεῶν Δημήτηρ.)

Γῆ μήτηρ πάντων, Δημήτηρ πλουτοδότειρα.

(Diodorus Siculus I, 12 : Τὴν δὲ γῆν ὥσπερ ἀγγεῖόν τι τῶν φυομένων ὑπολαμβάνοντας μητέρα προσαγορεῦσαι· καὶ τοὺς Ἕλληνας δὲ ταύτην παραπλησίως Δήμητραν καλεῖν, βραχὺ μετατεθείσης διὰ τὸν χρόνον τῆς λέξεως· τὸ γὰρ παλαιὸν ὀνομάζεσθαι γῆν μητέρα, καθάπερ καὶ τὸν Ὀρφέα προσμαρτυρεῖν λέγοντα· Γῆ μήτηρ κτλ.)

Μήσατο γὰρ προπόλους καὶ ἀμφιπόλους καὶ ὀπηδούς,
μήσατο δ' ἀμβροσίην καὶ ἐρυθροῦ νέκταρος ἄρθρον,
μήσατο δ' ἀγλαὰ δῶρα μελισσάων ἐριβόμβων.

(Proclus in Plat. Cratyl. p. 161 : Ἡ Δημήτηρ πρώτη καὶ τὰς διττὰς τροφὰς διεῖλεν ἐν τοῖς θεοῖς, ὥς φησιν Ὀρφεύς· μήσατο γὰρ κτλ. Cæterum de Proserpina Proclus in Timæum p. 139 B : Καὶ γὰρ ὁ θεολόγος τὴν Κόρην μουνογένειαν εἴωθε προσαγορεύειν. Cf. Hymn. XXVIII, 2.)

XXXV.

Ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης
πείρασιν ἐν γαίης.

(Proclus in Plat. Tim. I p. 53 C : Καὶ γὰρ οἱ θεολόγοι μετὰ τὸν τοῦ Διονύσου διασπασμόν, ὃς δηλοῖ τὴν ἐκ τῆς ἀμερίστου δημιουργίας μεριστὴν πρόοδον εἰς πᾶν ὑπὸ τοῦ Διός, τοὺς μὲν ἄλλους Τιτᾶνας ἄλλας λήξεις διακεκληρῶσθαί φασι, τὸν δὲ Ἄτλαντα ἐν τοῖς πρὸς ἑσπέραν τόποις ἱδρῦσθαι, ἀνέχοντα τὸν οὐρανόν· Ἄτλας δ' οὐρανὸν κτλ.)

Οὕτως δὲ Ζηνὸς καὶ ἐν ὄμμασι πατρὸς ἄνακτος
ναίουσ' ἀθάνατοί τε θεοί, θνητοί τ' ἄνθρωποι,
ὅσσα τ' ἔην γεγαῶτα, καὶ ὕστερον ὁππόσ' ἔμελλεν.

(Proclus in Plat. Parmen. IV : Οὐκ ἂν θαυμάσαιμεν τῶν Ὀρφέως ἀκούοντες ἐπῶν, ἐν οἷς φησιν ὁ θεολόγος· αὐτῃ δὲ Ζηνὸς καὶ ἐν ὄχμασι— —καὶ ὕστερον ὅπως ἔμελλε. Scripsi quod sententia postulare videbatur.)

XXXVI.

Βάλλειν ἔρνεα πάντα, τάτε δρυὸς ἄκρα λέγονται.

(Tzetzes ad Lycophr. v. 83 : Δρύκαρπα πᾶσαν ὀπώραν, ὥς πού φησιν ἐν ταῖς δωδεκαετηρίσιν Ὀρφεύς· βάλλειν ἔρνεα κτλ. Versus hic legitur etiam in carmine Maximi apud Fabricium Bibl. Gr. tom. VIII, ubi est 490.)

Ἔσται δ' αὖτις ἀνήρ, ἢ κοίρανος ἠὲ τύραννος,
ἢ βασιλεύς, ὃς τῆμος ἐς οὐρανὸν ἵξεται αἰπύν.

(Tzetzes ad Lycophr. vs. 523 : Δείκνυσι δὲ καὶ Ὀρφεὺς τὴν τούτων διαφοράν, οὑτωσὶ λέγων ἐν ταῖς δωδεκαετηρίσιν· ἔσται δ' αὖτις κτλ.)

Δάκρυα μὲν σέθεν ἐστὶ πολυτλήτων γένος ἀνδρῶν.

(Proclus in Tim. I p. 35 C : Φερόμενον δ' οὖν τὸν Φαέθοντα περὶ γῆν καὶ τρόπον τινὰ δαιμονιώδη φλέγοντα ἐκείνους τοὺς τόπους, οἷς ἂν πλησιάσῃ, διὰ τοῦ πυρίου ῥεύματος. . . . ἐθρήνουν αἱ Ἡλιάδες. . . . καὶ οἱ θεολόγοι δὲ τὴν Ἡλιακὴν πρόνοιαν καὶ εἰς τὰ θνητὰ διὰ τῶν δακρύων σημαίνουσι· δάκρυα μὲν κτλ.)

Addam alia quædam dicta Orphica :

Proclus in Tim. V p. 293 : Τὴν ἕνωσιν καὶ συμπλοκὴν τῶν δυνάμεων . . . . εἰώθασι γάμον οἱ θεολόγοι προσαγορεύειν. . . . καθά φησιν ὁ θεολόγος. Πρώτην γὰρ νύμφην ἀποκαλεῖ τὴν γῆν, καὶ πρώτιστον γάμον τὴν ἕνωσιν αὐτῆς πρὸς τὸν οὐρανόν κτλ.

Theologum. arith. p. 37 : Τὴν ἑξάδα ὁλομέλειαν προσηγόρευον οἱ Πυθαγορικοὶ κατακολουθοῦντες Ὀρφεῖ.

Proclus ad Hesiodi Dies p. 168 B : Ὁ μὴν ἐν αὐτῇ (τῇ ἀρχῇ) παρ' Ὀρφεῖ προσαγορεύεται μονόκερως μόσχος. Ἁπλῶς μὲν γὰρ ὁ μὴν λέγεται βοῦς κτλ.

Terra omnium mater, Ceres divitias ministrans. —
Paravit enim ministros et famulos et comites,
paravit etiam ambrosiam et rubentis nectaris vim,
paravit etiam splendida stridentium apum munera.

XXXV.

Atlas cœlum latum habet sæva necessitate coactus
ad extremum terrarum finem. —
Sic etiam Jovis patris regis in oculis
habitant dii immortales homineque mortales,
et quæcunque nata erant ac postea nasci debebant.

XXXVI.

Sere pro omnibus surculis ea quæ poma dicuntur. —
Erit rursus vir vel dominus vel tyrannus,
vel rex, qui tum in altum cœlum penetrabit. —
Tuæ lacrimæ sunt ærumnosorum hominum genus.

Pollux II, 39 : Τὸ ἔγκοιλον αὐτοῦ [τοῦ κρανίου] κορυφή, ὃ καὶ μεσόκρανον ἐν τοῖς Ὀρφικοῖς ὀνομάζεται μέτροις.

XXXVII.

Πάντ' ἐδάης, Μουσαῖε θεοφραδές, εἰ δέ σ' ἀνώγει
θυμός, ἐπωνυμίας μήνης κατὰ μοῖραν ἀκοῦσαι,
ῥεῖά τοι ἐξερέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν,
οἵην τάξιν ἔχοντα κυρεῖ· μάλα γὰρ χρέος ἐστὶν
ἴδμεναι, ὡς αὕτη παρέχει κλέος ἄντυγι μηνός.

(Tzetzes Chiliad. XII, 150 probaturus Orpheum fuisse astrologum librorum ejus initia citat. Ait autem : Καὶ τῶν μὲν ἐφημερίδων Ὀρφέως ἀρχὴ τόδε· πάντ' ἐδάης κτλ.)

Δεῦρό νυν οὔατά μοι καθαρὰς ἀκοάς τε πετάσσας,
κέκλυθι τάξιν ἅπασαν, ὅσην τεκμήρατο δαίμων,
ἔκ τε μιᾶς νυκτὸς ἠδ' ἐξ ἑνὸς ἤματος αὔτως.

(Tzetzes l. c. : Τῶν δωδεκαετηρίδων δ' ἡ καταρχὴ τοιάδε· δεῦρό νυν κτλ.)

XXXVIII.

Ἔργα νοήσας γὰρ πατρικὸς νόος αὐτογένεθλος
πᾶσιν ἐνέσπειρεν δεσμὸν πυριβριθῆ ἔρωτος,
ὄφρα τὰ πάντα μένῃ χρόνον εἰς ἀπέραντον ἐρῶντα,
μηδὲ πέσῃ τὰ πατρὸς νοερῷ ὑφασμένα φέγγει.

(Proclus in Tim. III p. 155 E : Τοῦτον δὲ τὸν μέγιστον καὶ τελειότατον δεσμόν, ὃν περιβάλλει τῷ κόσμῳ πανταχόθεν ὁ πατὴρ ὡς φιλίας ὄντα ποιητικὸν καὶ τῆς ἐναρμονίου κοινωνίας τῶν ἐν αὐτῷ, δεσμὸν πυριβριθῆ ἔρωτος τὰ λόγια προσείρηκεν· ἔργα νοήσας κτλ. Vs. 4 πέσῃ et νοερῷ conjecit Hermannus pro membranarum scriptura πάσῃ et νοερῶς.)

Ὡς ἐν ἔρωτι μένῃ κόσμου στοιχεῖα θέοντα.

(Proclus in Tim. l. c. : Διὰ γὰρ τοῦτον τὸν ἔρωτα πάντα ἥρμοσται ἀλλήλοις· ὡς ἐν ἔρωτι μένει κτλ. Dedi μένῃ cum Hermanno.)

XXXIX.

Ἔστιν δὴ πάντων ἀρχὴ Ζεύς· Ζεὺς γὰρ ἔδωκε,
ζῶά τ' ἐγέννησεν· καὶ Ζῆν' αὐτὸν καλέουσι,
καὶ Δία τ' ἠδ', ὅτι δὴ διὰ τοῦτον ἅπαντα τέτυ- [κται.
εἷς δὲ πατὴρ οὗτος πάντων, θηρῶν τε βροτῶν τε.

(Joannes Diaconus Allegor. ad Hesiodi Theog. p. 278 B.)

XL.

Ἔρνεσι φοινίκων ζῶον δ' ἴσα μακραίωσιν.

(Plutarchus Symposiac. lib. VIII c. 4, pag. 360 : Ὁ φοῖνιξ μακρόβιόν ἐστιν ἐν τοῖς μάλιστα τῶν φυτῶν, ὥς που καὶ τὰ Ὀρφικὰ ταῦτα μεμαρτύρηκε· ζῶον δ' ἶσον ἀκροκόμοισι φοινίκων ἔρνεσι. Videtur poeta hæc de aurea generis humani ætate ac de longissima primorum hominum vita dixisse. Itaque versum restitui, quemadmodum loci sensus postulare videbatur.)

XLI.

Πρῶτον μὲν πρώτῳ ἐνὶ ἤματι φαίνεται Ἄρης.
Μήνη δ' εἴς τ' Ἄρην ἐπιτέλλεται. Ἴσχεο δ' ἔρ- [γων,
τήνδε γὰρ ἐξανύσασα φύσις δίκερων ἀναφαίνει.
αὐτὰρ ἐπὴν τρίτον ἦμαρ ἀπόπροθεν ἠελίοιο
πᾶσιν ἐπιχθονίοισι φυτοσπόρου αἰτίη ἀλκῆς,
τετράδι δ' αὐξομένη πολυφεγγέα λαμπάδα τείνει.

(Jo. Tzetzes ad Hesiodi Op. et D. p. 170 B ait Ascræum poetam scripsisse δεινῶς καὶ συγκεχυμένως, ἔτι δὲ ψευδῶς, καὶ οὐχ ὥσπερ ὁ μέγας Ὀρφεὺς διδασκαλικῶς τε καὶ τεταγμένως πρὸς εὐκρίνειαν, καὶ τὸ πλέον τεχνικωτέρως καὶ ἀληθῶς. Ἐκεῖνος μὲν οὕτω φησί· πρῶτον μὲν— λαμπάδα τείνει, καὶ καθεξῆς πέντε, ἕξ, μέχρι τῆς λ. κτλ. Idem p. 175 A : Ὀρφεὺς δὲ ἐκεῖνος ὁ Θράκιος ἐν τῇ περὶ γεωργίας οὐ τὴν ἁπλῶς ἡμέραν τῆς σελήνης τὴν τοιάνδε λέγει λυσιτελεῖν, ἢ καὶ

XXXVII.

Omnia didicisti, divine in dicendo Musæe; sin autem
animus, cognomina lunæ decenter audire, [gestit
facile tibi dicam, tu vero mente percipe,
quem ordinem habeant; nam necesse est
hunc scire, quia mensis orbi gloriam dat. —
Agedum, aures mihi purgatas pandens,
audi ordinem omnem quem perfecit deus
ex una nocte atque ex uno die hoc modo.

XXXVIII.

Etenim mens paterna ex se ipsa nata res agitans
omnibus indidit ardens amoris vinculum,
ut omnia maneant in infinitum tempus amore juncta,
neve cadant intelligibili patris luce effecta. — [maneant.
Ut mundi elementa ultro citroque commeantia amore juncta

XXXIX.

Est sane cunctarum rerum initium Jupiter; Jupiter enim
genuitque animalia; ac Jovem eum vocant [dedit
simulque Diespitrem, quia per eum universa sunt.
Unus vero hic pater est omnium, bestiarum et hominum.

XL.

Vivebant autem ut durabiles palmarum rami.

XLI.

Primum quidem primo die apparet Mars.
Luna autem in Martem obversa oritur. Desiste de negotiis;
hanc enim perficiens natura bicornem exhibet.
Sed postquam tertius dies procul a sole [amotâ lunâ]
omnibus mortalibus vim genitalem dedit,
quarto die aucta splendidam lampadem protendit.

ἀνόνητον· ἀλλ' ὅταν τοιῶσδε σχηματισθῇ καὶ συντρέχῃ ζωδίοις τε καὶ ἀστράσιν. Et pag. 178 B: Εἰ δέ, ὥς φησιν Ὀρφεύς, τῇ ἄτῃ ἀνεῖται ἡ ἑπτακαιδεκάτη, καὶ διὰ τοῦτο τῇ τε τομῇ τῆς ὕλης ἐστὶν οἰκεία, καὶ τῇ τοῦ καρποῦ γυμνώσει τῶν περικαρπίων. Idem p. 130 B: Ὀρφεὺς μαθηματικῶς πάντα παρακελεύεται δρᾷν· οἷον σελήνης τρεχούσης περὶ Παρθένον, πάντα φυτεύειν πλὴν μόνων ἀμπέλων· μισεῖ γὰρ ἡ Παρθένος τὴν ἄμπελον διὰ τὸν πατέρα Ἰκάριον. Διὸς Ὑδροχόον περιπολεύοντος, μὴ πλεύσῃς· χαλεπὴ γὰρ τότε λίαν ἐστὶν ἡ θάλασσα. Τοῦ αὐτοῦ Διὸς ἐν Ἰχθύσιν ὄντος, καλὸν γάμους ποιεῖν, καὶ τὰ λοιπὰ ὁμοίως.)

XLII.

Πρώτιστος μὲν ἄνασσεν ἐπιχθονίων Κρόνος ἀνδρῶν,
ἐκ δὲ Κρόνου γένετ' αὖτις ἄναξ μέγας εὐρυόπα [Ζεύς.

(Lactantius I, 13, 11: Orpheus qui temporibus ejus recentior fuit aperte Saturnum in terra et apud homines regnasse commemorat: πρώτιστος μὲν κτλ.)

XLIII.

Ἀλλὰ Κρόνον φάσκουσιν ὑπὸ Ζηνὶ Κρονίωνι
ἀθάνατον αἰῶνα λαχεῖν καθαροῖο γενείου
καὶ διερὰς χαίτας εὐώδεας, οὐδέ τι λυγροῦ
γήραος ἠπεδανοῖο μιγήμεναι ἄνθεϊ λευκῷ,
ἀλλὰ περὶ κροτάφοισιν ἔχειν ἐριθηλέα λάχνην.

(Proclus Theol. Plat. lib. V, 10: Τὸ ἀγήρων ταύτῃ τῇ τάξει (τῇ Κρονίᾳ) προσήκει, ὥς οἵ τε βάρβαροί φασι καὶ ὁ Ὀρφεύς. Καὶ γὰρ οὗτος ἀεὶ μελαίνας τὰς τοῦ Κρονίου προσώπου τρίχας μυστικῶς λέγει καὶ μηδαμῶς γίγνεσθαι πολιάς . . . . Ὁ Ὀρφεὺς τὰ τούτοις ὅμοια περὶ τοῦ θεοῦ τούτου διατάττεται· ὑπὸ Ζηνὶ Κρονίωνι ἀθάνατον αἰῶνα καμεῖν . . . καθαροῖο γενείου . . . διερὰς χαίτας εὐώδεας, οὐδὲ . . . ἠπεδανοῖο μιγήμεναι ἄνθεϊ λευκῷ . . . ἀλλ' ἐριθηλέα λάχνην. Ad locum restituendum vs. 1 addidi ἀλλὰ Κρόνον φάσκουσιν et vs. 3 scripsi οὐδέ τι λυγροῦ. Cæterum vs. 2 λαχεῖν debetur Hermanno apud Lobeckium Aglaoph. p. 512, γήραος vs. 4 Gesnero, περὶ κροτάφοισιν ἔχειν vs. 5 itidem Hermanno. Similiter Proclus ad Hesiodi Op. et D. p. 44 B: Ὁ μὲν Ὀρφεὺς τοῦ ἀργυροῦ γένους βασιλεύειν φησὶ τὸν Κρόνον τοὺς κατὰ τὸν καθαρὸν λόγον ζῶντας ἀργυροῦς λέγων, ὥσπερ τοὺς κατὰ νοῦν μόνον χρυσοῦς· ὁ δὲ Ἡσίοδος τὸ ἀργυροῦν γένος ποιεῖ ῥάθυμον. Idem p. 39 A: Τὸν Κρόνον ἀεὶ μελαίνας ἔχειν τὰς ἐπὶ γενείου τρίχας, φησὶν Ὀρφεύς· Πλάτων δὲ (Phileb. p. 270 D) τοὺς ἐπὶ τῆς Κρονίας περιόδου ἀποβάλλειν φησὶ τὸ γῆρας καὶ ἀεὶ γίγνεσθαι νεωτέρους. Idem de Hippa, Bacchi nutrice, Comm. in Tim. II p. 124 C, p. 292 seq. ed. Schneider. hæc habet: Ἡ μὲν γὰρ Ἵππα, τοῦ παντὸς οὖσα ψυχή, καὶ οὕτω κεκλημένη παρὰ τῷ θεολόγῳ . . . . . . λίκνον ἐπὶ τῆς κεφαλῆς θεμένη καὶ δράκοντι αὐτὸ περιστέψασα τὸ κραδιαῖον, ὑποδέχεται Διόνυσον.——ὁ δὲ ἀπὸ τοῦ μηροῦ τοῦ Διὸς πρόεισιν εἰς αὐτήν, καὶ προελθὼν ἐπὶ τὸ νοητὸν αὐτὴν ἀνάγει καὶ τὴν ἑαυτοῦ πηγήν· ἐπείγεται γὰρ πρὸς τὴν Ἴδην. Διὸ καὶ συλλαμβάνεσθαι ἡ Ἵππα λέγεται τίκτοντι τῷ Διί. Cf. in Tim. III p. 200 et p. 172. Vide etiam Orphei Hymnum XLIX. Adde Lobeckii Aglaoph. I p. 581.)

XLIV.

Κύκλον τ' ἀκαμάτου καλλιῤῥόου ὠκεανοῖο,
ὃς γαῖαν δίνῃσι πέριξ ἔχει ἀμφιελίξας.

(Eustath. ad Dionys. Perieg. vs. 1: Καθὰ καὶ Ὀρφεὺς ἐν τῷ περὶ Διὸς καὶ Ἥρας φησὶ λέγων· κύκλον ἀκαμάτου κτλ. ὡς τοῦ ὠκεανοῦ περιειληφότος τὴν γῆν. Aliter Scholiastes ms.: καὶ Ὀρφεὺς ἐν τῷ περὶ Διὸς καὶ Κόρης φησίν· κύκλον τ' ἀέναον καλλιῤῥόου ὠκεανοῖο, γαῖαν δίνῃσι περί νιν ἔχει ἀμφιέλισσε. Secutus sum Eustathium inserta τε particula.)

XLV.

Κύκλου τ' αὖ λῆξαι καὶ ἀναπνεῦσαι κακότητος.

(Proclus in Tim. V pag. 330 A et B, pag. 802 ed. Schneider.: Μία σωτηρία τῆς ψυχῆς αὕτη παρὰ τοῦ δημιουργοῦ προτείνεται τοῦ κύκλου τῆς γενέσεως ἀπαλλάττουσα καὶ τῆς πολλῆς πλάνης καὶ τῆς ἀνηνύτου ζωῆς, ἡ πρὸς τὸ νοερὸν εἶδος τῆς ψυχῆς ἀναδρομὴ καὶ ἡ φυγὴ πάντων τῶν ἐκ τῆς

XLII.

Primus quidem terrestribus hominibus imperabat Sa- [turnus,
e Saturno autem natus est rursus rex magnus Jupiter late [sonans.

XLIII.

Sed Saturnum dicunt sub Jove Saturnio
perpetuum tersæ barbæ nitorem nactum esse
madidosque et odoratos capillos, neque albis molestæ
atque infirmæ senectutis floribus esse conspersum,
sed circa tempora habere pinguissimam cæsariem.

XLIV.

Orbemque infatigabilis et pulchre fluentis oceani, [clitur.
qui terram vorticibus utrimque agitatam undique comple-

XLV.

Discedere rursus ex orbe et respirare a calamitate.

γενέσεως ἡμῖν προσπεφυκότων . . . . . . πᾶσαν δὲ τὴν ζωὴν εἰς τὴν εὐδαίμονα περιάγουσα ζωὴν ἀπὸ τῆς περὶ τὴν γένεσιν πλάνης, ἧς καὶ οἱ παρ' Ὀρφεῖ τῷ Διονύσῳ καὶ τῇ Κόρῃ τελούμενοι τυχεῖν εὔχονται, κύκλου τ' ἂν λῆξαι κτλ. Αὖ pro ἂν substitui cum Galeo ad Iamblich. de Myst. p. 309.)

XLVI.

Νῦν δ' ἄγε μοι κούρη Πιμπληϊὰς ἔννεπε Μοῦσα.

(Tzetzes ad Lycophr. vs. 275, ubi legitur Λειβηθρίην δ' ὕπερθε Πιμπλείας σκοπήν, citat Orphei versum νῦν δ' ἄγε κτλ. addens: Ἐπείπερ Ὀρφεύς, ἀρχὴ καὶ πατὴρ ὑπάρχων τῶν ποιητῶν, κατῴκει περὶ τὸν Ἑλικῶνα καὶ τὸ Λειβήθριον, ἐμυθολογήθη, ὡς αἱ Μοῦσαι περὶ τοὺς ἐκεῖσε τόπους οἰκοῦσι. Idem ad vs. 410 Orphicum versum repetens pro Πιμπληϊὰς habet Λειβηθριάς. At Chiliad. VII, 949 Λειβηθριάς. Rursus Πιμπληϊὰς est in carmine Maximi vs. 141 apud Fabricium Bibl. Gr. Vol. VIII p. 422. Huc accedit quod Jo. Tzetzes Exeg. Hom. ms. fol. 9, a, ait: Τοῦτο δὲ Ὀρφεὺς σαφέστερον παραδείκνυσι· Λειβήθριος γὰρ ὢν φησί· νῦν δ' ἄγε μοι κούρη Λειβηθριὰς ἔννεπε Μοῦσα· et fol. 13, b: φησὶ γὰρ ἐκεῖνος [ὁ Ὀρφεὺς] Λειβήθριος ὤν, νῦν δ' ἄγε μοι κούρη Κωνσταντιὰς ἔννεπε Μοῦσα.)

XLVII.

Εὖτ' ἂν δή μιν ἴδηαι ὑπὸ δρυσὶν ὑψικόμοισιν
ἔργοισιν μεθύοντα μελισσάων ἐριβόμβων,
αὐτίκα μιν δῆσον.

(Porphyrius de antro Nymph. p. 118 ed. Barnes.: Οὕτω παρὰ τῷ Ὀρφεῖ ἡ Κόρη, ἥπερ ἐστὶ παντὸς τοῦ σπειρομένου ἔφορος, ἱστουργοῦσα παραδίδοται. . . . Παρὰ τῷ Ὀρφεῖ ὁ Κρόνος μέλιτι ὑπὸ Διὸς ἐνεδρεύεται. Πλησθεὶς γὰρ μέλιτος μεθύει καὶ σκοτοῦται, ὡς ἀπὸ οἴνου, καὶ ὑπνοῖ— οὔπω γὰρ οἶνος ἦν. Φησὶ γὰρ παρ' Ὀρφεῖ ἡ Νὺξ τῷ Διὶ ὑποτιθεμένη τὸν διὰ μέλιτος δόλον· εὖτ' ἂν δή μιν κτλ. ὃ καὶ πάσχει ὁ Κρόνος, καὶ δεθεὶς ἐκτέμνεται ὡς Οὐρανός.)

XLVIII.

Οὓς καλέουσι γίγαντας ἐπώνυμον ἐν μακάρεσσιν,
οὕνεκα Γῆς ἐγένοντο καὶ αἵματος Οὐρανίοιο.

(Etym. M. Γίγας παρὰ τὸ ἐκ τῆς γῆς ἰέναι [leg. φῦναι] οἷον· οὓς καλέουσι κτλ. Οὕτως Ὀρφεὺς ἐν τῷ ὀγδόῳ τοῦ ἱεροῦ λόγου.)

XLIX.

Τὸν δὴ καλέουσι Φάνητα,
(ἀθάνατοι) ὅτι πρῶτος ἐν αἰθέρι φαντὸς ἔγεντο.

(Etym. M. s. v. Φάνης· τὸν δὴ καλέουσι Φάνητα, ὅτι πρῶτος ἐν αἰθέρι φαντὸς ἐγένετο. Ὀρφεύς· οὕτως Ὦρος. Inserui cum Lobeckio Aglaoph. I p. 481 ἀθάνατοι mutavique ἐγένετο in ἔγεντο. Huic dicto subjungam alia quædam Orpheo tributa. Suidas v. Τριτοπάτορες. Δήμων ἐν τῇ Ἀτθίδι φησὶν ἀνέμους εἶναι τοὺς τριτοπάτορας. Φιλόχορος δὲ τοὺς τριτοπάτρεις πάντων γεγονέναι πρώτους. Τὴν μὲν γὰρ γῆν καὶ τὸν ἥλιον, φησίν, ὃν καὶ Ἀπόλλωνα καλεῖ, γονεῖς αὐτῶν ἠπίσταντο οἱ τότε ἄνθρωποι· τοὺς δὲ ἐκ τούτων τρίτους πατέρας. Φανόδημος δὲ ἐν ἕκτῳ φησὶν ὅτι μόνοι οἱ Ἀθηναῖοι θύουσί τε καὶ εὔχονται αὐτοῖς ὑπὲρ γενέσεως παίδων, ὅταν γαμεῖν μέλλωσιν. Ἐν δὲ Ὀρφέως φυσικῷ ὀνομάζεσθαι τοὺς τριτοπάτορας Ἀμαλκείδην καὶ Πρωτοκλέα καὶ Πρωτοχρέοντα, θυρωροὺς καὶ φύλακας ὄντας τῶν ἀνέμων. Ὁ δὲ τὸ ἐξηγητικὸν ποιήσας Οὐρανοῦ καὶ Γῆς φησιν αὐτοὺς εἶναι παῖδας, ὀνόματα δὲ αὐτοῖς Κόττον, Βριάρεων, καὶ Γύγην. Cf. Etym. M. p. 768. Adde Lobeckii Aglaoph. I p. 760 seqq. — Suidas v. ἵππος Νισαῖος. Ἐν δὲ Δίκτυϊ Ὀρφεὺς λέγει· ἡ Νίσα τόπος ἐστὶν ἐν Ἐρυθρῷ κείμενος. Schol. Pind. ad Pyth. III, 96: Λέγεται δὲ ὁ Ἀσκληπιὸς χρυσῷ δελεασθεὶς ἀναστῆσαι Ἱππόλυτον τεθνηκότα· οἱ δὲ Τυνδάρεων· ἕτεροι Καπανέα· οἱ δὲ Γλαῦκον· οἱ δὲ Ὀρφικοὶ Ὑμέναιον. Schol. Vict. ad Hom. Iliad. XVIII, 570 ap. Heynium vol. VII p. 803: Ἡ δὲ καλουμένη Σφαῖρα ποίημά ἐστιν εἰς τὸν Λίνον, ἀναφέρεται δὲ εἰς Ὀρφέα.)

L.

Ἔστ' ἂν Ῥείη παῖδα τέκοι Κρόνῳ ἐν φιλότητι.

(Proclus in Tim. II p. 121 A: Διὸ καὶ μένει μὲν (ἡ Θέμις) παρθένος πρὸ τῆς τοῦ δημιουργοῦ

XLVI.

Nunc vero age, puella Pimpleis, dic mihi Musa.

XLVII.

Quum eum videris sub arboribus alte comosis
ebrium stridentium apum operibus,
statim eum alligato.

XLVIII.

Quos inter deos cognomento perhibent gigantes,
quia Terra et sanguine Cœlesti nati sunt.

XLIX.

Quem vocant Phanetem
immortales, quia primus in æthere apparuit.

L.

Donec Rhea filium peperisset Saturno ex concubitu —

προόδου κατὰ τοὺς χρησμοὺς τῆς Νυκτός, ἔστ' ἂν Ῥείη κτλ. συμπαράγει δὲ τῷ Διὶ τὴν τριάδα τῶν Ὡρῶν. Transposui verba cum Hermanno; legebatur enim τέκοι παῖδα.)

Καὶ τότε δὴ Ἑκάτην Δηὼ τέκεν εὐπατέρειαν.

(Schol. Apoll. III, 467 : Περσηίδα τὴν Ἑκάτην λέγει· τινὲς δὲ αὐτήν φασι Διὸς εἶναι παῖδα· ἐν δὲ τοῖς Ὀρφικοῖς Δήμητρος γενεαλογεῖται· καὶ τότε δὴ κτλ.)

Ἁβρὸς Ἔρως καὶ Μῆτις ἀτάσθαλος....
οἷσιν ἐπεμβεβαὼς Δαίμων αἰὲν ἐπίσχει.

(34) Vide Sam. Petitum in utilissimo opere de Legibus Atticis, Jo. Meursium in Themide Attica et quos laudavit Fabricius Bibl. Græc. vol. II p. 24 et 41 seqq. ed. Harl.

(35) Diogenes Laertius lib. I, 68 : Χείλων Δαμαγήτου, Λακεδαιμόνιος. Οὗτος ἐποίησεν ἐλεγεῖα εἰς ἔπη διακόσια... γέγονε δὲ ἔφορος κατὰ τὴν πεντηκοστὴν πέμπτην ὀλυμπιάδα. Παμφίλη δέ φησι κατὰ τὴν ἕκτην, καὶ πρῶτον ἔφορον γενέσθαι ἐπὶ Εὐθυδήμου, ὥς φησι Σωσικράτης. Conf. Marmor Parium vs. 57 in Fragm. Hist. Græc. vol. I p. 548. Hinc Scaliger in Ὀλυμπιάδων ἀναγραφῇ ad Olymp. LVI ann. I: Εὐθύδημος [ἄρχων]· Χείλων πρῶτος Ἔφορος ἐν Λακεδαίμονι κατέστη.

(36) Diogenes Laertius lib. I, 68 : Καὶ πρῶτος εἰσηγήσατο Ἐφόρους τοῖς βασιλεῦσι παραζευγνύναι. Conf. ibi Menag.

(37) Diodorus Epitom. lib. IX, 13 : Ὅτι Χίλων τῷ λόγῳ σύμφωνον ἔσχε τὸν βίον, ὅπερ σπανίως εὕροι τις ἂν γινόμενον. Τῶν γὰρ καθ' ἡμᾶς φιλοσόφων τοὺς πλείστους ἰδεῖν ἐστι λέγοντας μὲν τὰ κάλλιστα, πράττοντας δὲ τὰ χείριστα, καὶ τὴν ἐν ταῖς ἀπαγγελίαις αὐτῶν σεμνότητα καὶ σύνεσιν διὰ τῆς πείρας ἐλεγχομένην. Ὁ δὲ Χίλων χωρὶς τῆς κατὰ τὸν βίον ἐν ἅπασι τοῖς πραττομένοις· ἀρετῆς πολλὰ διενοήθη καὶ ἀπεφθέγξατο μνήμης ἄξια.

(38) Præceptum illud : Γνῶθι σαυτόν alii Thaletis esse volunt. Vid. fragm. Conf. Clement. Alexandr. Strom. lib. I pag. 300. Adde Menag. ad Diog. Laert. lib. I, 40; Ruhnken. præfat. ad Hesych. tom. II p. VI et in Auctario ad Hesych. pag. 843.

(39) Diodorus Siculus Epitom. libr. IX, 14 : Ὅτι Χίλων ἀφικόμενος εἰς Δελφούς, καὶ καθάπερ ἀπαρχὰς ποιούμενος τῷ θεῷ τῆς ἰδίας συνέσεως, ἐπέγραψεν ἐπί τινα κίονα τρία ταῦτα, « γνῶθι σαυτόν » καὶ « μηδὲν ἄγαν, » καὶ τρίτον « ἐγγύα, πάρα δ' ἄτα. »

(40) Diogenes Laertius lib. I, 72 : Βραχυλόγος τε ἦν, ὅθεν καὶ Ἀρισταγόρας ὁ Μιλήσιος τοῦτον τὸν τρόπον Χειλώνειον καλεῖ. . . . . ἦν δὲ γέρων περὶ τὴν πεντηκοστὴν δευτέραν ὀλυμπιάδα, ὅτε Αἴσωπος ὁ λογοποιὸς ἤκμαζεν. Ἐτελεύτησε δ', ὥς φησιν Ἕρμιππος, ἐν Πίσῃ, τὸν υἱὸν ὀλυμπιονίκην ἀσπασάμενος πυγμῆς. Ἔπαθε δὲ τοῦτο ὑπερβολῇ τε χαρᾶς καὶ ἀσθενείᾳ πολυετίας. Καὶ αὐτὸν πάντες οἱ κατὰ τὴν πανήγυριν ἐντιμότατα παρέπεμψαν.

(41) Diogenes Laertius lib. I, 74 : Πιττακὸς Ὑῤῥαδίου Μιτυληναῖος. Φησὶ δὲ Δοῦρις τὸν πατέρα αὐτοῦ Θρᾷκα εἶναι. Οὗτος μετὰ τῶν Ἀλκαίου γενόμενος ἀδελφῶν Μέλαγχρον καθεῖλε, τὸν τῆς Λέσβου τύραννον, καὶ περὶ τῆς Ἀχιλλείτιδος χώρας μαχομένων Ἀθηναίων καὶ Μιτυληναίων ἐστρατήγει μὲν αὐτός, Ἀθηναίων δὲ Φρύνων παγκρατιαστὴς ὀλυμπιονίκης. Συνέθετο δὴ μονομαχῆσαι πρός αὐτόν· καὶ δίκτυον ἔχων ὑπὸ τὴν ἀσπίδα λαθραίως περιέβαλε τὸν Φρύνωνα, καὶ κτείνας ἀνεσώσατο τὸ χωρίον. Ὕστερον μέντοι, φησὶν Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς, διαδικασθῆναι τοὺς Ἀθηναίους περὶ τοῦ χωρίου πρὸς τοὺς Μιτυληναίους, ἀκούοντος τῆς δίκης Περιάνδρου, ὃν καὶ τοῖς Ἀθηναίοις προσκρῖναι. Cf. Strabo lib. XIII pag. 600 ed. Casaub.

(42) Diogenes Laertius lib. I, 75 : Τότε δ' οὖν τὸν Πιττακὸν ἰσχυρῶς ἐτίμησαν οἱ Μιτυληναῖοι, καὶ τὴν ἀρχὴν ἐνεχείρησαν αὐτῷ. Ὁ δὲ δέκα ἔτη κατασχὼν καὶ εἰς τάξιν ἀγαγὼν τὸ πολίτευμα, κατέθετο τὴν ἀρχὴν καὶ δέκα ἐπεβίω ἄλλα.

videtur contrivisse. Nam præterquam quod leges soluta oratione civibus scripsit, dicitur sexcentos versus elegiacos fecisse (43). Cæterum sive Pittaci sive Biantis responso Crœsum a bello insulanis inferendo deterritum esse narrat Herodotus lib. I, 27 (44).

Floruit Pittacus maxime circa Olympiadem XLII, obiit autem admodum senex sub Aristomene tertio LII olympiadis anno, vita ultra septuagesimum annum producta (45).

Bias, Teutami filius, Prienensis, Halyattis ejusque filii Crœsi æqualis (46), quem Satyrus reliquis sapientibus præferebat (47), Hipponax et Heraclitus laudibus cumulabant (48), sui temporis disertissimus atque eloquentissimus fuit, sed longe aliter ac cæteri eloquentia est usus. Non enim ad mercenariam operam, neque ad quæstum ullum faciendum, sed ad opem hominibus injuria affectis ferendam eloquentiam suam adhibuit, quod paucos admodum fecisse reperias (49). Hunc Prienenses narrant quum virgines Messenias a latronibus captas redemisset domi tanquam suas filias honorifice habuisse (50). Postmodum vero simulatque virginum necessarii conquirendi causa Prienen venerunt, eas reddidit, nec redemtionis pretium neque alimenta ab iis exigenda ratus, sed contra plurima insuper munera largitus. Quamobrem puellæ eum ut patrem benevolentia complectebantur, tum ob domesticam educationem, tum ob beneficii magnitudinem, adeo ut cum propinquis domum reversæ minime amicitiam illam, quam apud exteros experiendo cognoverant, obliviscerentur. Itaque quo tempore piscatores Messenii æneum tripodem e mari extraxerunt cui inscriptum erat *Sapientissimo*, ad Biantem vel ipsarum puellarum, vel, ut alii dicunt, patris earum rogatu missus est. At ille tripodem conspicatus non accepit, sed Apollinem sapientem esse dixit.

Sed nullum ejus factum illustrius est eo cujus memoriam Cicero Paradox. I, 1 et Valerius Maximus lib. VII cap. 2 servarunt. Nam quum patriam ejus Prienen cepissent hostes cæterique cives ita fugerent, ut multa de suis rebus secum asportarent, Bias admonitus a quodam, ut idem faceret : « Ego vero, inquit, facio; nam omnia mea mecum porto. » Ut vivum honorarunt Prienenses, quod multis beneficiis rempublicam demeruerat (51) : ita mortuum magnifice sepelierunt eique sacellum dedicarunt, quod Teutamium dicebatur (52). Condidit carmen heroicum in quo Ionum res duobus fere millibus versuum persecutus erat (53), eo consilio ut ostenderet, qua ratione maxime florere Ionia posset.

---

(43) Diogenes Laertius lib. I, 79 : Ἐποίησε δὲ καὶ ἐλεγεῖα ἔπη ἑξακόσια, καὶ ὑπὲρ νόμων καταλογάδην τοῖς πολίταις.

(44) Herodotus lib. I, 27 : Ἐόντων δέ οἱ πάντων ἑτοίμων ἐς τὴν ναυπηγίην οἱ μὲν Βίαντα λέγουσι τὸν Πριηνέα ἀπικόμενον ἐς Σάρδις, οἱ δὲ Πιττακὸν τὸν Μιτυληναῖον, εἰρομένου Κροίσου εἴ τι εἴη νεώτερον περὶ τὴν Ἑλλάδα, εἰπόντα τάδε, καταπαῦσαι τὴν ναυπηγίην· « Ὦ βασιλεῦ, νησιῶται ἵππον συνωνέονται μυρίην, ἐς Σάρδις τε καὶ ἐπὶ σὲ ἔχοντες ἐν νῷ στρατεύεσθαι ». Κροῖσον δὲ, ἐλπίσαντα λέγειν ἐκεῖνον ἀληθέα, εἰπεῖν· « Αἲ γὰρ τοῦτο θεοὶ ποιήσειαν ἐπὶ νόον νησιώτῃσι, ἐλθεῖν ἐπὶ Λυδῶν παῖδας σὺν ἵπποισι. » Τὸν δὲ ὑπολαβόντα φάναι· « Ὦ βασιλεῦ, προθύμως μοι φαίνεαι εὔξασθαι νησιώτας ἱππευομένους λαβεῖν ἐν ἠπείρῳ, οἰκότα ἐλπίζων. Νησιώτας δὲ τί δοκέεις εὔχεσθαι ἄλλο, ἢ ἐπεί τε τάχιστα ἐπύθοντό σε μέλλοντα ἐπὶ σφίσι ναυπηγέεσθαι νέας, λαβεῖν ἀρώμενοι Λυδοὺς ἐν θαλάσσῃ, ἵνα ὑπὲρ τῶν ἐν τῇ ἠπείρῳ οἰκημένων Ἑλλήνων τίσωνταί σε, τοὺς σὺ δουλώσας ἔχεις; »

(45) Diogenes Laertius lib. I, 79 : Ἤκμαζε μὲν οὖν περὶ τὴν τεσσαρακοστὴν δευτέραν ὀλυμπιάδα, ἐτελεύτησε δ᾽ ἐπ᾽ Ἀριστομένους τῷ τρίτῳ ἔτει τῆς πεντηκοστῆς δευτέρας ὀλυμπιάδος, βιοὺς ὑπὲρ ἔτη ἑβδομήκοντα ἤδη γεραιός.

(46-47) Diogenes Laertius lib. I, 82 : Βίας Τευτάμου, Πριηνεύς, προκεκριμένος τῶν ἑπτὰ ὑπὸ Σατύρου. Cf. ibid. I, 83.

(48) Vid. Diog. Laert. lib. I, 84-88.

(49) Diodorus Siculus epit. libr. IX, 23 : Ὅτι Βίας ἦν δεινότατος καὶ τῷ λόγῳ πρωτεύων τῶν καθ᾽ ἑαυτόν. Κατεχρήσατο δὲ τῇ τοῦ λέγειν δυνάμει πολλοῖς ἀνάπαλιν· οὐ γὰρ εἰς μισθαρνίαν οὐδὲ εἰς προσόδους, ἀλλ᾽ εἰς τὴν τῶν ἀδικουμένων κατετίθετο βοήθειαν, ὅπερ σπανιώτατον ἄν τις εὕροι.

(50) Diodorus Siculus Epit. lib. IX, 21-22 : Ὅτι φασὶν οἱ Πριηνεῖς, ὅτι Μεσσηνίας τὸ γένος ἐπισήμους παρθένους λυτρωσάμενος ὁ Βίας παρὰ λῃστῶν ἦγεν ὡς ἰδίας θυγατέρας ἐντίμως. Μετὰ δέ τινας χρόνους παραγενομένων τῶν συγγενῶν κατὰ ζήτησιν, ἀπέδωκεν αὐτὰς οὔτε τροφεῖα πραξάμενος οὔτε λύτρα, τοὐναντίον δὲ τῶν ἰδίων πολλὰ δωρησάμενος. Εἶχον οὖν πρὸς αὐτὸν αἱ κόραι πατρικὴν εὔνοιαν διά τε τὴν συντροφίαν καὶ τὸ μέγεθος τῆς εὐεργεσίας, ὥστε καὶ χωρισθεῖσαι μετὰ τῶν ἰδίων εἰς τὴν πατρίδα τῆς ὑπερορίου χάριτος οὐκ ἐπελάθοντο. — Ὅτι σαγηνεῖς Μεσσήνιοι κατὰ τὸν βόλον ἕτερον μὲν οὐδὲν ἀνείλκυσαν, χαλκοῦν δὲ τρίποδα μόνον ἐπιγραφὴν ἔχοντα « τῷ σοφωτάτῳ. » Ἀναχθέντος δὲ τοῦ κατασκευάσματος δοθῆναι τῷ Βίαντι. Diogenes Laertius lib. I, 82 : Φανόδικος δὲ [φησὶ] κόρας αἰχμαλώτους λυτρωσάμενον Μεσσηνίας, θρέψαι τε ὡς θυγατέρας, καὶ προῖκας ἐπιδοῦναι, καὶ εἰς τὴν Μεσσήνην ἀποστεῖλαι τοῖς πατράσιν αὐτῶν. Χρόνῳ δ᾽ ἐν Ἀθήναις, ὡς προείρηται, τοῦ τρίποδος εὑρεθέντος ὑπὸ τῶν ἁλιέων, τοῦ χαλκοῦ ἐπιγραφὴν ἔχοντος, τῷ σοφῷ, Σάτυρος μέν φησι παρελθεῖν τὰς κόρας (οἱ δὲ τὸν πατέρα αὐτῶν, ὡς καὶ Φανόδικος) εἰς τὴν ἐκκλησίαν, καὶ εἰπεῖν τὸν Βίαντα σοφόν, διηγησαμένας τὰ καθ᾽ ἑαυτάς. Καὶ ἀπεστάλη ὁ τρίπους, καὶ ὁ Βίας ἰδών, ἔφη τὸν Ἀπόλλωνα σοφὸν εἶναι, οὐδὲ προσήκατο.

(51) Plutarchus de unius in republica dominatione, populari statu et paucorum imperio, vol. XII p. 209 : Καθὸ τὴν Περικλέους πολιτείαν ἐπαινοῦμεν καὶ τὴν Βίαντος.

(52) Diogenes Laertius lib. I, 85-88 : Καὶ αὐτὸν μεγαλοπρεπῶς ἔθαψεν ἡ πόλις, καὶ ἐπέγραψαν· Κλεινῆς ἐν δαπέδοισι Πριήνης φύντα καλύπτει Ἥδε Βίαντα πέτρα, κόσμον Ἴωσι μέγαν.... καὶ οἱ Πριηνεῖς δὲ αὐτῷ τέμενος καθιέρωσαν τὸ Τευτάμειον λεγόμενον.

(53) Diogenes Laertius lib. I, 85 : Ἐποίησε δὲ περὶ Ἰω-

Cleobulus, Evagoræ filius, Lindius, quem Plutarchus (54) lib. de ει Delphico cap. 3 Lindiorum tyrannum vocat, Ælianus Var. Hist. lib. III, 17 Rhodiorum reipublicæ multum profuisse dicit, corporis pulchritudine et viribus excelluit. Hunc nonnulli genus suum ad Herculem retulisse atque in Ægyptum philosophiæ percipiendæ causa profectum esse ajunt (55). Fama est eum Minervæ fanum a Danao constructum apud Lindios restaurasse (56). Ejus filiam Cleobulinam, nobilem poetriam, quæ ænigmata hexametris versibus componebat, passim veteres memorant (57). Ipse cantionum et griphorum auctor ad quattuor millia versuum scripsit. Fuerunt etiam qui epigramma Midæ sepulcro insculptum a Cleobulo factum esse contenderunt (58). Mortalitatem explevit septuaginta annorum senex, ejusque cippo hoc incisum fuit elogium :

Exstinctum luget Cleobulum Lindus alumnum
clara parens factis undique cincta mari (59).

Periander, Cypseli filius, ex Heraclidarum gente oriundus, per quadraginta annos Corinthiorum tyrannus, circa trigesimam octavam olympiadem floruit (60). Quo homine nihil unquam crudelius et impurius Corinthiorum civitas tulit. Namque uxorem Melissam, Proclis Epidauriorum regis filiam, ex qua duos filios, Cypselum et Lycophronem, susceperat, interfecit multaque commisit flagitia et nefaria facinora, quæ ab Herodoto lib. III, 50-53; V, 92 et Diogene Laertio lib. I, 94 seqq. (61) copiose narrata hic referre piget. Illud mirandum, quod aut Græci homini facinoroso locum inter sapientes concesserunt, aut in uno homine res dissociabiles, sapientia, crudelitas et nequitia mixtæ fuerunt. Quamobrem nonnulli eum de septem sapientum numero exemerunt. Vide Clementem Strom. I pag. 299 et Lucianum (62) Veræ Historiæ lib. II cap. 17 tom. II, p. 114 ed. Reitz., ubi ab Elysiis quoque campis hunc solum sapientum abesse dicit. Quidam duos fuisse Periandros auctores sunt, alterum sapientem eumque Ambraciensem, alterum tyrannum Corinthium. Sed Aristoteles ait Corinthium fuisse sapientem, Plato negat (63). Plutarchus certe Corinthiorum principem unum e sapientibus esse vult, quum reliquis eum epulum dedisse fingat (64). Utcunque est, sævus iste dominus, quem nos plerorumque veterum auctoritate permoti inter sapientes numeramus, octogenarius de vita migravit. Accidit hoc quadragesimo anno ante victum a Cyro Crœsum, id est, olympiadis XLVIII anno quarto (65). Edidit duo millia versuum Præceptionum nomine inscripta (66).

Anacharsis Scytha, Gnuri filius, Caduidæ Scytharum regis frater, matre Græca natus, a

νίας, τίνα μάλιστα ἂν τρόπον εὐδαιμονοίη, εἰς ἔπη δισχίλια.

(54) Plutarchus de ει Delphico cap. 3 : Κλεόβουλος ὁ Λινδίων τύραννος. Ælianus Var. Hist. lib. III, 17 : Κλεόβουλος δὲ Ῥοδίους [πολλὰ ὤνησεν]. Diog. Laert. I, 89 : Κλεόβουλος, Εὐαγόρου, Λίνδιος..... ῥώμῃ δὲ καὶ κάλλει διαφέρειν.

(55) Diogenes Laertius lib. I, 89 : Ἔνιοι δὲ εἰς Ἡρακλέα ἀναφέρειν τὸ γένος αὐτόν.... μετασχεῖν τε τῆς ἐν Αἰγύπτῳ φιλοσοφίας.

(56) Diogenes Laertius lib. I, 89: Ἀλλὰ καὶ τὸ ἱερὸν τῆς Ἀθηνᾶς ἀνανεώσασθαι αὐτὸν ἀπὸ Δαναοῦ. Strabo lib. XIV pag. 655 ed. Casaub. : Ἔστι δὲ πρώτη μὲν Λίνδος ἀπὸ τῆς πόλεως πλέουσιν ἐν δεξιᾷ ἔχουσι τὴν νῆσον, πόλις ἐπὶ ὄρους ἱδρυμένη, πολὺ πρὸς μεσημβρίαν ἀνατείνουσα καὶ πρὸς Ἀλεξάνδρειαν μάλιστα· ἱερὸν δέ ἐστιν Ἀθηνᾶς Λινδίας αὐτόθι ἐπιφανές, τῶν Δαναΐδων ἵδρυμα... ἐντεῦθεν δ' ἐστὶν εἷς τῶν ἑπτὰ σοφῶν, Κλεόβουλος.

(57) Diogenes Laertius lib. I, 89 : Γενέσθαι τε αὐτῷ θυγατέρα Κλεοβουλίνην, αἰνιγμάτων ἑξαμέτρων ποιήτριαν· ἧς μέμνηται καὶ Κρατῖνος ἐν τῷ ὁμωνύμῳ δράματι, πληθυντικῶς ἐπιγράψας. Vide Menagium in Historia mulierum philosopharum. Cf. Bergk. Comment. de Reliquiis comœd. attic. pag. 121.

(58) Diogenes Laertius lib. I, 89 : Οὗτος ἐποίησεν ᾄσματα καὶ γρίφους εἰς ἔπη τρισχίλια. Καὶ τὸ ἐπίγραμμά τινες τὸ ἐπὶ Μίδᾳ τοῦτόν φασι ποιῆσαι· Χαλκῆ παρθένος εἰμί, Μίδου δ' ἐπὶ σήματι κεῖμαι. Ἔστ' ἂν ὕδωρ τε ῥέῃ, καὶ δένδρεα μακρὰ τεθήλῃ, Ἠέλιός τ' ἀνιὼν λάμπῃ λαμπρά τε σελήνη, Καὶ ποταμοὶ γε ῥέωσιν, ἀνακλύζῃ δὲ θάλασσα, Αὐτοῦ τῇδε μένουσα πολυκλαύστῳ ἐπὶ τύμβῳ, Ἀγγελέω παριοῦσι, Μίδας ὅτι τῇδε τέθαπται.

(59) Diogenes Laertius lib. I, 93 : Ἐτελεύτησε δὲ γηραιὸς ἔτη βιοὺς ἑβδομήκοντα, καὶ αὐτῷ ἐπεγράφη· Ἄνδρα σοφὸν Κλεόβουλον ἀποφθίμενον καταπενθεῖ Ἥδε πάτρα Λίνδος, πόντῳ ἀγαλλομένη.

(60) Diogenes Laertius lib. I, 94-98 : Περίανδρος Κυψέλου Κορίνθιος, ἀπὸ τοῦ τῶν Ἡρακλειδῶν γένους..... ἤκμαζε δὲ περὶ τὴν τριακοστὴν ὀγδόην ὀλυμπιάδα, καὶ ἐτυράννησεν ἔτη τετταράκοντα.

(61) Diogenes Laertius lib. I, 94 : Οὗτος γήμας Λυσίδην, ἣν αὐτὸς Μέλισσαν ἐκάλει, τὴν Προκλέους, τοῦ Ἐπιδαυρίων τυράννου καὶ Ἐρισθενείας θυγατέρα, παῖδας ἐξ αὐτῆς ἐποίησε δύο, Κύψελον καὶ Λυκόφρονα, τὸν μὲν νεώτερον συνετόν, τὸν δὲ πρεσβύτερον ἄφρονα. Χρόνῳ δὴ ὑπὸ ὀργῆς βαλὼν ὑποβάθρῳ ἢ λακτίσας τὴν γυναῖκα, ἔγκυον οὖσαν, ἀπέκτεινε κτλ.

(62) Lucianus Ver. Hist. II, 17 : Ἐθεασάμην καὶ τοὺς σοφοὺς ἄνευ Περιάνδρου.

(63) Diogenes Laertius lib. I, 98-99 : Σωτίων δὲ καὶ Ἡρακλείδης καὶ Παμφίλη ἐν τῷ πέμπτῳ τῶν ὑπομνημάτων δύο φασὶ Περιάνδρους γεγονέναι, τὸν μὲν τύραννον, τὸν δὲ σοφὸν καὶ Ἀμπρακιώτην. Τοῦτο καὶ Νεάνθης φησὶν ὁ Κυζικηνός, ἀνεψιούς τε εἶναι ἀλλήλοις. Καὶ Ἀριστοτέλης μὲν τὸν Κορίνθιόν φησιν εἶναι τὸν σοφόν· Πλάτων δέ, οὔ φησι.

(64) Plutarchus VII Sapient. Conviv. cap. 2.

(65) Diogenes Laertius lib. I, 95 : Καὶ ὃς ἀθυμήσας ἐτελεύτησεν, ἤδη γεγονὼς ἔτη ὀγδοήκοντα. Σωσικράτης δέ φησι πρότερον Κροίσου τελευτῆσαι αὐτὸν ἔτεσι τετταράκοντα καὶ ἑνὶ πρὸ τῆς τεσσαρακοστῆς ἐννάτης ὀλυμπιάδος. Conf. Corsini Fast. attic. Tom. III p. 48. 61. 85.

(66) Diogenes Laertius lib. I, 97 : Ἐποίησε δὲ καὶ ὑποθήκας εἰς ἔπη δισχίλια. Suidas : Ἔγραψεν ὑποθήκας εἰς τὸν ἀνθρώπινον βίον [εἰς] ἔπη ,β.

teneris unguiculis utramque linguam didicit (67). Qui quum opibus et regno sapientiæ studium præoptaret, Solonis ætate circa olymp. XLVII Athenas adiit (68), ubi omne tempus in litteris percipiendis consumsit civitateque donatus et mysteriis Eleusiniis initiatus est. Hic autem honos uni ex barbaris Anacharsidi habitus tantum apud eum valuit, ut patriæ propemodum oblivisceretur. Accedit quod jucunda consuetudine cum Solone conjunctus erat. Itaque hoc demum mortuo ad Scythas rediit (69). Scripsit vero de Scytharum Græcorumque legibus et institutis ad tenuem victum commendandum itemque de re bellica ad octingentos versus (70). Traditur reperisse ancoram et rotam figlinam, quæ Ephori et Posidonii sententia fuit. Sed quum illæ res jam Homeri tempore Græcis notæ fuerint, videntur Scythæ eas per Anacharsidem cognovisse (71).

Myson, Strymonis filius, Cheneus, quem nemo ante Platonem (72) Protag. p. 343 septem sapientibus adnumeravit, a posterioribus sæpe scriptoribus hoc ornamento dignus judicatus est. Nam qui Periandro sapientis nomen non dabant, in ejus locum partim Anacharsidem Scytham, partim Mysonem substituebant. Hunc alii splendidis natalibus ortum patreque tyranno usum esse ajunt, alii ignobilem fuisse hominem scripserunt, quod non in urbe, sed in vico eoque obscuro natus esset. Quid? quod eum hominum osorem appellantes vix a Timonis et Apemanti moribus abhorruisse existimarunt. Cæterum si credibile esse arbitramur quod memoriæ prodit Diogenes Laertius lib. I, 106, Pythia ab Anacharside interrogata, quis ipsum sapientia superaret, Mysonem sapientiorem esse respondit. Maximus Tyrius autem Dissert. XV (73) Mysonem Anacharsidi aliam ob causam placuisse testificatur. Etenim quum ipse sapientiam minime verbosam profiteretur, sed cujus non alius finis esset, quam accurata vitæ ratio, mens sana, sermo brevis et acutus, magnam in Mysone studiorum ac voluntatis similitudinem et cognationem repperit. Quippe familiam recte administrabat, agrum perite colebat, cum uxore temperanter vivebat, liberos liberaliter educabat. Qui igitur hominem agriculturæ potius quam doctrinæ studiosum sapientem nominarunt, ii vitam caste et integre actam ad sapientiam consequendam sufficere crediderunt. Qua de re controversia esse non potest, quum de philosophiæ incunabulis, non de perfecta philosophia agatur. Itaque neque Platoni litem intendimus, neque aliis qui ejus judicium secuti sunt. Mortuus est anno ætatis nonagesimo septimo (74).

(67) Diogenes Laertius lib. I, 101 : Ἀνάχαρσις ὁ Σκύθης, Γνούρου μὲν ἦν υἱός, ἀδελφὸς δὲ Καδουίδου, τοῦ Σκυθῶν βασιλέως, μητρὸς δὲ Ἑλληνίδος· διὸ καὶ δίγλωττος ἦν. Scymnus Chius vs. 818-819 : Καὶ τὸν σοφὸν δ' Ἀνάχαρσιν ἐκ τῶν Νομαδικῶν φησὶν γενέσθαι τῶν σφόδρ' εὐσεβεστάτων.

(68) Diogenes Laertius lib. I, 101 : Λέγει δὲ αὐτὸν Σωσικράτης ἐλθεῖν εἰς Ἀθήνας κατὰ τὴν τεσσαρακοστὴν ἑβδόμην ὀλυμπιάδα, ἐπὶ ἄρχοντος Εὐκράτους.

(69) Lucianus Scyth. Tom. I p. 20 : Καὶ ἐμυήθη μόνος βαρβάρων Ἀνάχαρσις δημοποίητος γενόμενος, εἰ χρὴ Θεοξένῳ πιστεύειν καὶ τοῦτο ἱστοροῦντι περὶ αὐτοῦ. Καὶ οὐκ ἂν οὐδὲ ἀνέστρεψεν, οἶμαι, ἐς Σκύθας, εἰ μὴ Σόλων ἀπέθανε.

(70) Diogenes Laertius lib. I, 101 : Οὗτος ἐποίησε τῶν τε παρὰ τοῖς Σκύθαις νομίμων καὶ τῶν παρὰ τοῖς Ἕλλησιν, εἰς εὐτέλειαν βίου, καὶ τὰ κατὰ τὸν πόλεμον, εἰς ἔπη ὀκτακόσια. Suidas : Ἔγραψε νόμιμα Σκυθῶν, περὶ εὐτελείας τῶν εἰς τὸν ἀνθρώπινον βίον, ἔπη πάντα ὀκτακόσια. Cicero Tuscul. V, 32 : « An Scythes Anacharsis potuit pro nihilo pecuniam ducere, nostrates philosophi facere non poterunt? Illius epistola fertur his verbis : « Anacharsis Hannoni salutem. Mihi amictui est Scythicum tegimen; calceamentum, solorum callum; cubile, terra; pulpamentum, fames; lacte, caseo, carne vescor. Quare ut ad quietum me licet venias. Munera autem ista, quibus es delectatus, vel civibus tuis, vel diis immortalibus dona. »

(71) Diogenes Laertius lib. I, 105 : Εὗρε δ' εἰς τὸν βίον ἄγκυράν τε καὶ κεραμικὸν τροχόν, ὥς τινες. Refutarunt hoc Strabo lib. VII p. 303 ed. Casaub., Schol. Apollon. Argon. lib. I; Seneca epist. XC. Cf. Homer. Iliad. lib. XVIII, 600.

(72) Plato Protag. p. 343 : Τούτων ἦν καὶ Θαλῆς ὁ Μιλήσιος, καὶ Πιττακὸς ὁ Μιτυληναῖος, καὶ Βίας ὁ Πριηνεύς, καὶ Σόλων ὁ ἡμέτερος, καὶ Κλεόβουλος ὁ Λίνδιος, καὶ Μύσων ὁ Χηνεύς, καὶ ἕβδομος ἐν τούτοις ἐλέγετο Λακεδαιμόνιος Χίλων. Οὗτοι πάντες ζηλωταὶ καὶ ἐρασταὶ καὶ μαθηταὶ ἦσαν τῆς Λακεδαιμονίων παιδείας. Καὶ καταμάθοι ἄν τις αὐτῶν τὴν σοφίαν τοιαύτην οὖσαν, ῥήματα βραχέα ἀξιομνημόνευτα ἑκάστῳ εἰρημένα. Οὗτοι καὶ κοινῇ ξυνελθόντες ἀπαρχὴν τῆς σοφίας ἀνέθεσαν τῷ Ἀπόλλωνι ἐς τὸν νεὼν τὸν ἐν Δελφοῖς γράψαντες ταῦτα, ἃ δὴ πάντες ὑμνοῦσι, Γνῶθι σαυτὸν καὶ Μηδὲν ἄγαν. Diogenes Laertius lib. I, 106 : Μύσων Στρύμωνος, ὥς φησι Σωσικράτης, Ἕρμιππον παρατιθέμενος, τὸ γένος Χηνεύς, ἀπὸ κώμης τινὸς Οἰταϊκῆς ἢ Λακωνικῆς, σὺν τοῖς ἑπτὰ καταριθμεῖται. Φασὶ δὲ αὐτὸν καὶ τυράννου πατρὸς εἶναι. Λέγεται δὴ πρός τινος, Ἀναχάρσιδος πυνθανομένου, εἴ τις αὐτοῦ σοφώτερος εἴη, τὴν Πυθίαν εἰπεῖν ἅπερ προείρηται ἐν τῷ Θαλοῦ βίῳ ὑπὲρ Χείλωνος· Οἰταιόν τινά φημι Μύσων' ἐν Χηνὶ γενέσθαι, Σοῦ μᾶλλον πραπίδεσσιν ἀρηρότα πευκαλίμῃσι. Id. 107-108 : Ἀριστόξενος δέ φησιν, οὐ πόῤῥω Τίμωνος αὐτὸν καὶ Ἀπημάντου γεγονέναι· μισανθρωπεῖν γάρ... καὶ ὅτι ἐντεῦθεν ἄδοξος ἦν, ὅτι μηδὲ πόλεως, ἀλλὰ κώμης, καὶ ταῦτα ἀφανοῦς.

(73) Maximus Tyrius Dissert. XV : Ἦλθεν εἰς Ἕλληνας ἐκ τῆς Σκυθῶν γῆς τῶν ἐκεῖ βαρβάρων ἀνὴρ σοφὸς σοφίαν οὐ πολυῤῥήμονα, οὐδὲ λάλον, ἀλλ' ἦν αὐτῆς τὸ κεφάλαιον βίος ἀκριβής, καὶ γνώμη ὑγιής, καὶ λόγος βραχὺς καὶ εὔστοχος.... περιῄει δὲ τὴν Ἑλλάδα ἐν κύκλῳ [ὁ Ἀνάχαρσις] ποθῶν ἰδεῖν σοφίαν στάσιμον καὶ ἑδραίαν, εὗρε δ' ἐν Χηναῖς, σμικρῷ καὶ ἀσθενεῖ πολίσματι, ἄνδρα ἀγαθόν· ὄνομα ἦν αὐτῷ Μύσων. ἀγαθὸς δὲ ἦν ἄρα ὁ Μύσων οἶκον οἰκῆσαι καλῶς, καὶ γῆν τημελῆσαι δεξιῶς καὶ γάμου προστῆναι σωφρόνως, καὶ παῖδα ἐκθρέψαι γεννικῶς κτλ.

(74) Diogenes Laertius lib. I, 108 : Κατέστρεψε δὲ βιοὺς ἔτη ἑπτὰ καὶ ἐνενήκοντα.

ΔΗΜΗΤΡΙΟΥ ΦΑΛΗΡΕΩΣ

ΤΩΝ ΕΠΤΑ ΣΟΦΩΝ ΑΠΟΦΘΕΓΜΑΤΑ.

α'. Κλεόβουλος Εὐαγόρου Λίνδιος ἔφη·

Μέτρον ἄριστον. — Πατέρα δεῖ αἰδεῖσθαι. — Εὖ τὸ σῶμα ἔχειν καὶ τὴν ψυχήν. — Φιλήκοον καὶ μὴ πολυήκοον. — Πολυμαθῆ, μὴ ἀμαθῆ. — Γλῶσσαν εὔφημον κεκτῆσθαι. — Ἀρετῆς οἰκεῖον καὶ κακίας ἀλλότριον ἀδικίαν μισεῖν. — Εὐσέβειαν φυλάσσειν. — Πολίταις τὰ βέλτιστα συμβουλεύειν. — Γλώττης κρατεῖν. — Βίᾳ μηδὲν πράττειν. — Τέκνα παιδεύειν. — Τύχῃ εὔχεσθαι. — Ἔχθρας διαλύειν. — Τὸν τοῦ δήμου ἐχθρὸν πολέμιον νομίζειν. — Γυναικὶ μὴ μάχεσθαι, μηδὲ φιλοφρονεῖσθαι ἀλλοτρίων παρόντων· τὸ μὲν γάρ ἐστι χέρηον, τὸ δὲ μανίαν δύναται παρέχειν. — Οἰκέτας μεθύοντας μὴ κολάζειν· εἰ δὲ μή, δόξεις καὶ αὐτὸς μεθύειν. — Γαμεῖν ἐκ τῶν ὁμοίων· ἐὰν γὰρ ἐκ τῶν κρειττόνων, δεσπότας, οὐ συγγενεῖς κτήσῃ. — Μὴ ἐπιγέλα τῷ σκώπτοντι· ἀπεχθὴς γὰρ ἔσῃ τοῖς σκωπτομένοις. — Εὐποροῦντα μὴ ὑπερήφανον εἶναι, ἀποροῦντα μὴ ταπεινοῦσθαι.

β'. Σόλων Ἐξηκεστίδου Ἀθηναῖος ἔφη·

Μηδὲν ἄγαν. — Κριτὴς μὴ κάθησο· εἰ δὲ μή, τῷ ληφθέντι ἐχθρὸς ἔσῃ. — Ἡδονὴν φεῦγε ἥτις λύπην τίκτει. — Φύλασσε τρόπου καλοκαγαθίαν ὅρκου πιστοτέραν. — Σφράγιζε τοὺς μὲν λόγους σιγῇ, τὴν δὲ σιγὴν καιρῷ. — Μὴ ψεύδου, ἀλλ' ἀλήθευε. — Τὰ σπουδαῖα μελέτα. — Τῶν γονέων μὴ λέγε δικαιότερα. — Φίλους μὴ ταχὺ κτῶ, οὓς δ' ἂν κτήσῃ, μὴ ταχὺ ἀποδοκίμαζε. — Ἄρχεσθαι μαθὼν ἄρχειν ἐπιστήσῃ. — Εὐθύνας ἑτέρους ἀξιῶν διδόναι καὶ αὐτὸς ὕπεχε. — Συμβούλευε μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ βέλτιστα τοῖς πολίταις. — Μὴ θρασύνου. — Μὴ κακοῖς ὁμίλει. — Χρῶ τοῖς θεοῖς. — Φίλους εὐσέβει. — Γονεῖς αἰδοῦ. — Νοῦν ἡγεμόνα ποιοῦ. — Ὃ δ' ἂν ἴδῃς μὴ λέγε. — Εἰδὼς σίγα. — Τοῖς σαυτοῦ πρᾶος ἴσθι. — Τὰ ἀφανῆ τοῖς φανεροῖς τεκμαίρου.

γ'. Χίλων υἱὸς Δαμαγήτου Λακεδαιμόνιος ἔφη·

Γνῶθι σαυτόν. — Πίνων μὴ πολλὰ λάλει· ἁμαρτήσεις γάρ. — Μὴ ἀπείλει τοῖς ἐλευθέροις· οὐ γὰρ καλόν. — Μὴ κακολόγει τοὺς πλησίον· εἰ δὲ μή, ἀκούσῃ ἐφ' οἷς λυπηθήσῃ. — Ἐπὶ τὰ δεῖπνα τῶν φίλων βραδέως πορεύου, ἐπὶ δὲ τὰς ἀτυχίας ταχέως. — Γάμους εὐτελεῖς ποιοῦ. — Τὸν τετελευτηκότα μακάριζε. — Πρεσβύτερον σέβου. — Τὸν τὰ ἀλλότρια περιεργαζόμενον μίσει. — Ζημίαν αἱροῦ μᾶλλον ἢ κέρδος αἰσχρόν· τὸ μὲν γὰρ ἅπαξ σε λυπήσει, τὸ δ' ἀεί. — Τῷ δυστυχοῦντι μὴ ἐπιγέλα. — Ἰσχυρὸς ὤν, ἥσυχον σεαυτὸν πάρεχε, ὅπως σε αἰσχύνωνται μᾶλλον ἢ φοβῶνται. — Τῆς ἰδίας

DEMETRII PHALEREI

SEPTEM SAPIENTUM APOPHTHEGMATA.

1. Cleobulus Evagoræ filius Lindius dixit :

Modus optima res. — Patrem revereri oportet. — Curandum est ut corpore et animo bene valeamus. — Libenter audire oportet, non quævis tamen temere. — Doctum, non indoctum esse decet. — Linguam bene ominantem habeto. — Virtutis proprium est et ab improbitate alienum injustitiam odisse. — Pietatem serva. — Civibus optima suade. — Linguam contine. — Per vim nihil agendum. — Liberos institue. — Fortunam precare. — Inimicitias dissolve. — Populi inimicum hostem habeto. — Cum uxore neque jurgare debemus præsentibus alienis, neque ei blandiri : illud quidem pejus est, hoc autem ad furorem perducere potest. — Servulos ebrios ne castiga : sin minus, et ipse ebrius videberis. — Uxorem duc ex æqualibus : si enim e potentioribus duxeris, dominos, non affines tibi comparabis. — Alios cavillanti ne subrideas ; invisus enim fies iis quibus illuditur. — In divitiis ne superbias, in egestate ne abjecto sis animo.

2. Solon Execestidæ filius Atheniensis dixit :

Ne quid nimis. — Judex ne sedeas : sin minus, in odio eris damnato. — Voluptatem fuge quæ tristitiam parit. — Morum probitatem serva vel jurejurando fide digniorem. — Sermones silentio, silentium temporis opportunitate comproba. — Ne mentiaris, sed vera loquere. — Honesta meditare. — Parentibus justiora ne dicas. — Amicos ne cito compares, quos autem comparaveris, ne statim repudies. — Parère quum didiceris, imperare scies. — Quam alios reposcis rationem, ipse quoque redde. — Civibus non jucundissima, sed optima suadebis. — Ne fastidio efferaris. — Cum improbis ne verseris. — Consule deos. — Amicos cole. — Parentes reverere. — Mentem ducem sequere. — Ne dicas autem quodcunque videris. — Sciens tace. — Lenis in tuos sis. — Obscura e manifestis conjice.

3. Chilon Damageti filius Lacedæmonius dixit :

Nosce te ipsum. — Inter bibendum ne multa loquaris : delinques enim. — Liberis hominibus ne mineris : neque enim decet. — Ne maledicas aliis : sin minus, audies quæ tibi molesta erunt. — Ad amicorum convivia lente, ad calamitates autem cito accede. — Nuptias frugaliter facito. — Vita functum beatum prædica. — Natu majorem cole. — Alienarum rerum cura occupatum oderis. — Jacturam turpi lucro præfer : illa enim semel, hoc semper tibi dolorem afferet. — Calamitosum ne irrideas. — Si robustus es, tranquillum te præbe, ut revereantur te alii potius quam metuant. — Domui tuæ bene præesto. —

οἰκίας προστάτει. — Ἡ γλῶσσά σου μὴ προτρεχέτω τοῦ νοῦ. — Θυμοῦ κράτει. — Μὴ ἐπιθύμει ἀδύνατα. — Ἐν ὁδῷ μὴ σπεῦδε προάγειν, μηδὲ τὴν χεῖρα κινεῖν· μανικὸν γάρ. — Νόμοις πείθου. — Ἀδικούμενος διαλλάσσου, ὑβριζόμενος δὲ τιμωροῦ.

δ'. Πιττακὸς Μιτυληναῖος.

Καιρὸν γνῶθι. — Ὃ μέλλεις ποιεῖν, μὴ λέγε· ἀποτυχὼν γὰρ καταγελασθήσῃ. — Τοῖς ἐπιτηδείοις χρῶ. — Ὅσα νεμεσᾷς τῷ πλησίον, αὐτὸς μὴ ποίει. — Κακοπραγοῦντα μὴ ὀνείδιζε· ἐπὶ γὰρ τούτοις νέμεσις θεῶν κάθηται. — Παρακαταθήκας ἀπόδος. — Ἀνέχου ὑπὸ τῶν πλησίον μικρά. — Ἀγάπα τὸν πλησίον μικρὰ ἐλαττούμενος. — Τὸν φίλον κακῶς μὴ λέγε, μηδ' εὖ τὸν ἐχθρόν· ἀσυλλόγιστον γὰρ τὸ τοιοῦτον. — Δεινὸν τὸ συνιδεῖν τὸ μέλλον· ἀσφαλὲς τὸ γενόμενον, ἀσαφὲς τὸ μέλλον. — Πιστὸν γῆ, ἄπιστον θάλασσα. — Ἄπληστον κέρδος. — Κτῆσαι καλοκαγαθίαν. — Θεραπείαν ζήτει. — Φίλει τὴν παιδείαν, σωφροσύνην, φρόνησιν, ἀλήθειαν, πίστιν, ἐμπειρίαν, ἐπιδεξιότητα, ἑταιρείαν, ἐπιμέλειαν, οἰκονομίαν, τέχνην, εὐσέβειαν.

ε'. Θαλῆς ὁ Μιλήσιος.

Ἐγγύη, πάρα δ' ἄτη. — Φίλων παρόντων καὶ ἀπόντων μέμνησο. — Μὴ τὴν ὄψιν καλλωπίζου, ἀλλ' ἐν τοῖς ἐπιτηδεύμασιν ἴσθι καλός. — Μὴ πλούτει κακῶς. — Μή σε διαβαλλέτω λόγος εἰς τοὺς πίστεως κεκοινωνηκότας. — Κολακεύειν γονεῖς μὴ ὄκνει. — Μὴ προσδέχου τὸ φαῦλον. — Οἵους ἂν ἐράνους ἐνέγκῃς τοῖς γονεῦσι, τοιούτους αὐτὸς ἐν τῷ γήρᾳ παρὰ τῶν τέκνων προσδέχου. — Χαλεπὸν τὸ εὖ γνῶναι. — Ἥδιστον τὸ ἐπιθυμίας τυχεῖν. — Ἀνιαρὸν ἀργία. — Κακὸν ἀκρασία. — Βαρὺ ἀπαιδευσία. — Δίδασκε καὶ μάνθανε τὸ ἄμεινον. — Ἀργὸς μὴ ἴσθι, μηδ' ἂν πλουτῇς. — Τὴν εὐτυχίαν κρύπτε φθόνου χάριν. — Μὴ οἰκτείρου. — Μέτρῳ χρῶ. — Μὴ πᾶσι πίστευε. — Ἄρχων κόσμει σαυτόν.

ς'. Βίας Τευταμίδου Πριηνεὺς ἔφη·

Οἱ πλεῖστοι ἄνθρωποι κακοί. — Ἐς τὸ ἔσοπτρον ἐμβλέψαντα δεῖ, εἰ μὲν καλὸς φαίνῃ, καλὰ ποιεῖν, εἰ δὲ αἰσχρός, τὸ τῆς φύσεως ἐλλιπὲς διορθοῦσθαι τῇ καλοκαγαθίᾳ. — Βραδέως ἐγχείρει· ὃ δ' ἂν ἄρξῃ, διαβεβαιοῦ. — Μίσει τὸ ταχὺ λαλεῖν, μὴ ἁμάρτῃς· μετάνοια γὰρ ἀκολουθεῖ. — Μήτε εὐήθης ἴσθι, μήτε κακοήθης. — Ἀφροσύνην μὴ προσδέχου. — Φρόνησιν ἀγάπα. — Περὶ θεῶν λέγε, ὡς εἰσὶ θεοί. — Νόει τὸ πραττόμενον. — Ἄκουε πολλά. — Λάλει καίρια. — Πένης ὢν πλουσίοις μὴ ἐπιτίμα, ἢν μὴ μέγα ὠφελῇς. — Ἀνάξιον ἄνδρα μὴ ἐπαίνει διὰ πλοῦτον. — Πείσας λάβε, μὴ βιασάμενος. — Ὅταν ἀγαθὸν πράσσῃς, θεούς, μὴ σαυτὸν αἰτιῶ. — Κτῆσαι ἐν μὲν νεότητι εὐπραξίαν, ἐν δὲ τῷ γήρᾳ σοφίαν. — Ἕξεις ἔργῳ μνήμην, καιρῷ εὐλάβειαν, τρόπῳ γενναιότητα, πόνῳ ἐγκράτειαν, φό-

Lingua tua ne mentem antevertat. — Iræ moderare. — Ne concupisce quæ fieri nequeunt. — In via ne prægredi festines, neve manum moveas : est enim hominis vecordis. — Legibus obtempera. — Injuria affectus reconciliare, contumeliam vero ulciscere.

4. Pittacus Mitylenæus.

Nosce tempus opportunum. — Quod facturus es, ne dicas : nam spe frustratus derideberis. — Amicis utere. — Quæ vitio vertis aliis, ipse ne facito. — Infortunato ne probra ingeras : in his enim deorum vindicta sedet. — Deposita redde. — Fer parvas molestias ab aliis allatas. — Ama alios etiamsi paulo inferior sis. — Nec amico male, nec inimico bene dicas : hoc enim hominis inconsiderati est. — Magnum est perspicere futura : quod præteriit certum est, quod futurum, obscurum. — Fida est terra, infidum mare. — Inexplebile lucrum. — Honestatem acquire. — Quære obsequium. — Ama doctrinam, temperantiam, prudentiam, veritatem, fidem, experientiam, dexteritatem, societatem, diligentiam, curam rei familiaris, artem, pietatem.

5. Thales Milesius.

Sponde; præsto noxa est. — Amicorum præsentium et absentium memento. — Faciem ne ornato, sed studiis honestis ornatissimus esto. — Noli male ditescere. — Cave sermo tuus invisum te faciat iis qui fide interposita earundem rerum socii sunt. — Parentibus blandiri ne dubita. — Maleficium ne admitte. — Qualia parentibus præmia dederis, talia ipse senex a liberis tuis exspecta. — Difficile est noscere bonum. — Suavissimum est optatis potiri. — Desidia res molesta est. — Malum intemperantia. — Ignorantia incommoda est. — Doce ac disce meliora. — Noli otiari, etiamsi dives sis. — Res secundas cela invidiæ declinandæ causa. — Fac ne miserabilis fias. — Modum adhibe. — Cave omnibus credas. — Quum imperas, rege te ipsum.

6. Bias Teutamidæ filius Prienensis dixit :

Plerique homines improbi sunt. — In speculum intuitum oportet te, si pulcher tibi videris, honesta facere, sin deformis, naturæ vitium honestate corrigere. — Lente aliquid aggredere : quod autem inchoaveris, id perficere persevera. — Celeritatem in loquendo oderis, ne pecces; sequitur enim pœnitentia. — Nec stultus sis, nec malitiosus. — Imprudentiam ne admitte. — Prudentiam dilige. — De diis dic, esse numina. — Intellige id quod faciendum est. — Audi multa. — Loquere tempestiva. — Si pauper es, noli divites reprehendere, nisi perutilis reprehensio est. — Virum indignum ne lauda propter divitias. — Persuasione cape, non vi. — Quum boni aliquid facis, causam diis, non tibi ascribe. — Adolescens rebus bene gerendis, senex sapientiæ studeas. — Operi adhibebis memoriam, occasioni cautionem, moribus ingenuitatem, labori continentiam, timori pietatem, divitiis amicitiam,

ἔῳ εὐσέβειαν, πλούτῳ φιλίαν, λόγῳ πειθώ, σιγῇ κόσμον, γνώμῃ δικαιοσύνην, τόλμῃ ἀνδρείαν, πράξει δυναστείαν, δόξῃ ἡγεμονίαν, φύσει εὐγένειαν.

ή. Περίανδρος Κυψέλου Κορίνθιος ἔφη·

Μελέτη τὸ πᾶν. — Καλὸν ἡσυχία. — Ἐπισφαλὲς προπέτεια. — Κέρδος αἰσχρὸν φύσεως κατηγορία. — Δημοκρατία κρεῖττον τυραννίδος. — Αἱ μὲν ἡδοναὶ θνηταί, αἱ δ' ἀρεταὶ ἀθάνατοι. — Εὐτυχῶν μὲν μέτριος ἴσθι, ἀτυχῶν δὲ φρόνιμος. — Φειδόμενον κρεῖττον ἀποθανεῖν ἢ ζῶντα ἐνδεῖσθαι. — Σαυτὸν ἄξιον παρασκεύαζε τῶν γονέων. — Ζῶν μὲν ἐπαινοῦ, ἀποθανὼν δὲ μακαρίζου. — Φίλοις εὐτυχοῦσι καὶ ἀτυχοῦσιν ὁ αὐτὸς ἴσθι. — Ὃ ἂν ἄκων ὁμολογήσῃς πονηρόν, παράβαινε. — Λόγων ἀποῤῥήτων ἐκφορὰν μὴ ποιοῦ. — Λοιδόρει, ὡς ταχὺ φίλος ἐσόμενος. — Τοῖς μὲν νόμοις παλαιοῖς χρῶ, τοῖς δ' ὄψοις προσφάτοις. — Μὴ μόνον τοὺς ἁμαρτάνοντας κόλαζε, ἀλλὰ καὶ τοὺς μέλλοντας κώλυε. — Δυστυχῶν κρύπτε, ἵνα μὴ τοὺς ἐχθροὺς εὐφράνῃς.

orationi persuasionem, silentio decorum, sententiæ æquitatem, audaciæ fortitudinem, actioni potentiam, gloriæ principatum, naturæ nobilitatem.

7. Periander Cypseli filius Corinthius dixit

Studium omnia complectitur. — Bona res quies. — Periculosa temeritas. — Lucrum turpe naturæ accusatio. — Imperium populare præstat tyrannidi. — Voluptates mortales sunt, virtutes immortales. — In rebus secundis modestus, in adversis prudens esto. — Satius est in parsimonia mori, quam in egestate vivere. — Dignum te parentibus præbe.—Da operam ut vivus lauderis, mortuus autem beatus prædiceris. — Amicis et fortunatis et infortunatis idem esto. — Quidquid mali invitus promisisti, silentio transi. — Colloquia secreta ne enuntia. — Ita conviciare, ut brevi amicus futurus. — Legibus antiquis utere, obsoniis recentibus. — Non solum peccantes castiga, sed etiam peccaturos prohibe. — Res adversas cela, ne gaudio afficias inimicos.

(Stobæus Floril. III, 79. Conf. Diog. L. I, 92-93; 58-59; 69-70; 77-78; 37; 87-88; 97-98.)

ΤΩΝ ΑΥΤΩΝ ΕΠΤΑ ΣΟΦΩΝ ΓΝΩΜΑΙ.

ΠΕΡΙΑΝΔΡΟΥ ΤΟΥ ΣΟΦΟΥ.

Πᾶσιν ἄρεσκε. — Καλὸν ἡσυχία. — Ἐπισφαλὲς προπέτεια. — Ἀεὶ αἱ μὲν ἡδοναὶ θνηταί, αἱ δὲ τιμαὶ ἀθάνατοι. — Φίλοις ἀτυχοῦσιν ὁ αὐτὸς ἴσθι. — Κέρδος αἰσχρὸν κάκιστον. — Ὃ ἂν ὁμολογήσῃς, ποίει. — Ἀτυχίαν κρύπτε, ἵνα μὴ τοὺς ἐχθροὺς εὐφράνῃς. — Ἀληθείας (*) ἔχου. — Πρᾶττε δίκαια. — Ὕβριν μίσει. — Ἄρχουσιν εἶκε. — Ἡδονῆς κράτει. — Ὅρκῳ μὴ χρῶ. — Εὐσεβείας (**) ἔχου. — Ἐπαίνει τὰ καλά. — Κακίας ἀπέχου. — Χάριν ἀπόδος. — Ἱκέτας ἐλέει. — Υἱοὺς παίδευε. — Σοφοῖς χρῶ. — Ἔριν μίσει. — Ἀγαθοὺς τίμα. — Ἄκουε τὰ προσήκοντα. — Αἰσχύνην φεῦγε. — Ἀποκρίνου ἐν καιρῷ. — Πρᾶττε ἀμεταμέλητα. — Μηδενὶ φθόνει. — Ὀφθαλμῶν κράτει. — Τὸ δίκαιον μιμοῦ. — Εὐεργέτας τίμα. — Ἐλπίδας νέμε. — Διαβολὴν μίσει. — Εὐπροσήγορος γίνου. — Ἁμαρτὼν μεταβουλεύου. — Χρονίαν (***) φιλίαν φύλαττε. — Πᾶσιν ἀποκρίνου (****). — Ὁμόνοιαν δίωκε. — Τοὺς ἡγεμόνας φοβοῦ. — Μὴ λάλει πρὸς ἡδονήν. — Μὴ πίστευε χρόνῳ. — Σαυτοῦ μὴ ἀμέλει. — Πρεσβύτερον αἰσχύνου. — Θνῆσκε ὑπὲρ πατρίδος. — Μὴ ἐπὶ παντὶ λυποῦ. — Ἐξ εὐγενῶν γέννα. — Ἔλπιζε ὡς θνητός. — Φείδου ὡς ἀθάνατος. — Μὴ ἐπαίρου ἐπὶ δόξῃ. — Μυστήριον κρύπτε. — Εἶκε μεγάλοις. — Καιρὸν πρόσμενε. — Θνητὰ φρόνει. — Δωροδόκει χρησίμως. — Μὴ ἄρχου ἀδικεῖν. — Λύπην φυλάττου. — Ἐπὶ νεκρῷ μὴ γέλα. — Φίλοις χρῶ. — Συμβούλευε ἀναιτίως. — Εὔφραινε φίλους.

ΒΙΑΝΤΟΣ.

Εἰς κάτοπτρον ἐμβλέψας θεώρει, καὶ εἰ μὲν καλὸς φαίνῃ, ἄξια τούτου πρᾶττε, εἰ δὲ αἰσχρός, τὸ τῆς ὄψεως ἐλλιπὲς ὡραΐζε καλοκἀγαθίαις. — Περὶ θεοῦ μὴ λέγε κακῶς, ὅτι δ' ἔστιν ἄκουε. — Ἄκουε πολλά. — Λάλει ὀλίγα. — Νόει καὶ τότε πρᾶττε. — Ἀνάξιον ἄνδρα μὴ ἐπαινῇς διὰ πλοῦτον. — Πείσας λάβε, μὴ βιασάμενος. — Κτῆσαι (*****) ἐν μὲν νεότητι εὐταξίαν, ἐν δὲ γήρᾳ σοφίαν.

ΠΙΤΤΑΚΟΥ.

Ὃ μέλλεις ποιεῖν, μὴ προλέγε· ἀποτυχὼν γὰρ γελασθήσῃ. — Παρακαταθήκην ἀπόδος. — Ἀνέχου ὑπὸ

EORUNDEM SEPTEM SAPIENTUM SENTENTIÆ.

PERIANDRI.

Omnibus placeto. — Bona res quies. — Periculosa temeritas. — Semper voluptates sunt mortales, honores autem immortales. — Amicis adversa fortuna pressis idem esto. — Lucrum turpe res pessima. — Quidquid promiseris, facito. — Infortunium tuum cela, ne voluptate afficias inimicos. — Veritati adhære. — Age quæ justa sunt. — Contumeliam oderis. — Principibus cede. — Voluptatem cohibe. — Noli cum jurejurando affirmare. — Pietatem sectare. — Laudato honesta. — A vitiis abstine. — Gratiam refer. — Miserere supplicum. — Liberos institue. — Sapientum utere consuetudine. — Litem oderis. — Bonos honorato. — Audi quæ decora sunt. — Fuge dedecus. — Responde in tempore. — Fac non pœnitenda. — Ne cui invideas. — Oculis moderare. — Quod justum est imitare. — Homines beneficos honora. — Spes fove. — Criminationem oderis. — Affabilis esto. — Quum erraris, mutato consilium. — Diutinam amicitiam custodi. — Omnibus responde. — Concordiam sectare. — Duces metue. — Ne loquaris ad voluptatem. — Ne tempori credas. — Cave te ipsum negligas. — Seniorem reverere. — Mortem oppete pro patria. — Ne quavis re doleas. — Ex ingenuis liberos procrea. — Spera ut mortalis. — Parce tanquam immortalis. — Ne efferaris gloria. — Arcanum cela. — Cede magnis. — Occasionem exspectato. — Mortalia cogita. — Largire cum utilitate. — Ne prior injuriam facias. — Tristitiam fuge. — Mortuum ne rideto. — Amicis utere. — Inculpatus consilii auctor esto. — Delecta amicos.

BIANTIS.

In speculo te ipsum contemplare, et si formosus apparebis, age quæ formam deceant : sin deformis, quod in facie minus est, id honestarum actionum splendore compensa. — De Deo ne male loquere, esse autem Deum dicenti mihi crede. — Audi multa. — Loquere pauca. — Prius intellige et deinde opus aggredere. — Virum indignum ne lauda propter divitias. — Persuasione cape, non vi. — Compara in adolescentia quidem modestiam, in senectute vero sapientiam.

PITTACI.

Quod facturus es, ne prædicas : nam spe frustratus rideberis. — Depositum redde. — Patere te ab aliis aliquantu-

(*) cod. ἀλήθειαν.
(**) cod. εὐσεβίας.
(***) cod. χρόνου.
(****) legebatur ἀποστρέφου quod mutavi.
(*****) Κτῆσαι scripsi pro codicis lectione στῆσαι.

τῶν πλησίον μικρὰ ἐλαττούμενος. — Τὸν φίλον κακῶς μὴ λέγε, μηδὲ τὸν ἐχθρὸν φίλον ἡγοῦ. — Γυναικὸς ἄρχε. — Ἅπερ αὐτὸς τοῖς γονεῦσι δράσεις, τὰ αὐτὰ προσδέχου παθεῖν καὶ αὐτός. — Ἀργὸς μὴ ἴσθι. — Φίλων κριτὴς μὴ γίνου. — Μὴ ἔριζε γονεῦσι, κἂν δίκαια λέγῃς. — Μὴ ἄρχε, πρὶν ἄρχεσθαι μάθῃς. — Ἀτυχοῦντι μὴ ἐπιγέλα. — Ἡ γλῶττα μὴ προτρεχέτω τοῦ νοῦ. — Μὴ ἐπιθύμει ἀδυνάτων. — Μὴ σπεῦδε λαλῶν. — Νόμοις πείθου. — Γνῶθι σαυτόν. — Μηδὲν ἄγαν. — Πρὸ πάντων σέβου τὸ θεῖον. — Γονέας αἰδοῦ. — Φιλήκοος ἔσο. — Ἡδονῆς κράτει. — Ἔχθραν διάλυε. — Γάμει ἐκ τῶν ὁμοίων· ἢν γὰρ ἐκ τῶν κρεισσόνων γήμῃς, δεσπότας καὶ οὐ συγγενεῖς κτήσῃ.

ΚΛΕΟΒΟΥΛΟΥ.

Μὴ ὑπερήφανος γίνου ποτέ. — Τῆς οἰκίας ἐπιμελοῦ. — Τὰς βίβλους διέρχου. — Τὰ φίλτατα παίδευε. — Τὰ δίκαια κρῖνε. — Τοὺς ἀγαθοὺς ἀγαθὰ ποίει. — Κακολογίας ἀπέχου. — Τὴν ὑπόνοιαν ἄπεχε. — Τοὺς τεκόντας ὑπομονῇ νίκα. — Εὐποιίας ἧς ἔτυχες μνημόνευε. — Τὸν ἐλάττω μὴ ἀποσκυβαλίσῃς. — Ἀλλοτρίων μὴ ἐπιθύμει. — Μὴ ῥιψοκίνδυνος ἔσο. — Ἀγάπα τὰ τοῦ πλησίου σου καὶ τήρει ὡς τὰ σαυτοῦ. — Ὃ σὺ μισεῖς, ἑτέρῳ μὴ ποιήσῃς. — Μὴ ἀπείλει μηδενί· γυναικῶδες γάρ. — Θᾶττον ἐπὶ ταῖς ἀτυχίαις τῶν φίλων ἢ ταῖς εὐτυχίαις πορεύου. — Λίθος χρυσοῦ βάσανος, χρυσὸς δ' ἀνδρῶν. — Εὐχῆς γὰρ οὐδέν ἐστι τιμιώτερον. — Ψευδὴς διαβολὴ (*) τὸν βίον λυμαίνεται. — Ψεῦδος δὲ μισεῖ πᾶς φρόνιμος καὶ σοφός.

ΧΙΛΩΝΟΣ.

Γνῶθι σαυτόν. — Μὴ φθόνει θνητά. — Ἐγκράτειαν ἄσκει. — Αἰσχρὰ φεῦγε. — Χρόνου φείδου. — Δικαίως κτῶ. — Πλήθει ἄρεσκε. — Σοφίᾳ χρῶ. — Ἤθη (**) δοκίμαζε. — Ὑφορῶ μηδέν. — Μίσει διαβολάς. — Μὴ ἦς ἐπαχθής.

ΣΟΛΩΝΟΣ.

Θεὸν σέβου. — Γονεῖς αἰδοῦ. — Φίλοις βοήθει. — Μηδενὶ φθόνει. — Ἀλήθειαν ἀνέχου. — Ὅρκῳ μὴ χρῶ. — Νόμοις πείθου. — Νόει τὸ δίκαιον. — Θυμοῦ κράτει. — Ἀρετὴν ἐπαίνει. — Κακοὺς μίσει.

ΘΑΛΟΥ.

Τὸν κρατοῦντα τίμα. — Δοκίμαζε φίλους. — Ὅμοιος σαυτῷ γίνου. — Ἐπαγγέλλου μηδενί. — Πολίταις μὴ θρασύνου. — Τὸ παρὸν εὖ ποίει. — Κακίας ἀπέχου. — Δόξαν δίωκε. — Ἐπιμελοῦ βίου. — Εἰρήνην ἀγάπα. — Ἐπαινοῦ παρὰ πᾶσι. — Ψίθυρον ἄνδρα ἔκβαλε τῆς (***) οἰκίας.

(Has sententias ex antiquo codice cum Theocrito et aliis scriptoribus Aldus Manutius anno 1495 edidit.)

lum superari. — Amico ne maledicas; inimicum ne putes amicum. — Uxori impera. — Quæ ipse feceris parentibus, eadem a liberis exspecta. — Deses ne esto. — Inter amicos ne sis judex. — Ne contende cum parentibus, etiamsi justa dicas. — Ne impera, priusquam parere didiceris. — Infortunatum ne irrideas. — Lingua ne mentem antevertat. — Cave concupiscas quæ fieri non possunt. — Ne festines loqui. — Legibus pare. — Nosce te ipsum. — Ne quid nimis. — Ante omnia venerare numen. — Parentes reverere. — Libenter audi. — Voluptatem coerce. — Inimicitiam dissolve. — Uxorem duc ex æqualibus : si enim e potentioribus duxeris, dominos, non affines tibi comparabis.

CLEOBULI.

Ne unquam superbias. — Domus curam gere. — Libros perlege. — Liberos tibi carissimos erudi. — Juste judicato. — Bonis benefacito. — A maledictione abstine. — Suspicionem amove. — Parentes patientia vince. — Beneficii accepti memento. — Inferiorem ne rejicias. — Aliena ne concupiscas. — Ne offeras te in discrimen. — Dilige res proximi easque ut tuas serva. — Quod tu odisti, alteri ne facias. — Ne cui mineris : est enim muliebre. — Citius ad infortunatos amicos quam ad fortunatos proficiscere. — Lapis auri index, aurum hominum. — Voto nihil pretiosius. — Falsa criminatio vitam corrumpit. — Mendacium omnis homo prudens et sapiens odit.

CHILONIS.

Nosce te ipsum. — Ne cui invideas mortalia. — Temperantiam exerce. — Turpia fuge. — Tempori parce. — Juste rem facias. — Multitudini place. — Sapientia utere. — Mores explora. — Ne quid suspiceris. — Oderis criminationes. — Ne sis molestus.

SOLONIS.

Deum cole. — Parentes reverere. — Amicis succurre. — Ne cui invideas. — Veritatem sustineto. — Ne jurato. — Legibus pare. — Cogita quod justum est. — Iræ moderare. — Virtutem laudato. — Malos odio persequere.

THALETIS.

Principem honora. — Amicos tenta. — Similis tui sis. — Ne cui quidquam promittito. — Civium favore ne superbias. — Præsentia boni consule. — A vitiis abstine. — Gloriam quære. — Vitæ curam age. — Pacem dilige. — Laude apud omnes afficiaris. — Susurronem ex ædibus ejice.

(*) Cod. καταβολή. Cf. Stob. Flor. XII, 16, ubi eadem sententia Menandro tribuitur.

(**) Ἤθη conjecit Orellius; cod. ἤθει.

(***) Cod. σῆς, quod mutavi in τῆς. Conf. Boissonadii Anecd. I, p. 135 et Stob. Flor. IV p. 296 ed. Meinek.

ΣΩΣΙΑΔΟΥ

ΤΩΝ ΕΠΤΑ ΣΟΦΩΝ ΥΠΟΘΗΚΑΙ.

Ἕπου θεῷ. — Νόμῳ πείθου. — Θεοὺς σέβου. — Γονεῖς αἰδοῦ. — Ἡττῶ ὑπὲρ δικαίου. — Γνῶθι μαθών. — Ἀκούσας νόει. — Σαυτὸν ἴσθι. — Γαμεῖν μέλλων καιρὸν γνῶθι. — Φρόνει θνητά. — Ξένος ὢν ἴσθι. — Ἑστίαν τίμα. — Ἄρχε σαυτοῦ. — Φίλοις βοήθει. — Θυμοῦ κράτει. — Φρόνησιν ἄσκει. — Πρόνοιαν τίμα. — Ὅρκῳ μὴ χρῶ. — Φιλίαν ἀγάπα. — Παιδείας ἀντέχου. — Δόξαν δίωκε. — Σοφίαν ζήλου. — Καλὸν εὖ λέγε. — Ψέγε μηδένα. — Ἐπαίνει ἀρετήν. — Πρᾶττε δίκαια. — Φίλοις εὐνόει. — Ἐχθροὺς ἀμύνου. — Εὐγένειαν ἄσκει. — Κακίας ἀπέχου. — Κοινὸς γίνου. — Ἴδια φύλασσε. — Ἀλλοτρίων ἀπέχου. — Εὔφημος ἴσθι. — Ἄκουε πάντα. — Φίλῳ χαρίζου. — Μηδὲν ἄγαν. — Χρόνου φείδου. — Ὅρα τὸ μέλλον. — Ὕβριν μίσει. — Ἱκέτας αἰδοῦ. — Πᾶσιν ἅρμοζε (*). — Υἱοὺς παίδευε. — Ἔχων χαρίζου. — Δόλον φοβοῦ. — Εὐλόγει πάντας. — Φιλόσοφος γίνου. — Ὅσια κρῖνε. — Γνοὺς πρᾶττε. — Φόνου ἀπέχου. — Εὔχου δυνατά. — Σοφοῖς χρῶ. — Ἦθος δοκίμαζε. — Λαβὼν ἀπόδος. — Ὑφορῶ μηδένα. — Τέχνῃ χρῶ. — Ὃ μέλλεις, δός. — Εὐεργεσίας τίμα. — Φθόνει μηδενί. — Φυλακῇ πρόσεχε. — Ἐλπίδα αἴνει. — Διαβολὴν μίσει. — Δικαίως κτῶ. — Ἀγαθοὺς τίμα. — Κριτὴν γνῶθι. — Γάμους κράτει. — Τύχην νόμιζε. — Ἐγγύην φεῦγε. — Πᾶσι διαλέγου. — Ὁμοίοις χρῶ. — Δαπανῶν ἄρχου. — Κτώμενος ἥδου. — Αἰσχύνην σέβου. — Χάριν ἐκτέλει. — Εὐτυχίαν εὔχου. — Τύχην στέργε. — Ἀκούων ὅρα. — Ἐργάζου κτητά. — Ἔριν μίσει. — Ὄνειδος ἔχθαιρε. — Γλῶσσαν ἴσχε. — Ὕβριν ἀμύνου. — Κρῖνε δίκαια. — Χρῶ χρήμασιν. — Ἀδωροδόκητος δοκίμαζε. — Αἰτιῶ παρόντα. — Λέγε εἰδώς. — Βίας μὴ ἔχου. — Ἀλύπως βίου. — Ὁμίλει πρᾴως. — Πέρας ἐπιτέλει μὴ ἀποδειλιῶν. — Φιλοφρόνει πᾶσιν. — Υἱοῖς μὴ καταρῶ. — Γλώττης ἄρχε. — Σαυτὸν εὖ ποίει. — Εὐπροσήγορος γίνου. — Ἀποκρίνου ἐν καιρῷ. — Πόνει μετὰ δικαίου. — Πρᾶττε ἀμετανοήτως. — Ἁμαρτάνων μετανόει. — Ὀφθαλμοῦ κράτει. — Βουλεύου χρόνῳ. — Ἐπιτέλει συντόμως. — Φιλίαν φύλασσε. — Εὐγνώμων γίνου. — Ὁμόνοιαν δίωκε. — Ἄῤῥητον μὴ λέγε. — Τὸ κρατοῦν φοβοῦ. — Τὸ συμφέρον θηρῶ. — Καιρὸν προσδέχου. — Ἔχθρας διάλυε. — Γῆρας προσδέχου. — Ἐπὶ ῥώμῃ μὴ καυχῶ. — Εὐφημίαν ἄσκει. — Ἀπέχθειαν φεῦγε. — Πλούτει δικαίως. — Δόξαν μὴ λεῖπε. — Κακίαν μίσει. — Μανθάνων μὴ κάμνε. — Κινδύνευε φρονίμως. — Ἡδόμενος μὴ λεῖπε. — Χρησμοὺς θαύμαζε. — Οὓς

SOSIADÆ

SEPTEM SAPIENTUM PRÆCEPTA.

Deum sequere. — Legibus obtempera. — Deos cole. — Parentes reverere. — Pro jure pugnans etiam succumbe. — Cognitam rem judica. — Audita intellige. — Nosce te ipsum. — Uxorem ducturus temporis opportunitatem specta. — Mortalia cogites. — Hospitem te esse scito. — Focum sacrosanctum habe. — Rege te ipsum. — Succurre amicis. — Iræ moderare. — Intelligentiam exerce. — Prudentiam cole. — Jurejurando abstine. — Amicitiam dilige. — Ad doctrinæ studia incumbe. — Gloriam quære. — Sapientiæ operam da. — De bono bene loquere. — Neminem vitupera. — Lauda virtutem. — Age quæ justa sunt. — Amicis benevolus esto. — Inimicos ulciscere. — Ingenuitatem exerce. — A vitiis abstine. — Communis esto. — Propria custodi. — Alienis abstine. — Fave linguâ. — Audi omnia. — Amico gratificare. — Ne quid nimis. — Parce tempori. — Prospice futurum. — Contumeliam oderis. — Supplices reverere. — Omnibus commodus esto. — Filios erudi. — Si quid habes, aliis gratificare. — Dolum metue. — Lauda omnes. — Sapientiæ studiosus esto. — Ex æquo et bono judica. — Rem cognitam aggredere. — A cæde abstine. — Opta quæ fieri possunt. — Sapientum utere consuetudine. — Mores explora. — Accepta redde. — Ne quem suspecta. — Arte utaris. — Quod daturus es, dato. — Beneficia honorato. — Nemini invideas. — Ad cautionem animum intende. — Spem approbato. — Criminationem oderis. — Juste rem facias. — Bonos honora. — Judicem nosce. — Uxori impera. — Fortunam esse crede. — Sponsionem fuge. — Cum omnibus loquere. — Tui similibus hominibus familiariter utere. — Sumtus fac omnium primus. — Acquisitis gaude. — Verecundiam cole. — Gratiam refer. — Secundam fortunam opta. — Sorte tua contentus esto. — Et audi et vide. — Opere faciendo divitias para. — Contentionem oderis. — Opprobrium detestare. — Linguam contine. — Injuriam repelle. — Juste judicato. — Utere pecunia. — Incorruptus sis rerum inquisitor. — Præsentem accusa. — Dic quæ nosti. — Ne vim adhibeas. — Jucunde vivas. — Placide cum aliis conversare. — Finem cœptis intrepidus impone. — Comis erga omnes esto. — Ne exsecrare filios tuos. — Linguam cohibe. — Benefacito tibi ipsi. — Affabilis esto. — Responde in tempore. — Juste opus nava. — Fac non pœnitenda. — Peccans resipisce. — Oculis moderare. — Delibera lente. — Perfice e vestigio. — Amicitiam serva. — Sis æquus rerum æstimator. — Expete concordiam. — Arcanum ne dic. — Magistratum metue. — Venare id quod utile est. — Occasionem exspecta. — Inimicitias dissolve. — Senectutem exspecta. — De viribus ne glorieris. — Dic bona verba. — Simultatem fuge. — Juste ditescas. — Gloriam quærere ne desistas. — Improbitatem oderis. — Discendo ne defatigeris. — Periclitare prudenter. — Lætari ne cessa. — Oracula admirare. — Quos alis, dilige. —

(*) Pro πείνων vel πεινῶν vel πένης ὢν ἅρμοζε, quod in membranis est, scripsi πᾶσιν ἅρμοζε.

τρέφεις, ἀγάπα. — Ἀπόντι μὴ μάχου. — Πρεσβύτερον αἰδοῦ. — Νεώτερον δίδασκε. — Πλούτῳ ἀπίστει. — Σαυτὸν αἰδοῦ. — Μὴ ἄρχε ὑβρίζειν. — Προγόνους στεφάνου. — Θνῆσκε ὑπὲρ πατρίδος. — Τῷ βίῳ μὴ μάχου. — Ἐπὶ νεκρῷ μὴ γέλα. — Ἀτυχοῦντι συνάχθου. — Χαρίζου ἀβλαβῶς. — Μὴ ἐπὶ παντὶ λυποῦ. — Ἐξ εὐγενῶν γέννα. — Ἐπαγγέλλου μηδενί. — Φθιμένους μὴ ἀδίκει. — Εὖ πάσχε ὡς θνητός. — Τύχῃ μὴ πίστευε. — Παῖς ὢν κόσμιος ἴσθι, ἡβῶν ἐγκρατής, μέσος δίκαιος, πρεσβύτερος εὔλογος. — Τελεύτα ἀλύπως. — Πλήθει ἄρεσκε. — Μὴ λάλει πρὸς ἡδονήν. — Ὁμολογίαις ἔμμενε. — Θυσίας πρόσφερε κατὰ δύναμιν. — Σαυτῷ μὴ μάχου. — Μὴ ἐπὶ παντὶ λυποῦ. — Τῷ βίῳ μὴ ἄχθου. — Μὴ φιλαίτιος ἴσθι. — Ἐπαγγέλλου μηδενὶ τὸ παράπαν. — Χρόνου φείδου. — Ἐνδαπανώμενος καὶ ἐφ' ἃ μὴ δεῖ, ὀλίγος ἔσῃ ἐφ' ἃ δεῖ.

(Stobæus Florileg. III, 80.

Absentem ne impugna. — Majorem natu reverere. — Minorem doce. — Divitiis diffide. — Reverere te ipsum. — Ne prior injuriosus sis. — Majores honora. — Oppete pro patria mortem. — Noli vitam in discrimen offerre. — Mortuum ne irrideto. — Infortunati vicem dole. — Gratificare citra jacturam. — Ne quavis re doleas. — Ex ingenuis liberos procrea. — Ne cui quidquam promittas. — Mortuos ne lædas. — Fruere bonis ut mortalis. — Fortunæ ne fide. — Puer modestus sis, adolescens temperans, vir justus, senex prudens. — Morere sine animi ægritudine. — Multitudini placeto. — Ne loquaris ad voluptatem. — In pactis mane. — Sacrificia pro viribus fac. — Noli tecum ipse pugnare. — Ne quavis re doleas. — Ne tibi molesta sit vita. — Ne sis querulus. — Prorsus nemini quidquam promittas. — Tempori parce. — Sumtus faciens in res etiam minime necessarias parum valebis ad res necessarias comparandas.

ΑΛΛΑ ΤΩΝ ΑΥΤΩΝ ΑΠΟΦΘΕΓΜΑΤΑ
ΕΚ ΔΙΑΦΟΡΩΝ ΣΥΓΓΡΑΦΕΩΝ ΣΥΝΕΙΛΕΓΜΕΝΑ.

α'. ΚΛΕΟΒΟΥΛΟΥ.

1. Ἀμουσί' ἐν βροτοῖσι τὸ πλέον μέρος
λόγων τε πλῆθος· ἂν δ' ὁ καιρὸς ἀρκέσῃ,
φρόνει τι κεδνόν· μὴ μάταιος ἡ χάρις
γινέσθω.

(Diogenes Laertius lib. I, 91.)

2. Ἔφη δὲ δεῖν συνοικίζειν τὰς θυγατέρας, παρθένους μὲν τὴν ἡλικίαν, τὸ δὲ φρονεῖν γυναῖκας· ὑποδεικνὺς ὅτι δεῖ παιδεύειν καὶ τὰς παρθένους.

(Diogenes Laertius lib. I, 91; cf. Stob. Flor. LXX, 16.)

3. Ἔλεγε δὲ τὸν φίλον δεῖν εὐεργετεῖν, ὅπως ᾖ μᾶλλον φίλος· τὸν δὲ ἐχθρὸν φίλον ποιεῖν· φυλάσσεσθαι γὰρ τῶν μὲν φίλων τὸν ψόγον, τῶν δὲ ἐχθρῶν τὴν ἐπιβουλήν.

(Diogenes Laertius lib. I, 91.)

4. Ὅταν τις ἐξίῃ τῆς οἰκίας, ζητείτω πρότερον, τί μέλλει πράσσειν· καὶ ὅταν εἰσέλθῃ, πάλιν, τί ἔπραξε.

(Diogenes Laertius lib. I, 92.)

5. Τὰς τῆς τύχης μεταβολὰς γενναίως πειρῶ φέρειν, καὶ μήτε εὐτυχῶν ὑπερήφανος ἔσο, μήτε ἀπορῶν ταπεινός· ἀλλὰ γίνου μέτριος ἐφ' ἑκατέρας τῆς τύχης.

(Stobæus Florileg. CVIII, 75 addito Theobuli nomine ut XLVIII, 23.)

6. Τοῖς σοφοῖς τὸ μέτριον ὁ νόμος δέδωκε.

7. Φεῦγε μὲν τὸν φθόνον τῶν πολλῶν, φυλάσσου δὲ τὰς ἐπιβουλὰς τῶν μισούντων.

(Stob. Flor. XLVIII, 23.)

8. Δοκεῖ μάλιστ' ἂν ἔνδοξος γενέσθαι καὶ βασιλεὺς καὶ τύραννος, εἰ μηδενὶ πιστεύοι τῶν συνόντων.

(Plutarchus VII sapient. Conviv. cap. 7 pag. 17.)

9. Ὥσπερ οὐκ ἂν ἐβούλου ἐν νηὶ μακρᾷ καὶ πολυχρύσῳ πλέων βαπτίζεσθαι, οὕτω μηδὲ ἐν οἰκίᾳ αἴρου ὑπερμεγέθει καὶ πολυτελεῖ καθήμενος χειμάζεσθαι.

(Anthol. Patav.)

10. Εἷς ὁ πατήρ, παῖδες δὲ δυώδεκα· τῶν δέ θ' ἑκάστῳ
κοῦραι ἑξήκοντα, διάνδιχα εἶδος ἔχουσαι.
Αἱ μὲν λευκαὶ ἔασιν ἰδεῖν, αἱ δ' αὖτε μέλαιναι·
ἀθάναται δέ τ' ἐοῦσαι ἀποφθινύθουσιν ἅπασαι.

(Stobæus Eclog. lib. I cap. 8, 37 pag. 87 ed. Gaisf. Conf. Anthol. Pal. XIV. 101 et Diog. Laert. lib. I, 91.)

β'. ΣΟΛΩΝΟΣ.

1. Τέλος ὁρᾶν μακροῦ βίου.

(Herodot. lib. I cap. 32.)

2. Οὖρος τοῦ ἀνθρωπίνου βίου ἔτεα ἑβδομήκοντα.

(Idem l. c.)

3. Πᾶν ἐστι ἄνθρωπος συμφορή.

(Idem l. c.)

4. Οὐ γάρ τοι ὁ μέγα πλούσιος μᾶλλον τοῦ ἐπ' ἡμέ-

---

1. CLEOBULI.

1. Imperitia in hominibus majori ex parte dominatur verborumque multitudo. Quodsi oblata fuerit occasio, ad aliquid honesti animum intendito; ne irrita et inanis sit gratia.

2. Cleobulus ait filias viris nuptum locandas esse ætate quidem virgines, intelligentia vero mulieres, docens virgines quoque institui oportere.

3. Dicebat porro beneficiis afficiendum esse amicum, ut amicior foret, et ex inimico faciendum amicum : esse enim et ab amicorum vituperatione et ab inimicorum insidiis cavendum.

4. Antequam domo quis exeat, quid acturus sit cogitet : rursus quum redux intrarit, quid egerit.

5. Fortunæ mutationes fortiter sustinere tenta, ita ut neque prosperis rebus superbias, neque adversis ad paupertatem redactus animum despondeas, sed in utraque fortuna moderatus sis.

6. Leges sapientibus modum imponunt.

7. Declina invidiam vulgi et insidias odio te persequentium cave.

8. Videtur ita maxime gloriam consecuturus sive rex sive tyrannus, si familiarium nemini fidat.

9. Quemadmodum in navi magna et aurata vectus mergi nolles, sic caveto ne in domo ampla ac splendida sedens fortunæ fluctibus jacteris.

10. Unus est pater, duodecim autem filii, quorum singulis sexaginta filiæ sunt, duplicem formam habentes. Quippe aliæ albo colore sunt, aliæ nigro : quamvis vero immortales sint, omnes tamen moriuntur.

2. SOLONIS.

1. Exitium vitæ diuturnæ specta.

2. Terminus humanæ vitæ anni septuaginta.

3. Mera calamitas homo est.

4. Neque enim beatior est magnis opibus præditus eo,

ρην ἔχοντος ὀλβιώτερός ἐστι, εἰ μή οἱ τύχη ἐπίσποιτο πάντα καλὰ ἔχοντα τελευτῆσαι εὖ τὸν βίον.

(Idem ibid.)

5. Σκοπέειν χρὴ παντὸς χρήματος τὴν τελευτήν, κῆ ἀποβήσεται.

(Idem ibid.)

6. Πολλοῖσι καὶ δὴ ὑποδέξας ὄλβον ὁ θεὸς προῤῥίζους ἀνέτρεψε.

(Idem ibid.)

7. Ὁ μὲν λόγος εἴδωλον τῶν ἔργων, βασιλεὺς δὲ ἰσχυρότατος τῇ δυνάμει.

(Diogenes Laert. lib. I, 58.)

8. Τὸ ἴσον πόλεμον οὐ ποιεῖ.

9. Ὁ μὲν κόρος ὑπὸ τοῦ πλούτου γεννᾶται, ὕβρις δὲ ὑπὸ τοῦ κόρου.

(Diogenes Laertius lib. I, 59.)

10. Ἐκείνη ἡ πόλις ἄριστα οἰκεῖται, ἐν ᾗ τοὺς ἀγαθοὺς ἄνδρας συμβαίνει τιμᾶσθαι, καὶ τὸ ἐναντίον, ἐν ᾗ τοὺς κακοὺς ἀμύνεσθαι.

(Stobæus Flor. XLIII, 76.)

11. Καλὸν μέν ἐστιν ἡ τυραννὶς χωρίον, οὐκ ἔχει δὲ ἀπόβασιν.

(Plutarchus Vit. Solon. cap. 14 p. 214.)

12. Ἔργμασιν ἐν μεγάλοις πᾶσιν ἁδεῖν χαλεπόν.

(Plutarchus Vit. Solon. cap. 25 p. 231.)

13. Οἱ νόμοι τοῖς ἀραχνίοις ὅμοιοι· καὶ γὰρ ἐκεῖνα, ἐὰν μὲν ἐμπέσῃ τι κοῦφον καὶ ἀσθενές, στέγει, ἐὰν δὲ μεῖζον, διακόψαν οἴχεται.

(Diogenes Laertius lib. I, 58.)

14. Τὸ θεῖον καὶ οἱ νομοθέται οὐ καθ' ἑαυτὰ δύνανται ὀνῆσαι τὰς πόλεις· οἱ δὲ ἀεὶ τὸ πλῆθος ἄγοντες, ὅπως ἂν γνώμης ἔχωσιν· οὕτω δὲ καὶ τὸ θεῖον καὶ οἱ νόμοι εὖ μὲν ἀγόντων εἰσὶν ὠφέλιμοι, κακῶς δὲ ἀγόντων οὐδὲν ὠφελοῦσιν.

(Diogenes Laertius lib. I, 64.)

15. Οἱ παρὰ τοῖς τυράννοις δυνάμενοι παραπλήσιοί εἰσι ταῖς ψήφοις ταῖς ἐπὶ τῶν λογισμῶν· καὶ γὰρ ἐκείνων ἑκάστη ποτὲ μὲν πλείω σημαίνει, ποτὲ δὲ ἥττω· καὶ τούτων οἱ τύραννοι ποτὲ μὲν ἕκαστον μέγαν ἄγουσι καὶ λαμπρόν, ποτὲ δὲ ἄτιμον.

(Diogenes Laertius lib. I, 59.)

16. Πεφυλαγμένος ἄνδρα ἕκαστον ὅρα,
μὴ κρυπτὸν ἔγχος ἔχων κραδίῃ, φαιδρῷ προσεννέπῃ προσώπῳ,
γλῶσσα δέ οἱ διχόμυθος ἐκ μελαίνης φρενὸς γεγώνῃ.

(Diogenes Laertius lib. I, 61.)

17. Γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος.

(Plato in Amatoribus p. 133 C; Plutarchus Vit. Solon. cap. 31; Schol. Soph. Ant. 711 et alii multi.)

18. Τοσούτῳ διαφέρει ἡ φρόνησις τῶν ἀρετῶν, ὅσῳ ὅρασις τῶν ἄλλων αἰσθήσεων.

(Anton. Meliss. Serm. περὶ σοφίας.)

19. Ὁ πολλοῖς φοβερὸς ὢν πολλοὺς φοβείσθω.

(Anton. Meliss. Serm. περὶ βασιλέως.)

20. Ὅσον ἐν πολέμῳ δύναται σίδηρος, τοσοῦτον ἐν πολιτείᾳ λόγος εὖ ἔχων ἰσχύει.

(Stob. Flor. LXXXI, 12.)

21. Τὸ γῆρας ὅρμος ἐστὶ τῶν κακῶν, εἰς αὐτὸ γοῦν πάντα καταφεύγει.

---

qui victum quotidianum habet, nisi eidem fortuna comes ita contigerit, ut in bonorum omnium copia vitam finiat.

5. Considerandum est, qualis cujusque rei exitus futurus sit.

6. Multos jam deus quibus felicitatem ostenderat funditus evertit.

7. Sermo simulacrum quidem factorum est, sed tamen rex viribus præstantissimus.

8. Æqualitas bellum non facit.

9. Satietas ex divitiis nascitur, ex satietate autem contumelia.

10. Illa civitas optime administratur, in qua ut bonis viris honor contingit, sic contra improbis pœna irrogatur.

11. Tyrannis pulcher quidem locus est, sed exitum non habet.

12. In magnis rebus placere omnibus difficile est.

13. Leges similes sunt aranearum telis, quæ leve et imbecillum quod incidit involvunt et contegunt, si quid vero majus illabitur, fit ut ruptis telis evadat.

14. Numen divinum et legumlatores juvare per se civitates non possunt, sed qui multitudinem ad quamcunque volunt sententiam deducunt : sic deus quoque et leges juvant, si ductores boni sunt, sin mali, nihil prosunt.

15. Qui apud tyrannos auctoritate valent similes sunt rationum calculis. Ut enim horum quilibet nunc plus significat, nunc minus : ita tyranni quemvis illorum modo magnum reddunt et splendidum, modo abjectum et contemtum esse volunt.

16. Cavens ab unoquoque homine vide, ne quis occultum telum habens in animo, hilari te compellet vultu linguaque ambiguam sententiam nigræ mentis pronuntiet.

17. Senesco multa semper addiscens.

18. Quantum visus reliquis sensibus, tantum prudentia cæteris virtutibus præstat.

19. Qui multis terribilis est, multos metuat.

20. Quantum ferrum potest in bello, tantum bona valet oratio in civitate.

21. Senectus malorum portus est, in quem cuncta confugiunt.

(Anton. Meliss. Serm. περὶ γερόντων.)

22. Ἐκ χρυσοῦ ποτηρίου πίνειν φάρμακον καὶ παρὰ φίλου εὐγνώμονος συμβουλίαν λαμβάνειν ταυτόν ἐστιν.

(Anton. Meliss. Serm. περὶ φίλων καὶ φιλίας.)

23. Ὁ κατὰ θεὸν φίλος ῥέει μέλι καὶ γάλα τοῖς ἀληθέσι λόγοις.

(Anton. Meliss. Serm. περὶ φίλων καὶ φιλίας.)

24. Εἰς ἀρχὴν κατασταθεὶς μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις· ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτῃ, σοὶ τὰς αἰτίας τῷ ἄρχοντι ἐπιθήσουσι.

(Anton. Meliss. Serm. περὶ ἀρχῆς καὶ ἐξουσίας. Cf. Isocrat. Orat. ad Demonic. p. 10 ed. Steph.)

25. Γαμβροῦ ὁ μὲν ἐπιτυχὼν εὗρεν υἱόν, ὁ δὲ ἀποτυχὼν ἀπώλεσε καὶ θυγατέρα.

(Anton. et Maxim. Serm. περὶ εὐτυχίας καὶ δυστυχίας.)

26. Υἱῷ καὶ θυγατρὶ μὴ προσμειδιάσεις, ἵνα μὴ ὕστερον δακρύσῃς.

(Anton. Meliss. Serm. περὶ γονέων χρηστῶν.)

27. Σπάνιον εἴσαγε τὸν πόδα πρὸς τὸν φίλον, ἵνα μὴ σοῦ πλησθεὶς μισήσῃ σε.

(Anton. Meliss. Serm. περὶ φίλων καὶ φιλίας (*).)

28. Μηδέποτε ὀρεχθῇς κτήσασθαι φίλον τὸν μήτε ψυχὴν μήτε σῶμα εὖ ποιῆσαι δυνάμενον.

(*) Scripsi τὸν πόδα vulg. pro σὸν πόδα.

(Anton. Meliss. Serm. περὶ φίλων καὶ φιλίας.)

29. Ἐρωτηθεὶς ὑπὸ τοῦ Κροίσου, τίς σοι δοκεῖ εὐδαίμων; Τέλλος, ἔφη, Ἀθηναῖος καὶ Κλέοβις καὶ Βίτων, καὶ τὰ θρυλλούμενα.

(Diogenes Laertius lib. I, 50.)

30. Φασὶ δέ τινες, ὅτι κοσμήσας ἑαυτὸν ὁ Κροῖσος παντοδαπῶς καὶ καθίσας εἰς τὸν θρόνον ἤρετο αὐτόν, εἴ τι θέαμα κάλλιον τεθέαται· ὁ δέ, ἀλεκτρυόνας, εἶπε, φασιανοὺς καὶ ταώς· φυσικῷ γὰρ ἄνθει κεκόσμηνται καὶ μυρίῳ καλλίονι.

(Diogenes Laertius lib. I, 51.)

31. Ἐρωτηθείς, διὰ τί κατὰ πατροκτόνου νόμον οὐκ ἔθηκε, διὰ τὸ ἀπελπίσαι, ἔφη.

(Diogenes Laertius lib. I, 59.)

32. (Ἐρωτηθεὶς) πῶς ἂν ἥκιστα ἀδικοῖεν οἱ ἄνθρωποι, εἰ ὁμοίως, ἔφη, ἄχθοιντο τοῖς ἀδικουμένοις οἱ μὴ ἀδικούμενοι.

(Diogenes Laertius lib. I, 51.)

33. Δακρύων τὸν παῖδα τελευτήσαντα, πρὸς τὸν εἰπόντα· ἀλλ' οὐδὲν ἀνύτεις, εἶπε, δι' αὐτὸ τοῦτο δακρύω, ὅτι οὐδὲν ἀνύτω.

(Diogenes Laertius lib. I, 63.)

34. Ἐρωτηθεὶς πῶς ἂν ἄριστα αἱ πόλεις οἰκοῖντο, εἶπεν, ἐὰν μὲν οἱ πολῖται τοῖς ἄρχουσι πείθωνται, οἱ δὲ ἄρχοντες τοῖς νόμοις.

(Plutarchus Conviv. VII Sapient.)

35. Ἐρωτηθεὶς ὑπὸ Περιάνδρου παρὰ πότον, ἐπεὶ σιωπῶν ἐτύγχανε, πότερα διὰ λόγων σπάνιν ἢ διὰ μωρίαν σιωπᾷ, « ἀλλ' οὐδεὶς ἂν » εἶπε « μωρὸς ἐν συμποσίῳ σιωπᾶν δύναιτο. »

(Stobæus Flor. XXXIV. 15.)

---

22. Accipere consilium a benevolo amico datum idem est ac si salutare remedium ex aureo poculo bibas.

23. Amicus divinitus nobis adjunctus mel et lac veris sermonibus effundit.

24. Magistratum adeptus noli in negotiis obeundis ullius improbi ministerio uti; nam quidquid ille deliquerit, id tibi rerum moderatori imputabitur.

25. Generum nactus bonum repperit filium, malum autem nactus perdidit et filiam.

26. Liberis arridere noli, ne in posterum fleas.

27. Raro amici ædes ingredere, ne fastidio quodam et satietate abs te abalienetur.

28. Ne cupias tibi unquam comparare amicum, qui neque animum tuum neque corpus juvare possit.

29. Interrogatus a Crœso, Quis tibi videtur beatus? Tellus, inquit, Atheniensis et Cleobis et Bito, et cetera adjecit quæ vulgo narrantur.

30. Ajunt quidam, Crœsum, quum se omni decore exornasset atque in solio consedisset, interrogasse Solonem, num pulchrius unquam spectaculum vidisset, illumque dixisse: Gallos gallinaceos, phasianos et pavones, qui naturali multoque majore nitore essent ornati.

31. Interrogatus cur nullam tulisset legem in eum qui parentem necasset, respondit, quia hoc scelus ab hominibus admitti non posse crederet.

32. Interrogatus quo pacto homines minime jus violarent: Si læsi, inquit, non minus ægre injurias quam non læsi ferunt.

33. Quum quidam diceret, illo filii mortem lacrimis prosequente, At nihil proficis: At propter hoc ipsum, inquit ille, lacrimo, quod nihil proficio.

34. Interrogatus, quomodo reipublicæ status optimus esse posset: Si, inquit, cives magistratibus obediant et magistratus legibus.

35. Solon inter bibendum tacitus interroganti Periandro, taceretne idcirco quia verba ipsi deessent, an quia prodere nollet stultitiam: Atqui nemo, inquit, stultus tacere in convivio potest.

36. Παρὰ πότον τοῦ ἀδελφιδοῦ αὐτοῦ μέλος τι Σαπφοῦς ᾄσαντος, ἥσθη τῷ μέλει καὶ προσέταξε τῷ μειρακίῳ διδάξαι αὐτόν· ἐρωτήσαντος δέ τινος, διὰ ποίαν αἰτίαν τοῦτο ἐσπούδακεν, ὁ δὲ ἔφη· ἵνα μαθὼν αὐτὸ ἀποθάνω.

(Stobæus Flor. XXIX, 58.)

37. Ἐρωτηθείς, εἰ τοὺς ἀρίστους Ἀθηναίοις νόμους ἔγραψεν, ὧν ἄν, ἔφη, προσεδέξαντο τοὺς ἀρίστους.

(Plutarchus Vit. Solon. p. 86.)

38. Τῆς Πεισιστράτου δημαγωγίας, ὅτι τυραννίδος ἦν μηχάνημα, φανερᾶς γενομένης, μηδενὸς ἀμύνεσθαι μηδὲ κωλύειν τολμῶντος, ὁ Σόλων ἐξενεγκάμενος τὰ ὅπλα καὶ πρὸ τῆς οἰκίας θέμενος, ἠξίου βοηθεῖν τοὺς πολίτας· πέμψαντος δὲ Πεισιστράτου πρὸς αὐτὸν καὶ πυνθανομένου, τίνι πεποιθὼς ταῦτα πράττει· τῷ γήρᾳ, εἶπεν.

(Plutarchus lib. An seni gerenda sit respublica cap. 21.)

39. Προσπτύσαντος αὐτῷ τινος, ἠνέσχετο, μεμψαμένου δὲ αὐτῷ ἑτέρου ἐπὶ τούτῳ, εἶτα οἱ μὲν ἁλιεῖς, εἶπεν, ὑπομένουσι ῥαίνεσθαι τῇ θαλάσσῃ, ἵνα κωβιὸν θηράσωσιν· ἐγὼ δ' οὐκ ἀνάσχωμαι τὸ αὐτὸ παθεῖν, ἵνα ἄνθρωπον ἁλιεύσω;

(Anton. Meliss. Serm. περὶ φίλων καὶ φιλίας.)

ΝΟΜΟΙ ΤΙΝΕΣ.

40. Ἐάν τις μὴ τρέφῃ τοὺς γονέας, ἄτιμος ἔστω· ἀλλὰ καὶ ὁ τὰ πατρῷα κατεδηδοκὼς ὁμοίως.

(Diogenes Laertius lib. I, 55.)

41. Υἱῷ τρέφειν τὸν πατέρα μὴ διδαξάμενον τέχνην ἐπάναγκες μὴ εἶναι.

(Plutarchus Vit. Solon. cap. 22 p. 226.)

42. Ὁ ἀργὸς ὑπεύθυνος ἔστω παντὶ τῷ βουλομένῳ γράφεσθαι.

(Diogenes Laertius lib. I, 55.)

43. Ὁ ἡταιρηκὼς τοῦ βήματος εἰργέσθω.

(Diogenes Laertius lib. I, 55.)

44. Ὁ ἐπίτροπος τῇ τῶν ὀρφανῶν μητρὶ μὴ συνοικείτω.

(Diogenes Laertius lib. I, 56.)

45. Εἰς ὃν ἡ οὐσία ἔρχεται τῶν ὀρφανῶν τελευτησάντων, μὴ ἐπιτροπευέτω.

(Diogenes Laertius lib. I, 56.)

46. Δακτυλιογλύφῳ μὴ ἐξέστω σφραγῖδα φυλάττειν τὴν τοῦ πραθέντος δακτυλίου.

(Diogenes Laertius lib. I, 57.)

47. Ἐὰν ἕνα ὀφθαλμὸν ἔχοντος ἐκκόψῃ τις, ἀντεκκόπτειν τοὺς δύο.

(Diogenes Laertius lib. I, 57.)

48. Ἃ μὴ ἔθου, μὴ ἀνέλῃ· εἰ δὲ μή, θάνατος ἡ ζημία.

(Diogenes Laertius lib. I, 57.)

49. Τῷ ἄρχοντι, ἂν μεθύων ληφθῇ, θάνατος ἡ ζημία ἔστω.

(Diogenes Laertius lib. I, 57.)

50. Ὁ ἐν στάσει μηδετέρας μερίδος γενόμενος ἄτιμος ἔστω.

(Plutarchus Vit. Solon. cap. 20 p. 223.)

51. Μοιχὸν ἀνελεῖν τῷ λαβόντι θέμις ἔστω· ἐὰν δ' ἁρπάσῃ τις ἐλευθέραν γυναῖκα καὶ βιάσηται, ζημία ἔστω ἑκατὸν δραχμαί· κἂν προαγωγεύῃ, δραχμαὶ εἴκοσι.

---

36. Quum cecinisset inter bibendum fratris filius carmen Sapphicum, valde eo delectatus postulavit ab adolescente, ut illud se doceret. Quum autem quidam interrogaret, quam ob causam id desideraret, ut prius, inquit ille, ediscam, deinde moriar.

37. Interrogatus, num optimas Atheniensibus leges scripsisset, Optimas, inquit, quas accipere poterant.

38. Quum appareret Pisistrati popularitatem tyrannidis esse affectationem, nemine nec resistere nec impedire audente, Solon armis suis elatis et ante domum collocatis auxilium a civibus petiit. Quumque Pisistratus misso nuntio ab eo quæreret, qua re fretus ista faceret : ille, Senectute, inquit.

39. Quum consputatus a quodam æquo animo ferret contumeliam, atque eo nomine ab alio quodam reprehenderetur, Piscatores, inquit, patiuntur se conspergi aqua marina, ut gobium capiant, cur hoc idem ego non feram, ut hominem mihi conciliem?

LEGES QUÆDAM.

40. Qui parentes non alit, infamis esto, similiter et qui patrimonium conviviis dissipaverit.

41. Filium ad patrem alendum qui nullam ipsum artem docuerit, nulla necessitate cogi.

42. Deses omnibus accusare volentibus rationi reddendæ obnoxius esto.

43. Muliebria passus a suggestu arcetor.

44. Tutor cum pupillorum matre ne habitato.

45. Ad quem facultates pupillorum morte perveniunt, is tutor ne esto.

46. Annulario ne liceat venditi annuli signum servare.

47. Qui lusci unum oculum effoderit, ei eruantur ambo.

48. Quæ non posuisti, ne tollas; si quis secus faxit, capitali pœna afficitor.

49. Princeps si ebrius fuerit deprehensus, morte multator.

50. Qui in seditione neutri parti se adjunxerit, ignominià notator.

51. Mœchum interficere deprehendenti liceat; quodsi quis liberam mulierem rapuerit et violaverit, centum denariorum multa esto; sin prostituerit, viginti.

(Plutarchus Vit. Solon. cap. 23 p. 227.)

52. Παντὶ λαβεῖν δίκην ὑπὲρ τοῦ κακῶς πεπονθότος ἐξέστω.

(Plutarchus Vit. Solon. cap. 18 p. 221.)

53. Τὸν τεθνηκότα μηδεὶς κακῶς ἀγορευέτω.

(Plutarchus Vit. Solon. cap. 21 p. 224.)

54. Ζῶντα κακῶς λέγων πρὸς ἱεροῖς καὶ δικαστηρίοις καὶ ἀρχείοις καὶ θεωρίας οὔσης ἀγώνων τρεῖς δραχμὰς τῷ ἰδιώτῃ, δύο δ' ἄλλας εἰς τὸ δημόσιον ἀποτινέτω.

(Plutarchus Vit. Solon. cap. 21 p. 224.)

55. Ἐπὶ τοῖς σώμασι δανείζειν μὴ ἐξέστω.

(Plutarchus Vit. Solon. cap. 15 p. 216.)

56. Δῶρον λαβεῖν ἀνδρὶ παρὰ γυναικὸς καὶ γυναικὶ παρ' ἀνδρὸς μὴ ἐξέστω.

(Plutarchus Quæst. Rom. cap. 7 p. 315; cf. Vit. Solon. cap. 20 p. 223.)

57. Ἐρομένου τινὸς αὐτόν, τί νομίζεις τὸ γῆρας; ἀπεκρίνατο· τοῦ ζῆν χειμῶνα.

(Stobæus Flor. CXVII, 6.)

58. Μήτε ἀρχέτω ὁ σφόδρα νέος, μήτε συμβουλευέτω, εἰ καὶ ἄριστα δοκοίη γνώμης ἔχειν.

(Anthol. Patav.)

59. Ὀνειδιζόμενός ποτε, ὅτι δίκην ἔχων ἐμισθώσατο ῥήτορα· καὶ γάρ, ἔφη, ὅταν δεῖπνον ἔχω, μάγειρον μισθοῦμαι.

(Anton. Meliss. Serm. περὶ παιδείας.)

60. Δοκεῖ μάλιστ' ἂν ἔνδοξος γενέσθαι καὶ βασιλεὺς καὶ τύραννος, εἰ δημοκρατίαν ἐκ μοναρχίας κατασκευάσειε τοῖς πολίταις.

(Anton. Meliss. Serm. περὶ παιδείας.)

61. Δόσεις κύριαι τῶν τελευτώντων.

(Plutarchus Quæst. Rom. cap. 7 p. 315.)

62. Ὁ τῶν περισσῶν ζῆλος εὐθὺς ἀκολουθεῖ καὶ συνοικίζεται τῇ χρείᾳ τῶν ἀναγκαίων.

(Plutarchus VII Sapient. Conviv. cap. 15 p. 40.)

63. Τὸν ὑπερουράνιον τόπον οὔτε τις ὕμνησε τῶν τῇδε ποιητὴς οὔτε ὑμνήσει κατ' ἀξίαν.

(Aristides Sophist.)

γ' ΧΙΛΩΝΟΣ.

1. Μαντικὴν μὴ ἐχθαίρειν.

(Diog. Laert. lib. I, 70.)

2. Πρόνοια περὶ τοῦ μέλλοντος, λογισμῷ καταληπτή, ἀνδρός ἐστιν ἀρετή.

(Diog. Laert. lib. I, 68.)

3. Ἠρεμίᾳ χρῶ.

(Diog. Laert. lib. I, 70.)

4. Ἐν λιθίναις ἀκόναις ὁ χρυσὸς ἐξετάζεται διδοὺς βάσανον φανεράν, ἐν δὲ χρυσῷ ἀνδρῶν ἀγαθῶν τε κακῶν τε νοῦς ἔδωκ' ἔλεγχον.

(Diogenes Laert. lib. I, 71.)

5. Πλοῦτος κακίας μᾶλλον ἢ καλοκαγαθίας ἐστὶν ὑπηρέτης.

(Antonius Melissa Serm. περὶ πλούτου; cf. Isocrat. ad Demonic. pag. 3 ed. Steph.)

6. Τί ἐστι πλοῦτος; θησαυρὸς κακῶν, ἐφόδιον ἀτυχημάτων, χορηγία πονηρίας.

(Anton. Meliss. Serm. περὶ πλούτου.)

7. Πλοῦτος ἀπὸ κακῆς ἐργασίας ἐπιγενόμενος ἐπιφανέστερον ὄνειδος κέκτηται.

(Anton. Meliss. Serm. περὶ πλούτου.)

---

52. Injuriam alicui illatam unicuique persequi liceat.

53. De mortuo nemo male loquitor.

54. Vivo maledicens in templis, judiciis, curia et quum spectacula eduntur tres drachmas homini privato cui conviciatur et alias duas ærario solvat.

55. Corporum obligatione fœnerari ne liceat.

56. Ne marito ab uxore neve uxori a marito donum accipere liceat.

57. Quum quidam ex eo quæreret, quid senectutem esse putaret, respondit, vitæ hiemem.

58. Neque imperet qui admodum juvenis est, neque consiliorum auctor sit, quamvis recte sentire videatur.

59. Reprehensus aliquando, quod litigans cum altero oratorem conduxisset: Atqui, inquit, et cœnam quum apparo, conduco coquum.

60. Videtur ita maxime gloriam consecuturus sive rex sive tyrannus, si civibus ex unius dominatu popularem rempublicam constituerit.

61. Morientium donationes ratæ sunto.

62. Rerum supervacanearum studium statim comitatur necessariarum appetitionem.

63. Cœlum neque laudavit unquam satis poeta terrestris, neque laudabit pro dignitate.

3. CHILONIS.

1. Divinationem ne oderis.

2. Rerum futurarum providentia, ratiocinatione comprehensa, viri virtus est.

3. Quiete utere.

4. Coticula aurum probatur, ut manifestum de se det judicium: auro vero bonorum et improborum hominum mens examinatur.

5. Divitiæ improbitatis magis sunt ministræ, quam virtutis et honestatis.

6. Divitiæ quid sunt? Thesaurus malorum, adjumentum calamitatum, subsidia nequitiæ.

7. Divitiæ illiberali quæstu paratæ manifestum dedecus impressum habent.

8. Δαπανώμενος ἐφ' ἃ μὴ δεῖ, ὀλίγος ἔσῃ ἐφ' ἃ δεῖ.

(Antonius Melissa Serm. περὶ ἀσωτίας.)

9. Τὸ μὴ κεκτῆσθαι πλοῦτον βλάβην οὐ κομίζει τοσαύτην· τὸ δὲ τοῖς οὖσι κακῶς κεχρῆσθαι ἀπόλλυσι τὸν ὄντως, φασί, βίον κεχρημένον βίου.

(Antonius Melissa Serm. περὶ ἀσωτίας.)

10. Πρὸς τὸν ἀδελφὸν δυσφοροῦντα, ὅτι μὴ ἔφορος ἐγένετο, αὐτοῦ ὄντος· ἐγὼ μέν, ἔφη, ἐπίσταμαι ἀδικεῖσθαι, σὺ δ' οὔ.

(Diogenes Laertius lib. I, 68.)

11. Φασὶ δ' αὐτοῦ καὶ Αἴσωπον πυθέσθαι, ὁ Ζεὺς τί εἴη ποιῶν, τὸν δὲ φάναι· τὰ μὲν ὑψηλὰ ταπεινοῦν, τὰ δὲ ταπεινὰ ὑψοῦν.

(Diogenes Laertius lib. I, 69.)

12. Ἐρωτηθείς, τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ἔφη, ἐλπίσιν ἀγαθαῖς.

(Diog. Laert. lib. I, 69.)

13. Ἐρωτηθείς, τί δύσκολον, (ἔφη,) τὸ τὰ ἀπόρρητα σιωπῆσαι, καὶ σχολὴν εὖ διαθέσθαι, καὶ ἀδικούμενον δύνασθαι φέρειν.

(Diogenes Laertius lib. I, 69.)

14. Ἀκούσας τινὸς λέγοντος μηδένα ἔχειν ἐχθρόν, ἠρώτησεν, εἰ μηδένα φίλον ἔχει, νομίζων ἐξ ἀνάγκης ἐπακολουθεῖν καὶ συνεμπλέκεσθαι φιλίαις ἀπεχθείας.

(Plutarchus de Anima apud Gellium lib. I, 3.)

15. Ἐρωτηθείς, τί χαλεπώτατον, « τὸ γινώσκειν ἑαυτὸν » ἔφη· πολλὰ γὰρ ὑπὸ φιλαυτίας ἕκαστον ἑαυτῷ προστιθέναι.

(Stobæus Flor. XXI, 13.)

16. Λυπουμένου τινὸς ἐπὶ τοῖς αὐτοῦ κακοῖς, εἶπεν· εἰ τὰ πάντων κατανοήσῃς, ἧττον ἐπὶ τοῖς σαυτοῦ δυσφορήσεις.

(Stobæus Flor. CVIII, 72.)

17. Τὸν ἄρχοντα χρὴ μηδὲν φρονεῖν θνητόν, ἀλλὰ πάντα ἀθάνατα.

(Plutarchus Conviv. VII Sapient. cap. 7 p. 18.)

18. Χίλων καλούμενος (ἐπὶ τὸ δεῖπνον) οὐ πρότερον ὡμολόγησεν, ἢ πυθέσθαι τῶν κεκλημένων ἕκαστον. Ἔφη γάρ, ὅτι σύμπλουν ἀγνώμονα δεῖ φέρειν καὶ σύσκηνον, οἷς συμπλεῖν ἀνάγκη καὶ συστρατεύεσθαι· τὸ δὲ συμπόταις ἑαυτόν, ὡς ἔτυχε, καταμιγνύειν οὐ νοῦν ἔχοντος ἀνδρός ἐστιν.

(Plutarchus Conviv. VII Sapient. cap. 2 p. 6.)

19. Χίλων φιλάργυρον ἰδὼν ἐκφερόμενον ἔφη· Οὗτος βίον ἀβίωτον ζήσας ἑτέροις βίον καταλέλοιπεν.

(Sentent. Cod. Lugdunobat. ed. Beynen p. 44.)

δ' ΠΙΤΤΑΚΟΥ.

1. Τὸ ἥμισυ τοῦ παντὸς πλεῖον.

(Diog. Laert. lib. I, 75.)

2. Χαλεπὸν ἐσθλὸν ἔμμεναι.

(Diog. Laert. lib. I, 76.)

3. Ἀρχὴ ἄνδρα δεικνύει.

(Diog. Laert. lib. I, 77.)

4. Ἀνάγκῃ δ' οὐδὲ θεοὶ μάχονται.

---

8. Sumtus faciens in res minime necessarias parum valebis ad res necessarias comparandas.

9. Tantum tibi incommodi ex eo non est, si divitiis careas, quantum ex eo, si iis quas habes male utaris; nam hoc illam quæ vere est vitam, ut ajunt, victu indigentem exstinguit.

10. Fratri ægre ferenti, quod ephorus ipse non crearetur, quum ille esset : Ego, inquit, injuriam ferre scio, tu nescis.

11. Ajunt eum ab Æsopo interrogatum, quid ageret Jupiter, respondisse : Excelsa deprimit, humilia extollit.

12. Interrogatus, qua re docti a rudibus discernerentur, Bona, inquit, spe.

13. Interrogatus, quid esset difficile : Arcana, inquit, reticere et otium recte collocare et injuriam ferre posse.

14. Quum quendam dicentem audivisset, nullum se inimicum habere, nullumne amicum haberet interrogavit, necessario amicitiarum pedissequas inimicitias esse cum iisque conjungi existimans.

15. Interrogatus, quid esset difficillimum, Se ipsum inquit, noscere : multa enim unumquemque cæco sui amore sibi attribuere.

16. Quum quidam mœreret suas miserias : Si omnium, inquit, aliorum miserias perpenderis, minus ægre feres tuas.

17. Princeps nihil mortale meditari debet, sed omnia immortalia.

18. Chilo ad cœnam vocatus non prius condixit, quam eorum qui invitarentur eodem nomina singulatim cognovisset. Dicebat enim quibuscum necesse esset una navigare aut militare, eorum etiam molesto comitatu et contubernio utendum esse : ultro autem qualibuscunque admiscere se convivis non esse sani hominis.

19. Chilo quum avarum efferri videret : Hic, inquit, vita non vitali acta aliis facultates reliquit.

4. PITTACI.

1. Dimidium plus toto.

2. Difficile est bonum esse.

3. Magistratus quale cujusque ingenium sit ostendit.

4. Necessitati ne dii quidem resistunt.

(Diog. Laert. lib. I, 77.)

5. Τὰς νίκας ἄνευ αἵματος ποιοῦ.

(Diog. Laert. lib. I, 77.)

6. Εὐχάριστον ὁ χρόνος.

(Diog. Laert. lib. I, 77.)

7. Ἡδονὴ σὺν τῷ καλῷ δίκαιον.

(Stobæus Flor. IX, 33.)

8. Συνετῶν ἀνδρῶν, πρὶν γενέσθαι τὰ δυσχερῆ, προνοῆσαι ὅπως μὴ γένηται, ἀνδρείων δέ, γενόμενα εὖ θέσθαι.

(Diogenes Laertius lib. I, 77; cf. Stob. Floriieg. CVIII, 73.)

9. Ἔχοντα δεῖ τόξον τε καὶ ἰοδόκον φαρέτραν
στείχειν ποτὶ φῶτα κακόν·
πιστὸν γὰρ οὐδὲν γλῶσσα διὰ στόματος
λαλεῖ διχόμυθον ἔχουσα καρδίῃ νόημα.

(Diogenes Laertius lib. I, 78.)

10. Τῶν μὲν ἀγρίων θηρίων κάκιστον ὁ τύραννος, τῶν δὲ ἡμέρων ὁ κόλαξ.

(Plutarchus Conviv. VII Sapient. cap. 2 p. 4.)

11. Νόμος. Τῷ μεθύοντι, ἐὰν ἁμάρτῃ, διπλῆ ζημία ἔστω.

(Diogenes Laertius lib. I, 76.)

12. Κροίσου διδόντος χρήματα οὐκ ἐδέξατο, εἰπὼν ἔχειν ὧν ἐβούλετο διπλάσια· ἄπαιδος γὰρ τἀδελφοῦ τελευτήσαντος κεκληρονομηκέναι.

(Diogenes Laertius lib. I, 75.)

13. Τῶν Κυμαίων πεμψάντων αὐτῷ φονέα, μαθὼν καὶ ἀπολύσας εἶπε· συγγνώμη μετανοίας κρείσσων.

(Diogenes Laertius lib. I, 76.)

14. Ἐρωτηθείς, τί ἄριστον; ἔφη τὸ παρὸν εὖ ποιεῖν, καὶ ὑπὸ Κροίσου, τίς ἀρχὴ μεγίστη; ἡ τοῦ ποικίλου, ἔφη, ξύλου, σημαίνων τὸν νόμον.

(Diog. Laert. lib. I, 77.)

15. Ἐρωτηθεὶς ὑπὸ Μυρσίλου, τί παράδοξον εἴη ἑωρακώς, ἀπεκρίνατο τύραννον γέροντα.

(Plutarchus Conviv. VII Sapient. cap. 2 p. 4.)

16. Ἐπύθετό τινος, διότι οὐ βούλεται γῆμαι· τοῦ δὲ φήσαντος· ἐὰν μὲν καλὴν γήμω, ἕξω κοινήν, ἐὰν δὲ αἰσχράν, ἕξω ποινήν· Οὐμενοῦν, ἔφη, ἀλλ' ἐὰν μὲν καλὴν γήμῃς, οὐχ ἕξεις ποινήν, ἐὰν δὲ αἰσχράν, οὐχ ἕξεις κοινήν.

(Stobæus Flor. LXVII, 17.)

17. Ἐρωτηθείς, εἰ λανθάνει τις τοὺς θεοὺς φαῦλόν τι ποιῶν, εἶπεν· οὔ, οὐδὲ διανοούμενος.

(Theon Sophist.)

18. Ὁ Πιττακὸς ἐκεῖνος, οὗ μέγα μὲν ἀνδρείας, μέγα δὲ σοφίας καὶ δικαιοσύνης κλέος, εἱστία ξένους. ἐπελθοῦσα δὲ ἡ γυνὴ μετ' ὀργῆς ἀνέτρεψε τὴν τράπεζαν· τῶν δὲ ξένων διατραπέντων· Ἑκάστῳ τι (ἔφη) ἡμῶν κακόν ἐστιν. ᾧ δὲ τοὐμόν, ἄριστα πράττει.

Οὗτος μακάριος ἐν ἀγορᾷ νομίζεται,
Ὅταν δ' ἀνοίξῃ τὴν θύραν, τρισάθλιος.
Γυνὴ κρατεῖ πάντων, ἐπιτάττει, μάχετ' ἀεί.
Ἀπὸ πλειόνων ὀδυνᾶτ', ἐγὼ δ' ἀπ' οὐδενός.

(Plutarchus de Animi tranquillitate cap. II,

---

5. Victorias sine sanguine parito.

6. Tempus maxime gratum est.

7. Honesta voluptas justa res est.

8. Sapientium virorum est adversa, antequam eveniant, providere ne contingant: fortium vero, quæ acciderint bene moderari.

9. Sumto arcu sagittiferaque pharetra
petendus est homo improbus;
nam nihil fidum lingua
proloquitur, dum in corde duplex insidet sensus.

10. Ferarum pessima tyrannus, cicurum vero bestiarum assentator.

11. *Lex.* Ebrio, si peccaverit, duplex pœna irrogator.

12. Pecunias quæ a Crœso offerebantur non accepit, duplo plura quam vellet se habere testatus: mortuo enim sine liberis fratre hereditatem ad se pervenisse.

13. Quum homicidam ad ipsum misissent Cumani, cognita causa absolvit reum, veniam pœnitentia potiorem esse dicens.

14. Interrogatus, quid esset optimum: Præsentia, inquit, boni consulere; et a Crœso, quod maximum esset imperium: Ligni, inquit, varii imperium, leges significans.

15. Interrogatus a Myrsilo, quid insolens esset, respondit, tyrannum senem.

16. Interrogabat quendam, quamobrem nollet uxorem ducere. Qui quum respondisset: Si formosam duxero, habiturus sum communem: sin deformem, pœnam: Nequaquam, inquit, sed si pulchram duxeris, non habebis pœnam: sin deformem, non communem.

17. Interrogatus, fugerentne deos mala facinora: Minime, inquit; ne cogitationes quidem.

18. Pittacus ille cui magnam fortitudo, magnam sapientia et justitia paraverunt gloriam, quum hospites convivio excepisset uxorque irata supervenisset et mensam subvertisset, hospitibus perturbatis: Unusquisque, inquit, nostrûm miseria aliqua premitur; qui vero ita miser est ut ego, cum eo præclare agitur.

Hic in foro beatus esse creditur,
sed quum fores reclusit, est miserrimus.
Uxor regit omnia, mandat, semper litigat.
Multa afferunt illi dolorem, nil mihi.

vol. X p. 16; cæterum versus cui poetæ tribuendi sint, non apparet.)

19. Πιττακὸς ἐν τῇ Μιτυλήνῃ κατεσκεύασε τοῖς ἱεροῖς κλίμακα, εἰς οὐδεμίαν μὲν χρῆσιν ἐπιτήδειον, αὐτὸ δὲ τοῦτο ἀνάθημα εἶναι, αἰνιττόμενος τὴν ἐκ τῆς τύχης ἄνω καὶ κάτω μετάπτωσιν τρόπον τινά, τῶν μὲν εὐτυχούντων ἀνιόντων, κατιόντων δὲ τῶν δυστυχούντων.

(Ælian. Var. Hist. II, 29.)

20. Παρακαλούμενος υἱῷ καὶ πατρὶ διαιτῆσαι, εἶπε πρὸς τὸν υἱόν· εἰ μὲν ἀδικώτερα μέλλεις λέγειν τοῦ πατρός, καταχριθήσῃ· εἰ δὲ δικαιότερα, διὰ τοῦτο αὐτὸ ἄξιος εἶ καταχριθῆναι.

(Stobæus Flor. LXXIX, 41.)

21. Πρὸς τὸν Φωκαϊκὸν φάσκοντα δεῖν ζητεῖν ἄνθρωπον σπουδαῖον, ἂν λίαν, ἔφη, ζητῇς, οὐχ εὑρήσεις.

(Diogenes Laertius lib. I, 77.)

22. Πιττακὸς Περιάνδρῳ τῷ Κορινθίῳ παρῄνει μὴ μεθύσκεσθαι, μηδὲ κωμάζειν, ἵν', ἔφη, μὴ γνωσθῇς οἷος ὢν τυγχάνεις, ἀλλ' οὐχ οἷος προσποιῇ.

(Athenæus lib. X p. 427 E.)

23. Κάτοπτρον εἴδους χαλκός ἐστ', οἶνος δὲ νοῦ.

(Athenæus lib. X p. 427 F.)

24. Οἱ νέοι φιλοχρήματοι ἥκιστα διὰ τὸ μήπω ἐνδείας πεπειρᾶσθαι, ὥσπερ τὸ Πιττακοῦ ἔχει ἀπόφθεγμα εἰς Ἀμφιάραον.

(Aristoteles Rhet. lib. II, cap. 12.)

25. Πρὸς τοὺς πυνθανομένους, τί ἀφανές; τὸ μέλλον; ἔφη.

(Diogenes Laertius lib. I, 77.)

26. Ξεῖνος Ἀταρνείτης τις ἀνήρετο Πιττακὸν οὕτω,
τὸν Μιτυληναῖον, παῖδα τὸν Ὑῤῥαδίου·
ἄττα γέρον, δοιός με καλεῖ γάμος· ἡ μία μὲν δὴ
νύμφη καὶ πλούτῳ καὶ γενεῇ κατ' ἐμέ·
ἡ δ' ἑτέρη προβέβηκε. Τί λῷον; εἰ δ' ἄγε σύν μοι
βούλευσον, ποτέρην εἰς ὑμέναιον ἄγω.
Εἶπεν. Ὁ δὲ σκίπωνα, γεροντικὸν ὅπλον, ἀείρας·
Ἠνίδε, κεῖνοί σοι πᾶν ἐρέουσιν ἔπος.
Οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβικας ἔχοντες
ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ.
Κείνων ἔρχεο, φησί, μετ' ἴχνια. Χὡ μὲν ἐπέστη
πλησίον· οἱ δ' ἔλεγον· Τὴν κατὰ σαυτὸν ἔλα.
Ταῦτ' ἀΐων ὁ ξεῖνος ἐφείσατο μείζονος οἴκου
δράξασθαι, παίδων κληδόνι συνθέμενος·
τὴν δ' ὀλίγην, ὡς κεῖνος, ἐς οἶκον ἀπήγετο νύμφην.
Οὕτω καὶ σὺ Δίων τὴν κατὰ σαυτὸν ἔλα.

(Callimachus ap. Diog. Laert. lib. I, 80.)

ε'. ΘΑΛΕΩ.

1. Πάντα πλήρη θεῶν.

(Aristot. de Anima lib. I, 5; cf. Stob. Eclog. lib. I, 2, 29; Diog. Laert. lib. I, 27.)

2. Οὔτι τὰ πόλλ' ἔπεα φρονίμην ἀπεφήνατο δόξαν·
ἕν τι μάτευε σοφόν,
ἕν τι κεδνὸν αἱροῦ.
κλείσεις γὰρ ἀνδρῶν κωτίλων γλώσσας ἀπεραντολόγους.

---

19. Pittacus Mitylenis in templo scalam exstruxit, alium ad usum nullum accommodatam, quam ut esset donarium, quo significabat fortunæ ad superiorem et inferiorem statum commutationem, quum fortunati quodam modo ascendere, infortunati descendere videantur.

20. Quum arbiter inter filium et patrem sumeretur, filium sic allocutus est : Si iniquiora quam pater dixeris, condemnaberis : sin æquiora, propter hoc ipsum dignus es qui condemneris.

21. Phocaico cuidam dicenti quærendum esse hominem frugi respondens : Si nimio, inquit, studio eum quæsieris, non invenies.

22. Pittacus Periandrum Corinthium monebat, ut ebrietatem fugeret et comessationes, Ne appareat, inquiens, qualis sis, non qualem te fingas.

23. Speculum æneum formæ, vinum mentis est index.

24. Adolescentes omnium minime pecuniæ avidi sunt, propterea quod nondum experti sunt egestatem, quemadmodum se habet Pittaci dictum in Amphiaraum.

25. Quærentibus, quid esset obscurum : Quod futurum est, respondit.

26. Atarnites quidam hospes sic interrogavit Pittacum Mitylenæum, Hyrradii filium :
Carissime senex, duplex me matrimonium vocat; altera
sponsa et divitiis et genere mihi par est;
altera præstat. Quid igitur melius? age vero, mihi
dic, utra ducenda sit uxor,
inquit. Iste vero scipione, senili gestamine, sublato :
En, hi sunt illi qui totam rem tibi aperient.
Quippe verbere celeres turbines agitando
lato in trivio pueri versabant.
Illorum, inquit, vestigia sequere. Is ubi accessit
propius, hi dicebant : Tibi aptam viam percurre.
Hæc audiens hospes omisit majorem domum
petere, puerorum omine accepto,
ac tenuiorem sponsam in matrimonium duxit, ut ille :
ita et tu Dion tibi aptam viam percurre.

5. THALETIS.

1. Omnia deorum plena sunt.

2. Nequaquam plurima verba prudentiam indicant;
unum aliquid sapiens quære,
unum quippiam bonum elige;
ita enim garrulis hominibus loquaces linguas occludes.

(Diogenes Laertius lib. I, 35. Vs. 4 κλείσεις conjecit Schneidewinus pro vulgato λύσεις.)

3. Τί πρεσβύτατον; Θεός· (ἔφη Θαλῆς) ἀγέννητον γάρ ἐστι. Τί μέγιστον; τόπος· τἄλλα μὲν γὰρ ὁ κόσμος, τὸν δὲ κόσμον οὗτος περιέχει. Τί κάλλιστον; κόσμος· πᾶν γὰρ τὸ κατὰ τάξιν τούτου μέρος ἐστί. Τί σοφώτατον; χρόνος· τὰ μὲν γὰρ εὕρηκεν οὗτος ἤδη, τὰ δὲ εὑρήσει. Τί κοινότατον; ἐλπίς· καὶ γὰρ οἷς ἄλλο μηθέν, αὕτη πάρεστι. Τί ὠφελιμώτατον; ἀρετή· καὶ γὰρ τἄλλα τῷ χρῆσθαι καλῶς ὠφέλιμα ποιεῖ. Τί βλαβερώτατον; κακία· καὶ γὰρ τὰ πλεῖστα βλάπτει παραγενομένη. Τί ἰσχυρότατον; ἀνάγκη· μόνον γὰρ ἀνίκητον. Τί ῥᾷστον; τὸ κατὰ φύσιν· ἐπεὶ πρὸς ἡδονάς γε πολλάκις ἀπαγορεύουσιν.

(Plutarchus Conviv. VII Sapient. cap. 9 pag. 22.)

4. Δεῖ τὰ μὲν εἰκότα λέγειν, τὰ δὲ ἀμήχανα σιωπᾶν.

(Plutarchus Conviv. VII Sapient. cap. 17 p. 42.)

5. Δεῖ τοῖς ἐχθροῖς καὶ περὶ τῶν πιστῶν ἀπιστεῖν, τοῖς δὲ φίλοις καὶ τὰ ἄπιστα πιστεύειν.

(Plutarchus Conviv. VII Sapient. cap. 17 p. 42.)

6. Τῆς μητρὸς ἀναγκαζούσης αὐτὸν γῆμαι, νὴ Δία, ἔλεγεν, οὐδέπω καιρός. Εἶτα ἐπειδὴ παρήβησεν, ἐγκειμένης εἶπε· οὐκέτι καιρός.

(Diogenes Laertius lib. I, 26.)

7. Ἐρωτηθείς, διὰ τί ἀκμάζων οὐκ ἐπαιδοποίησεν, ἀπεκρίνατο· διότι τὸ ζῆν οὐκ ἐβουλόμην λύπαις αὐθαιρέτοις κατεγγυῆσαι.

(Stob. Flor. LXVIII, 34.)

8. Βουλόμενος δεῖξαι ῥᾴδιον εἶναι πλουτεῖν, φορᾶς μελλούσης ἐλαιῶν ἔσεσθαι, προνοήσας ἐμισθώσατο τὰ ἐλαιουργεῖα, καὶ πάμπλειστα συνεῖλε χρήματα.

(Diogenes Laertius lib. I, 26.)

9. Ἔφασκε τριῶν τούτων ἕνεκα χάριν ἔχειν τῇ τύχῃ, πρῶτον μὲν ὅτι ἄνθρωπος ἐγένετο καὶ οὐ θηρίον, εἶτα ὅτι ἀνὴρ καὶ οὐ γυνή, τρίτον ὅτι Ἕλλην καὶ οὐ βάρβαρος.

(Diogenes Laertius lib. I, 33)

10. Οὐδὲν ἔφη τὸν θάνατον διαφέρειν τοῦ ζῆν. Σὺ οὖν, ἔφη τις, διὰ τί οὐκ ἀποθνήσκεις; Ὅτι, ἔφη, οὐδὲν διαφέρει.

(Diogenes Laertius lib. I, 35.)

11. Πρὸς τὸν πυθόμενον, τί πρότερον ἐγεγόνει, νὺξ ἢ ἡμέρα· ἡ νύξ, ἔφη, μιᾷ ἡμέρᾳ πρότερον.

(Diogenes Laertius lib. I, 36.)

12. Ἠρώτησέ τις αὐτόν, εἰ λήθοι θεοὺς ἄνθρωπος ἀδικῶν· ἀλλ' οὐδὲ διανοούμενος, ἔφη.

(Diogenes Laertius lib. I, 36.)

13. Πρὸς τὸν μοιχὸν ἐρόμενον, εἰ ὀμόσει μὴ μεμοιχευκέναι· Οὐ χεῖρον, ἔφη, μοιχείας ἐπιορκία;

(Diogenes Laertius lib. I, 36.)

14. Ἐρωτηθείς, τί δύσκολον, ἔφη· τὸ ἑαυτὸν γνῶναι. τί δὲ εὔκολον; τὸ ἄλλῳ ὑποτίθεσθαι. τί ἥδιστον; τὸ ἐπιτυγχάνειν. τί τὸ θεῖον; τὸ μήτε ἀρχὴν ἔχον μήτε τελευτήν. τί δυσεύρετον εἴη τεθεαμένος; γέ-

---

3. Quid est antiquissimum? Deus (inquit Thales); ortu enim caret. Quid maximum? Spatium : reliqua enim mundus continens hoc continetur. Quid pulcherrimum? Mundus : omnia enim ordine disposita hujus partes sunt. Quid sapientissimum? Tempus : id enim alia invenit jam, alia inveniet. Quid communissimum? Spes : quibus enim reliqua omnia desunt, hæc adest. Quid utilissimum? Virtus : hæc enim cætera etiam recto usu utilia facit. Quid perniciosissimum? Vitium : hoc enim surrepente pleraque corrumpuntur. Quid validissimum? Necessitas : ea enim sola est invicta. Quid facillimum? Quod naturæ consentaneum est; quia voluptatibus etiam homines sæpe defatigantur.

4. Dicenda sunt probabilia, tacenda vero quæ fieri nequeunt.

5. Inimicis etiam ubi credibilia narrant fidem derogare, amicis etiam quæ fidem excedunt credere debemus.

6. Quum mater eum impelleret, ut uxorem duceret : Per Jovem, inquit, nondum tempus est. Deinde illa iterum instante, quum ætate provectus esset : Non amplius, inquit, tempus est.

7. Interrogatus, cur in ætatis flore liberos non procreasset, respondit : Quia nolui vitam sponte susceptis molestiis quasi despondere.

8. Quum vellet ostendere, facile esse ditescere, prævisa futura olearum ubertate molas olearias conduxit plurimumque pecuniæ fecit.

9. Ajebat se trium rerum causa gratiam habere fortunæ, primum quod homo natus esset, non bestia; deinde quod vir, non mulier; tertio quod Græcus, non barbarus.

10. Mortem nihil a vita differre dicebat. Quodam autem objiciente : Cur igitur non moreris? Ob hoc ipsum, inquit, quia nihil interest.

11. Cuidam sciscitanti, utrum prior exstitisset nox an dies : Nox, inquit, uno die prior.

12. Quum interrogaret eum quispiam, fugerentne deos mala hominum facinora : Ne cogitationes quidem, inquit.

13. Percontanti adultero, num jurare deberet, non commisisse se adulterium : Nonne est, inquit, perjurium adulterio deterius?

14. Interrogatus, quid esset difficile? Se ipsum, inquit, noscere. Quid contra facile? Alteri dare consilium. Quid jucundissimum? Voti compotem fieri. Quid numen divi-

ροντα ἔφη τύραννον. πῶς ἄν τις ἀτυχίαν ῥᾷστα φέροι; εἰ τοὺς ἐχθροὺς χεῖρον πράσσοντας βλέποι. πῶς ἂν ἄριστα καὶ δικαιότατα βιώσαιμεν; ἐὰν ἃ τοῖς ἄλλοις ἐπιτιμῶμεν, αὐτοὶ μὴ δρῶμεν. τίς εὐδαίμων; ὁ τὸ μὲν σῶμα ὑγιής, τὴν δὲ τύχην εὔπορος, τὴν δὲ ψυχὴν εὐπαίδευτος.

(Diogenes Laertius lib. I, 36-37. Pro codicum lectione τί δύσκολον εἴη τεθεαμένος posui τί δυσεύρετον κτλ.)

15. Ἐρωτηθεὶς ὑπό τινος, πόσον ἀπέχει τὸ ψεῦδος τοῦ ἀληθοῦς· ὅσον, ἔφη, ὀφθαλμοὶ τῶν ὤτων.

(Antonius et Maximus Serm. περὶ ἀληθείας.)

16. Θαλῆς ἔφησεν, ὅτι σαφέστατος ἔλεγχος πραγμάτων ἁπάντων ἐστὶν ὁ χρόνος· οὗτος γὰρ τὴν ἀλήθειαν ἐμφανίζει.

(Stobæus Eclog. lib. I cap. 9.)

17. Θαλῆς ἔφησεν, εὐδαιμονίαν ἄρχοντος νομίζειν, εἰ ἐτελεύτησε γηράσας κατὰ φύσιν.

(Plutarchus VII Sapient. Conviv. cap. 7 pag. 18.)

18. Θαλῆς μὲν εἰ καὶ ἐκ τοῦ ὕδατός φησι συνεστάναι πάντα, ἀλλ' ὅμως καὶ τοῦτο βούλεται μεταβάλλειν· ἄμεινον δὲ καὶ αὐτοῦ τὴν ῥῆσιν προσθεῖναι ἐκ τοῦ δευτέρου περὶ τῶν ἀρχῶν ἔχουσαν ὧδέ πως· Τὰ μὲν οὖν πολυθρύλητα τέτταρα, ὧν τὸ πρῶτον ὕδωρ εἶναί φαμεν καὶ ὡσανεὶ μόνον στοιχεῖον τίθεμεν, πρὸς σύγκρισίν τε καὶ πῆξιν (1) καὶ σύστασιν τῶν ἐγκοσμίων πρὸς ἄλληλα συγκεράννυται. πῶς δέ, ἤδη λέλεκται ἡμῖν ἐν τῷ πρώτῳ. Ἐναργῶς ἐνταῦθα δῆλός ἐστιν ὡς ἀξιοῖ εἰς ἄλληλα μεταβάλλειν τὰ στοιχεῖα.

(Galenus Comment. in libr. de Humor. I, 1, tom. XVI, 37 ed. Kühn.

(1) Legebatur πήγνυσιν quod mutavi in πῆξιν.

ς'. ΒΙΑΝΤΟΣ.

1. Ἀστοῖσιν ἄρεσκε πᾶσιν, ἐν πόλει αἴκε μένῃς· πλείσταν γὰρ ἔχει χάριν· αὐθάδης δὲ τρόπος πολλάκι δὴ βλαβερὰν ἐξέλαμψεν ἄταν.

(Diogenes Laertius lib. I, 85. — Vs. 3 δὴ adjecit Bergk.)

2. Τὸ μὲν ἰσχυρὸν γενέσθαι τῆς φύσεως ἔργον· τὸ δὲ λέγειν δύνασθαι τὰ συμφέροντα τῇ πόλει ψυχῆς ἴδιον καὶ φρονήσεως· εὐπορία δὲ χρημάτων πολλοῖς καὶ διὰ τύχην περιγίνεται.

(Diogenes Laertius lib. I, 86.)

3. Ἀτυχὴς ὁ ἀτυχίαν μὴ φέρων.

(Diogenes Laertius lib. I, 86.)

4. Νόσος ψυχῆς τὸ τῶν ἀδυνάτων ἐρᾶν.

(Diogenes Laertius lib. I, 86.)

5. Ἀλλοτρίων κακῶν ἀμνημόνευτος ἴσθι.

(Diogenes Laertius lib. I, 86.)

6. Οὕτω πειρῶ ζῆν ὡς καὶ ὀλίγον καὶ πολὺν χρόνον βιωσόμενος.

(Stobæus Floril. V, 27. Cf. Diog. Laert. lib. I, 87.)

7. Οἱ ἀγαθοὶ εὐαπάτητοι.

8. Ἐοίκασι τοῖς ὄμμασι τῆς γλαυκὸς οἱ περὶ τὴν ματαίαν σοφίαν ἠσχοληκότες· καὶ γὰρ ἐκείνης αἱ ὄψεις νυκτὸς μὲν ἔῤῥωνται, ἡλίου δὲ λάμψαντος ἀμαυροῦνται· καὶ τούτων ἡ διάνοια ὀξυτάτη μέν ἐστι

---

num? Quod neque initium habet neque finem. Quid inventu difficile vidisset? Senem, inquit, tyrannum. Quo pacto quis facillime adversam ferret fortunam? Si inimicos ærumnis premi videat. Quo modo optime et justissime vivere possemus? Si quæ in aliis reprehendimus, ea non faciamus ipsi. Quis esset felix? Qui corpore sanus, fortunâ locuples et animo liberaliter institutus est.

15. Interrogatus a quodam, quantum distaret a veritate mendacium : Quantum, inquit, ab auribus oculi.

16. Thales ait certissimam rerum omnium obrussam esse tempus, quod veritatem patefaceret.

17. Thales dixit eum principem beatum sibi videri qui naturæ lege senex obiisset.

18. Thales quidem quamquam ex aqua omnia constare ait, tamen et hanc mutari vult; melius vero est hujus quoque e secundo de principiis libro apponere verba quæ sic se habent : « Quattuor illa elementa vulgi sermonibus celebrata e quibus principe loco aquam esse dicimus et quasi solum elementum ponimus, ad mutuam rerum quæ in mundo reperiuntur concretionem, coagmentationem et copulationem miscentur ac temperantur. Quomodo autem hoc fiat, jam in primo libro a nobis dictum est. » Hic manifesto ostendit sese existimare, elementa inter se mutari.

6. BIANTIS.

1. Civibus placere omnibus stude, si in urbe velis habitare : habet enim id multum gratiæ : superbia autem sæpe jam perniciosam genuit noxam.

2. Validum esse naturæ beneficio licet : at civitati utilia dicere posse, animi et prudentiæ proprium est. Pecuniarum autem copia multis etiam fortuito contingit.

3. Infelix qui infelicitatem ferre non potest.

4. Animi morbus est appetere quæ consequi nequeas.

5. Alieni incommodi ne memineris.

6. Ita vitam institue quasi et breve et longum tempus victurus.

7. Boni viri facile decipiuntur.

8. Qui sapientiæ vacant inani noctuæ oculis similes sunt, qui noctu quidem valent, sed sole splendente cæcutiunt. Sic illorum quidem mens acutissima est et aptissima ad va-

πρὸς τὴν ματαιότητος θεωρίαν, πρὸς δὲ τὴν ἀληθινοῦ φωτὸς κατακίνησιν ἐξαμαυροῦται.

(Maximus Serm. περὶ φρονήσεως; cf. Stob. Flor. pag. 51 ed. Gesner.)

9. Τόπων μεταβολαὶ οὔτε φρόνησιν διδάσκουσιν, οὔτε ἀφροσύνην ἀφαιροῦνται.

(Anton. Meliss. Serm. περὶ σοφίας.)

10. Οἱ φρόνιμοι μᾶλλον ὑπὸ τῶν ἀφρόνων, ἢ οἱ ἄφρονες ὑπὸ τῶν φρονίμων ὠφελοῦνται· οὗτοι μὲν γὰρ φυλάττονται τὰς ἐκείνων ἁμαρτίας, ἐκεῖνοι δὲ τὰς τούτων μὴ μιμοῦνται κατορθώσεις.

(Maximus Serm. περὶ φρονήσεως.)

11. Δεῖ τὸν ἀγαθὸν ἄνδρα μεμνῆσθαι μὲν τῶν γεγενημένων, πράττειν δὲ τὰ ἐνεστῶτα, περὶ δὲ τῶν μελλόντων ἀσφαλίζεσθαι.

(Maximus Serm. περὶ φρονήσεως.)

12. Μία ἐστὶν ἀρχὴ τοῦ καλῶς βουλεύεσθαι τὸ γνῶναι περὶ ὅτου ὁ λόγος· εἰ δὲ μή, τοῦ παντὸς ἁμαρτάνειν ἀνάγκη.

(Maximus Serm. περὶ φρονήσεως.)

13. Τοὺς αἰτουμένους παρὰ τῶν θεῶν φρένας ἀγαθάς, καὶ μὴ ἑαυτοὺς παιδεύοντας ἀναισθήτους ἔφασκεν εἶναι. οὔτε γὰρ ζωγράφον εὐχόμενον τοῖς θεοῖς δοῦναι αὐτῷ γραμμὴν καὶ εὔχροιαν, λαβεῖν ἄν, εἰ μὴ μάθοι τέχνην, οὔτε μουσικὸν γενέσθαι ποτ' ἂν ἕνεκεν εὐχῆς, εἰ μὴ τὰ μουσικὰ μάθοι. τὸν δὲ αὐτὸν τρόπον οὔτ' ἂν φρόνιμόν τινα γενέσθαι εὐχόμενον, εἰ μὴ τούτων τὴν μάθησιν λάβοι.

(Anton. et Maxim. Serm. περὶ προσευχῆς.)

14. Ἐρωτηθείς, τί δυσχερές, Τὴν ἐπὶ τὸ χεῖρον, ἔφη, μεταβολὴν εὐγενῶς ἐνεγκεῖν.

(Diog. Laert. lib. I, 86.)

15. Ἐρωτηθείς, ποῖος τῶν θανάτων κακός, ἔφη, Ὁ ἀπὸ τῶν νόμων ὑπαγόμενος.

(Antonius et Maximus Serm. περὶ θανάτου.)

16. Ἐρωτηθείς, τίς ἄριστος σύμβουλος; Ὁ καιρός, ἔφη.

(Antonius et Maximus Serm. περὶ φρονήσεως.)

17. Συμπλέων ποτὲ ἀσεβέσι, χειμαζομένης τῆς νεὼς κἀκείνων τοὺς θεοὺς ἐπικαλουμένων, Σιγᾶτε, ἔφη, μὴ αἴσθωνται ὑμᾶς ἐνθάδε πλέοντας.

(Diogenes Laertius lib. I, 86.)

18. Ἐρωτηθεὶς ὑπ' ἀσεβοῦς ἀνθρώπου, τί ποτέ ἐστιν εὐσέβεια; ἐσίγα· τοῦ δὲ τὴν αἰτίαν τῆς σιγῆς πυθομένου, Σιωπῶ, ἔφη, ὅτι περὶ τῶν οὐδέν σοι προσηκόντων πυνθάνῃ.

(Diogenes Laertius lib. I, 86.)

19. Ἐρωτηθείς, τί γλυκὺ ἀνθρώποις; Ἐλπίς, ἔφη.

(Diogenes Laertius lib. I, 87.)

20. Ἐρωτηθείς, τί ἂν εἴη τῶν κατὰ βίον ἄφοβον, εἶπεν, Ὀρθὴ συνείδησις.

(Stobæus Flor. XXIV, 11; cf. Floril. Monacense 25 in Stob. Flor. tom. IV p. 269 ed. Meineke.)

21. Θανάτῳ μέλλων καταδικάζειν τινὰ ἐδάκρυσεν. Εἰπόντος δέ τινος, τί παθὼν αὐτὸς καταδικάζεις καὶ κλαίεις; εἶπεν, ὅτι ἀναγκαῖόν ἐστι τῇ μὲν φύσει τὸ συμπαθὲς ἀποδοῦναι, τῷ δὲ νόμῳ τὴν ψῆφον.

---

nitatis contemplationem, sed ad oppositum veri luminis motum obscuratur.

9. Locorum mutationes neque prudentiam nos docent, neque imprudentiam dedocent.

10. Prudentes magis juvantur ab imprudentibus, quam hi ab illis: nam illi cavent ab horum delictis, hi illorum egregia facta non imitantur.

11. Vir bonus præteritorum debet meminisse, præsentia tractare et futuris adhibere cautionem.

12. Unum est principium bene consultandi, scire qua de re agatur. Quod nisi fiat, necesse est deliberantem toto cœlo errare.

13. Qui mentem bonam et sagacem a diis petunt nec tamen se ipsos discendo erudiunt, eos esse stupidos dicebat. Neque enim pictorem voti compotem fieri, si petat a deo, ut sibi largiatur scientiam ducendi lineas et miscendi colores, nisi pingendi artem didicerit; neque quemquam musicum evasurum optando, nisi modos didicerit: ita nec prudentem, nisi rerum quæ ad prudentiam pertinent perceptam animo scientiam habeat.

14. Interrogatus, quid esset difficile: Ferre, inquit, fortiter mutationem rerum in deterius.

15. Interrogatus, quæ mors mala esset et inhonesta: Illa, inquit, quam leges inferunt.

16. Interrogatus, quis optimus esset consiliarius: Occasio, inquit.

17. Navigans aliquando cum impiis, quum navis tempestate jactaretur istique deos invocarent: Silete, inquit, ne illi vos hic navigare sentiant.

18. Interrogatus ab homine impio, quid tandem esset pietas, nihil respondit; quumque ille silentii causam requireret: Taceo, inquit, quia de rebus nihil ad te pertinentibus me interrogas.

19. Interrogatus quid esset dulce hominibus: Spes, inquit.

20. Interrogatus, quæ res in vita metu vacaret: Recta, inquit, conscientia.

21. Capite damnaturus quendam lacrimavit. Quærente autem quopiam: Quid est quod fleas, quum ipse condemnes? Quia, inquit, necesse est me et naturæ humanæ vicem dolere et ex lege sententiam ferre.

(Anton. et Max. Serm. περὶ ἐλεημοσύνης; cf. Stob. Flor. XLVI, 67.)

22. Τῷ πυθομένῳ, τί τῶν ζώων χαλεπώτατόν ἐστιν, ἀπεκρίνατο, ὅτι τῶν μὲν ἀγρίων ὁ τύραννος, τῶν δὲ ἡμέρων ὁ κόλαξ.

(Plutarchus De adulat. et amici discr. cap. 28 p. 198.)

23. Ἀμάσιδι κελευσθεὶς τὸ χρηστότατον ὁμοῦ καὶ φαυλότατον ἐκπέμψαι κρέας τοῦ ἱερείου, τὴν γλῶτταν ἐξελὼν ἀπέπεμψεν, ὡς καὶ βλάβας καὶ ὠφελείας τοῦ λέγειν ἔχοντος μεγίστας.

(Plutarchus de Auditione cap. 2 pag. 131.)

24. Θεασάμενος μάχαιραν ἐῤῥιμμένην ἔφη· Τίς σε ἀπώλεσεν, ἢ τίνα σύ;

(Maximus Serm. περὶ θανάτου.)

25. Ἥδιον ἔλεγε δικάζειν μεταξὺ ἐχθρῶν ἢ φίλων· τῶν μὲν γὰρ φίλων πάντως ἐχθρὸν ἔσεσθαι τὸν ἕτερον, τῶν δὲ ἐχθρῶν τὸν ἕτερον φίλον.

(Diogenes Laertius lib. I, 87.)

26. Ἐρωτηθείς, τί ποιῶν ἄνθρωπος τέρπεται, ἔφη, Κερδαίνων.

(Diogenes Laertius lib. I, 87.)

27. Ἔλεγε δεῖν καὶ φιλεῖν ὡς μισήσοντας· τοὺς γὰρ πλείστους εἶναι κακούς.

(Diogenes Laertius lib. I, 87.)

28. Μακάριός ἐστιν ὁ πλουτῶν καὶ ὧν ἐπιθυμεῖ ἀπολαύων· ὁ δὲ μὴ ἐπιθυμῶν μακαριώτερος.

(Anton. et Max. Serm. περὶ ἁγνείας καὶ σωφροσύνης.)

29. Βίας, ἐπικαλουμένου τινὸς τὸν θάνατον ἐπὶ τέκνων ἀπωλείᾳ, ἔφη, Τί αὐτὸν καλεῖς, ἄνθρωπε; οὐχ, ἂν μὴ καλέσῃς, ἥξει;

(Anton. et Max. Serm. περὶ θανάτου.)

30. Τῷ υἱεῖ πρὸς Αἰγυπτίους ἀπαίροντι καὶ πυνθανομένῳ, τί ἂν ποιῶν αὐτῷ μάλιστα κεχαρισμένα πράττοι, Ἐφόδιον, ἔφη, πρὸς γῆρας κτησάμενος, τὴν ἀρετὴν δηλαδὴ τὸ ἐφόδιον λέγων.

(S. Basilius Magnus De profanorum librorum lectione extr.)

31. Ὁ πλωτικὸς μήτε ἐν τοῖς τεθνηκόσιν ἐστί, μήτ' ἐν τοῖς βιοῦσι.

(S. Basilius Magnus De profan. libr. lect.)

32. Ἐμοὶ μὲν δοκεῖ μάλιστ' ἂν ἔνδοξος γενέσθαι καὶ βασιλεὺς καὶ τύραννος, εἰ πρῶτος χρῷτο τοῖς νόμοις τῆς πατρίδος.

(Plutarchus VII Sapient. Conviv. cap. 7 p. 17.)

33. Βίας ἔν τινι πότῳ σιωπῶν καὶ σκωπτόμενος εἰς ἀβελτερίαν ὑπό τινος ἀδολέσχου· Καί τίς ἄν, ἔφη, δύναιτο μωρὸς ὢν ἐν οἴνῳ σιωπᾶν;

(Plutarchus de Garrulitate cap. 4 p. 102.)

31. Θεώρει ὥσπερ ἐν κατόπτρῳ τὰς σαυτοῦ πράξεις, ἵνα τὰς μὲν καλὰς ἐπικοσμῇς, τὰς δὲ αἰσχρὰς καλύπτῃς.

(Stobæus Flor. XXI, 11.)

ζ'. ΠΕΡΙΑΝΔΡΟΥ.

1. Μηδὲν χρημάτων ἕνεκα πράττειν· δεῖ γὰρ τὰ κερδαντὰ κερδαίνειν.

(Diogenes Laertius lib. I, 97.)

---

22. Percontanti, quæ esset perniciosissima bestia, respondit: Inter feras tyrannus, inter cicures vero adulator.

23. Ab Amaside jussus optimam simul et pessimam victimæ carnem mittere, linguam exsectam misit, quia sermo plurimum et utilitatis et damni afferret.

24. Conspicatus ensem projectum: Quis te, inquit, perdidit, aut quem tu?

25. Malle se inter inimicos, quam inter amicos judicare dicebat; quippe ex amicis alterum prorsus futurum inimicum, ex inimicis autem alterum amicum.

26. Interrogatus, quo negotio homo delectaretur: Lucro, inquit.

27. Idem amandum esse dicebat, quasi odio essemus habituri; malos enim esse plerosque.

28. Beatus est qui et divitiis affluit et bonis quæ concupiverat partis fruitur, sed beatior tamen qui nihil concupivit.

29. Bias, quum quidam liberis suis interitum precaturus mortem vocaret: Quid est, inquit, quod illam voces, quæ etiam te non vocante adventura est?

30. Filio in Ægyptum proficiscenti interrogantique, quid patri gratissimum facere posset, respondit: Si præsidium sibi ad senectutem compararet, virtutem scilicet præsidium appellans.

31. Navigans neque mortuis neque vivis adnumerandus.

32. Mihi quidem videtur hac ratione maxime gloriam consecuturus sive rex sive tyrannus, si primus legibus patriæ obtemperet.

33. Bias in quodam convivio, quum tacenti a nugatore quopiam stultitia objiceretur: Quis vero, inquit, stultus inter bibendum possit tacere?

34. Contemplare tanquam in speculo actiones tuas, ut honestas ornes, turpes vero tegas.

7. PERIANDRI.

1. Nihil pecuniæ causa agendum; nam iis ex rebus lucrum faciendum est ex quibus decet.

2. Τοὺς μέλλοντας ἀσφαλῶς τυραννήσειν τῇ εὐνοίᾳ δορυφορεῖσθαι δεῖ, καὶ μὴ τοῖς ὅπλοις.

(Diogenes Laertius lib. I, 97.)

3. Μηδενὶ φθόνει.

(Stobæus Flor. XXXVIII, 51.)

4. Ὥσπερ ἡ ἐρυσίβη ἴδιόν ἐστι τοῦ σίτου νόσημα, οὕτω φθόνος φιλίας ἐστὶν ἀῤῥώστημα.

(Stobæus Flor. XXXVIII, 52.)

5. Ὥσπερ ὁ ἰὸς σίδηρον, οὕτως ὁ φθόνος τὴν ἔχουσαν αὐτὸν ψυχὴν ἐξαναψήχει.

(Stobæus Flor. XXXVIII, 53.)

6. Ὅσῳ γὰρ ἂν φθονῇς, τοσούτῳ μειζόνων γίνῃ πρόξενος ἀγαθῶν τῷ φθονουμένῳ.

(Stobæus Flor. XXXVIII, 54.)

7. Ἐρωτηθείς, διὰ τί τυραννεῖ, ἔφη, Ὅτι καὶ τὸ ἑκουσίως ἀποστῆναι καὶ τὸ ἀφαιρεθῆναι κίνδυνον φέρει.

(Diogenes Laertius lib. I, 97; cf. Stob. Flor. XLIII, 78.)

8. Ἐρωτηθείς, τί μέγιστον ἐν ἐλαχίστῳ, εἶπε, Φρένες ἀγαθαὶ ἐν σώματι ἀνθρώπου.

(Stobæus Flor. III, 56.)

9. Κέρδος αἰσχρὸν βαρὺ κειμήλιον.

(Stobæus Flor. X, 49.)

10. Λόγων ἀποῤῥήτων ἐκφορὰς μὴ ποιοῦ.

(Stobæus Flor. XLII, 7.)

11. Ἐρωτηθείς, τί πάντων αἴτιον, ἔφη, Χρόνος.

(Stobæus Eclog. Phys. lib. I cap. 8, 40 p. 90 ed. Gaisf.)

ΤΩΝ ΑΥΤΩΝ ΕΠΤΑ ΣΟΦΩΝ ΠΕΡΙ ΟΙΚΟΝΟΜΙΑΣ ΑΠΟΦΘΕΓΜΑΤΑ.

Τοῦτον ἄριστον ὁ Σόλων εἶπεν αὐτῷ δοκεῖν οἶκον, ὅπου τὰ χρήματα μήτε κτωμένοις ἀδικία, μήτε φυλάττουσιν ἀπιστία, μήτε δαπανῶσι μετάνοια πρόσεστιν. Ὁ δὲ Βίας· ἐν ᾧ τοιοῦτός ἐστιν ὁ δεσπότης δι' αὑτόν, οἷος ἔξω διὰ τὸν νόμον. Ὁ δὲ Θαλῆς· ἐν ᾧ πλείστην ἄγειν τῷ δεσπότῃ σχολὴν ἔξεστιν. Ὁ δὲ Κλεόβουλος· εἰ πλείονας ἔχει τῶν φοβουμένων αὐτὸν τοὺς φιλοῦντας ὁ δεσπότης. Ὁ δὲ Πιττακὸς εἶπεν, ὡς ἄριστος οἶκός ἐστιν ὁ τῶν περισσῶν καὶ τῶν ἀναγκαίων μηδενὸς ἐνδεόμενος. Ὁ δὲ Χίλων ἔφη, δεῖν μάλιστα βασιλευομένῃ πόλει προσεοικέναι τὸν οἶκον· εἶτα προσεῖπεν, ὅτι Λυκοῦργος πρὸς τὸν κελεύοντα δημοκρατίαν ἐν τῇ πόλει καταστῆσαι, πρῶτον, ἔφη, ποίησον ἐν τῇ οἰκίᾳ σου δημοκρατίαν.

(Plutarchus VII Sapient. Conviv. cap. 12 pag. 26 seq.; cf. Stob. Flor. LXXXV, 14.)

ΤΩΝ ΑΥΤΩΝ ΠΕΡΙ ΠΟΛΙΤΕΙΑΣ ΑΠΟΦΘΕΓΜΑΤΑ.

Καὶ πρῶτος ὁ Σόλων· Ἀλλ' ἀκήκοας μὲν ἣν ἐγὼ γνώμην περὶ πολιτείας, εἰ δὲ βούλει καὶ νῦν ἀκούειν,

---

2. Qui tuto regnare volunt benevolentia stipari debent, non armis.

3. Nemini invideto.

4. Quemadmodum rubigo proprius est frumenti morbus: sic invidia amicitiæ est ægritudo.

5. Ut rubigo ferrum, ita invidia animum, cui inest, corrumpit.

6. Quo magis invides, eo majorum bonorum conciliator es ei cui invidetur.

7. Interrogatus cur in tyrannide permaneret: Quia, inquit, et sponte decedere et vi demoveri periculosum est.

8. Interrogatus, quid maximum in minimo esset: Bona mens, inquit, in corpore humano.

9. Turpe lucrum gravis est thesaurus.

10. Secreta noli enuntiare.

11. Interrogatus, quæ esset omnium causa: Tempus, inquit.

EORUNDEM VII SAPIENTUM DE RE FAMILIARI EFFATA.

Solon eam sibi domum optimam videri dixit, ubi res esset neque injuste parta, neque in ea vel conservanda diffidentiæ vel consumenda pœnitentiæ locus esset. Bias: in qua dominus sua sponte talis esset, qualem foris propter leges se gereret. Thales vero, in qua domino plurimum otii habere liceret. Cleobulus autem: si dominus plures haberet sui amantes, quam metuentes. Pittacus optimam esse domum dixit, ubi neque supervacaneum neque necessarium quidquam desideraretur. Chilon censuit domum civitati regibus obnoxiæ simillimam esse debere, adjecitque Lycurgum cuidam qui populare imperium Spartæ instituere ipsum juberet, respondisse: Prius tu hoc domi tuæ facito.

EORUNDEM DICTA DE REPUBLICA.

Primusque Solon: Audivisti quidem quæ sit mea de republica sententia, sed si nunc quoque libet audire, videtur mihi civitas perbeata esse et popularem rationem optime

δοκεῖ μοι πόλις ἄριστα πράττειν καὶ μάλιστα σώζειν δημοκρατίαν, ἐν ᾗ τὸν ἀδικήσαντα τοῦ ἀδικηθέντος οὐδὲν ἧττον οἱ μὴ ἀδικηθέντες προβάλλονται καὶ κολάζουσιν. Δεύτερος δὲ ὁ Βίας ἔφησε, κρατίστην εἶναι δημοκρατίαν, ἐν ᾗ πάντες ὡς τύραννον φοβοῦνται τὸν νόμον. Ἐπὶ τούτῳ Θαλῆς τὴν μήτε πλουσίους ἄγαν, μήτε πένητας ἔχουσαν πολίτας. Μετὰ δὲ τοῦτον ὁ Ἀνάχαρσις· ἐν ᾗ τῶν ἄλλων ἴσων ὁριζομένων ἀρετῇ τὸ βέλτιον ὁρίζεται καὶ κακίᾳ τὸ χεῖρον. Πέμπτος ὁ Κλεόβουλος ἔφη, μάλιστα σωφρονεῖν δῆμον, ὅπου τὸν ψόγον μᾶλλον οἱ πολιτευόμενοι δεδοίκασιν ἢ τὸν νόμον. Ἕκτος δὲ Πιττακός, ὅπου τοῖς πονηροῖς οὐκ ἔξεστιν ἄρχειν, καὶ τοῖς ἀγαθοῖς ἔξεστιν ἄρχειν. Μετατραπεὶς δὲ ὁ Χίλων ἀπεφήνατο, τὴν μάλιστα νόμων, ἥκιστα δὲ ῥητόρων ἀκούουσαν πολιτείαν ἀρίστην εἶναι. Τελευταῖος δὲ πάλιν ὁ Περίανδρος ἐπικρίνων ἔφη, δοκεῖν αὐτῷ πάντας ἐπαινεῖν δημοκρατίαν τὴν ὁμοιοτάτην ἀριστοκρατίᾳ.

(Plutarchus VII Sapient. Conviv. cap. 11 pag. 24 seq.)

ΑΝΑΧΑΡΣΙΔΟΣ ΓΝΟΥΡΟΥ ΑΠΟΦΘΕΓΜΑΤΑ.

1. Κρεῖττον ἕνα φίλον ἔχειν πολλοῦ ἄξιον ἢ πολλοὺς μηδενὸς ἀξίους.

(Diogenes Laertius I, 105.)

2. Πρὸς τὴν Σόλωνος οἰκίαν ἀφικόμενος τῶν θεραπόντων τινὶ ἐκέλευσε μηνῦσαι, ὅτι παρείη πρὸς αὐτὸν Ἀνάχαρσις, καὶ βούλοιτο αὐτὸν θεάσασθαι ξένος τε, εἰ οἷόν τε, γενέσθαι· καὶ ὁ θεράπων εἰσαγγείλας ἐκελεύσθη ὑπὸ τοῦ Σόλωνος εἰπεῖν αὐτῷ, ὅτι περ ἐν ταῖς ἰδίαις πατρίσι ξένους ποιοῦνται· ἔνθεν ὁ Ἀνάχαρσις ἐλθὼν ἔφη· νῦν αὐτὸς ἐν τῇ πατρίδι εἰμί, καὶ προσήκει μοι ξένους ποιεῖσθαι· ὁ δὲ καταπλαγεὶς τὴν ἑτοιμότητα εἰσέφρησεν αὐτόν, καὶ μέγιστον φίλον ἐποιήσατο.

(Diogenes Laertius lib. I, 101-102.)

3. Ἐρωτηθείς, τί ἐστιν ἐν ἀνθρώποις ἀγαθόν τε καὶ φαῦλον; ἔφη, Γλῶσσα.

(Diogenes Laertius I, 105.)

4. Γλώσσης, γαστρός, αἰδοίων κράτει.

(8) Diogenes Laertius lib. II, 12-14 : Σωτίων μὲν γάρ φησιν ἐν τῇ διαδοχῇ τῶν φιλοσόφων, ὑπὸ Κλέωνος αὐτὸν ἀσεβείας κριθῆναι, διότι τὸν ἥλιον μύδρον ἔλεγε διάπυρον· ἀπολογησαμένου δὲ ὑπὲρ αὐτοῦ Περικλέους τοῦ μαθητοῦ, πέντε ταλάντοις ζημιωθῆναι καὶ φυγαδευθῆναι. Σάτυρος δ' ἐν τοῖς βίοις ὑπὸ Θουκυδίδου φησὶν εἰσαχθῆναι τὴν δίκην, ἀντιπολιτευσαμένου τῷ Περικλεῖ, καὶ οὐ μόνον ἀσεβείας, ἀλλὰ καὶ μηδισμοῦ, καὶ ἀπόντα καταδικασθῆναι θανάτου . . . Ἕρμιππος δ' ἐν τοῖς βίοις φησίν, ὅτι καθείρχθη ἐν τῷ δεσμωτηρίῳ τεθνηξόμενος. Περικλῆς δὲ παρελθὼν εἶπεν, εἴ τι ἔχουσιν ἐγκαλεῖν αὐτῷ κατὰ τὸν βίον; οὐδὲν δὲ εἰπόντων, Καὶ μὴν ἐγώ, ἔφη, τούτου μαθητής εἰμι. μὴ οὖν διαβολαῖς ἐπαρθέντες ἀποκτείνητε τὸν ἄνθρωπον, ἀλλ' ἐμοὶ πεισθέντες ἄφετε. καὶ ἀφείθη. οὐκ ἐνεγκὼν δὲ τὴν ὕβριν ἑαυτὸν ἐξήγαγεν. (Immo Lampsacum abiit. Vid. not. 9.) Ἱερώνυμος δὲ ἐν τῷ δευτέρῳ τῶν σποράδην ὑπομνημάτων φησίν, ὅτι ὁ Περικλῆς παρήγαγεν αὐτὸν ἐπὶ τὸ δικαστήριον, διεῤῥυηκότα καὶ λεπτὸν ὑπὸ νόσου, ὥστε ἐλέῳ μᾶλλον ἢ κρίσει ἀφεθῆναι. Plutarchus vit. Pericl. cap. 32 : Καὶ ψήφισμα Διοπείθης ἔγραψεν, εἰσαγγέλλεσθαι τοὺς τὰ θεῖα μὴ νομίζοντας, ἢ λόγους περὶ τῶν μεταρσίων διδάσκοντας· ἀπερειδόμενος εἰς Περικλέα δι' Ἀναξαγόρου τὴν ὑπόνοιαν . . . Ἀναξαγόραν δὲ φοβηθεὶς ἐξέπεμψε καὶ προὔπεμψεν ἐκ τῆς πόλεως. Id. Nic. cap. 23 : Ἀναξαγόραν εἰρχθέντα μόλις περιεποιήσατο Περικλῆς. Diodorus Siculus XII, 39 : Πρὸς τούτοις δὲ Ἀναξαγόραν τὸν σοφιστὴν διδάσκαλον ὄντα Περικλέους ὡς ἀσεβοῦντα εἰς τοὺς θεοὺς ἐσυκοφάντουν. Josephus contra Apion. t. II p. 492 ed. Haverkamp. : Ἀναξαγόρας δὲ Κλαζομένιος ἦν· ἀλλ' ὅτε, νομιζόντων Ἀθηναίων τὸν ἥλιον εἶναι θεόν, ὅδ' αὐτὸν ἔφη μύδρον διάπυρον, θανάτου αὐτὸν παρ' ὀλίγας ψήφους κατέγνωσαν. Olympiodorus schol. in Arist. Meteor. p. 5 a : ὡς καὶ τὸν Ἀναξαγόραν μύδρον καλέσαι τὸν ἥλιον διὰ τὸ ἄμετρον τῆς πυρώσεως. μύδρος γάρ ἐστιν ὁ πεπυρωμένος σίδηρος. διὸ καὶ ὁ Ἀναξαγόρας ἐξωστρακίσθη ἐκ τῶν Ἀθηναίων, ὡς τοιοῦτόν τι τολμήσας εἰπεῖν. ὕστερον δ' ἀνεκλήθη διὰ τῆς Περικλέους ῥητορείας. Cf. Lucian. Tim. I p. 118 ed. Hemsterhus.

(9) Diogenes Laertius lib. II, 14 : καὶ τέλος ἀποχωρήσας εἰς Λάμψακον, αὐτόθι κατέστρεψεν.

(10) Prius Anaxagoræ Clazomenii fragmenta ed. E. Schaubach. Lipsiæ 1827; Anaxagoræ Clazomenii et Diogenis Apolloniatæ fragmenta recensuit Guil. Schorn. Bonnæ 1829.

(11) Diog. Laert. II, 6 : ἀρξάμενος οὕτω τοῦ συγγράμματος, ὅ ἐστιν ἡδέως καὶ μεγαλοφρόνως ἡρμηνευμένον. Id. lib. I, 16 : οἱ δὲ ἀνὰ ἓν συγγράψαντες Μέλισσος, Παρμενίδης, Ἀναξαγόρας.

(12) Plutarchus Nic. cap. 23 : Ὁ γὰρ πρῶτος σαφέστατόν τε πάντων καὶ θαῤῥαλεώτατον περὶ σελήνης καταυγασμῶν καὶ σκιᾶς λόγον εἰς γραφὴν καταθέμενος Ἀναξαγόρας οὔτ' αὐτὸς ἦν παλαιός, οὔτε ὁ λόγος ἔνδοξος, ἀλλ' ἀπόῤῥητος ἔτι, καὶ δι' ὀλίγων καὶ μετ' εὐλαβείας τινὸς ἢ πίστεως βαδίζων. οὐ γὰρ ἠνείχοντο τοὺς φυσικοὺς καὶ μετεωρολέσχας τότε καλουμένους, ὡς εἰς αἰτίας ἀλόγους καὶ δυνάμεις ἀπρονοήτους καὶ κατηναγκασμένα πάθη διατρίβοντας (leg. ἀναφέροντας) τὸ θεῖον.

(13) Plutarchus de Exsilio cap. 17 : ἀλλ' Ἀναξαγόρας μὲν ἐν τῷ δεσμωτηρίῳ τὸν τοῦ κύκλου τετραγωνισμὸν ἔγραφε, i. e. *circuli quadraturam describebat*, quod alii non de libello, sed de formis geometricis accipiunt. Conf. Montucla *Hist. math.* I p. 105 : « Il est probable qu'Anaxagore, qui était habile géomètre, sut se préserver d'y faire un honteux naufrage; je veux dire qu'il sut éviter l'illusion dont nous avons tant d'exemples, anciens et récents, et qu'il ne donna pas dans le ridicule de proposer de vains paralogismes comme une véritable solution de ce problème. » Idem p. 113 : « On dit qu'il s'y occupa de la quadrature du cercle; on n'ajoute pas qu'il crut l'avoir trouvée, et il est probable que cela valut à la géométrie la découverte de quelques nouvelles propriétés de cette figure. »

dentia, alia prominentia esse videantur (14). » Quare Plato (15) Apol. Socr. p. 26 de pluribus Anaxagoræ libris loquitur.

Haud dubie diversus a Clazomenio fuit ille Anaxagoras cujus de Regno commentationem citat Ælianus (16) Var. Hist. IV, 14. Etenim Clazomenius, ut supra vidimus, ætatem sibi procul a republica habendam decrevit. Quid? quod magnum studium multamque operam in res non modo difficiles, sed etiam obscuras contulit. Nempe de universi ortu, de sole et luna reliquisque sideribus disputavit, ac si Platoni (17) credimus, in geometricis quoque quæstionibus versatus est.

Idem primus Homerum heroum facta moresque cecinisse ratus, ut tum virtutis tum justitiæ exempla hominibus proponeret, carmina ejus in alienam sententiam detorsit auctorque exstitit allegoricæ interpretationis quæ posterioribus sæculis invaluit. Sed jam tum ejusdem studii communione cum Metrodoro Lampsaceno conjunctus erat (18). Quum igitur vir præclara eruditione atque doctrina esset, inter veteres Theophrastus de Anaxagora commentatus erat, cujus tamen libri πρὸς Ἀναξαγόραν et περὶ τῶν Ἀναξαγόρου Laertio lib. V, 42 et Suidæ. v. Θεοφρ. (19) commemorati jam pridem interciderunt.

Reliquum est ut Clazomenii philosophi dogmata summatim exponam. Principia rerum particulas innumerabiles et admodum parvas esse dixit. Hæ sunt homœomeriæ quas Aristoteles, Lucretius aliique Anaxagoræ ascribunt. Ipse rerum semina (χρημάτων σπέρματα) appellavit e quibus universum ut aqua e guttis aut aurum e ramentis constat (20). Mens autem motum dedit immoto olim cunctarum rerum acervo, effecitque ut paullatim hæc universitas converteretur. Ac primum quidem ab exiguis initiis conversio cœpit, deinde plures materiæ partes complexa crevit, in posterum vero etiam ulterius progredietur. Hac conversione a rudi et indigesta mole, cujus partes indiscretæ et confusæ fuerant, singula procedente tempore segregata sunt. Ita factum est, ut a raris densa, a frigidis calida, a caliginosis illustria, ab humidis sicca semoverentur. Simul sol et luna et reliqua sidera orta sunt, atque aer et æther secretas sedes tenuerunt (21).

Nimirum densa et humida, frigida et obscura in inferiorem locum congregata sunt quo nunc terra est : at rara et calida, sicca et splendida in longinquam ætheris oram secesserunt. Denique aqua et aer in media mundi regione locata sunt (22). Neque tamen illa rerum separatione, tanquam securi, calida a frigidis vel frigida a

---

(14) Montucla *Hist. math.* I, p. 107 : « Il y avait en effet parmi les ouvrages d'Anaxagore un traité intitulé : *Actinographia* ou *radiorum descriptio*, qui est probablement celui dont parle l'architecte latin. »

(15) Plato Apol. Socr. p. 26 : ὥστε οὐκ εἰδέναι ὅτι τὰ Ἀναξαγόρου βιβλία τοῦ Κλαζομενίου γέμει τούτων τῶν λόγων.

(16) Ælianus Var. Hist. IV, 14 : Καὶ Ἀναξαγόρας ἐν τῷ περὶ βασιλείας φησί, χαλεπὸν χρήματα συναγείρασθαι, χαλεπώτερον δὲ φυλακὴν τούτοις περιθεῖναι. Cf. Menag. ad Diog. Laert. II, 7 et 15.

(17) Plato Amator. p. 132, A : Ἐτυγχανέτην οὖν δύο τῶν μειρακίων ἐρίζοντε· περὶ ὅτου δέ, οὐ σφόδρα κατήκουον. ἐφαινέσθην μέντοι ἢ περὶ Ἀναξαγόρου ἢ περὶ Οἰνοπίδου ἐρίζειν. κύκλους γοῦν γράφοντες ἐφαινέσθην καὶ ἐγκλίσεις τινὰς ἐμιμοῦντο τοῖν χεροῖν ἐπικλίνοντε. Proclus ad Euclid. II p. 19 ed. Basil. : Ἀναξαγόρας ὁ Κλαζομένιος πολλῶν ἐφήψατο κατὰ γεωμετρίαν.

(18) Diogenes Laertius lib. II, 11 : Δοκεῖ δὲ πρῶτος (καθά φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ) τὴν Ὁμήρου ποίησιν ἀποφήνασθαι εἶναι περὶ ἀρετῆς καὶ δικαιοσύνης· ἐπὶ πλεῖον δὲ προστῆναι τοῦ λόγου Μητρόδωρον τὸν Λαμψακηνόν, γνώριμον ὄντα αὐτοῦ, ὃν καὶ πρῶτον σπουδάσαι τοῦ ποιητοῦ περὶ τὴν φυσικὴν πραγματείαν. Tatianus adv. Græc. : Καὶ Μητρόδωρος δὲ ὁ Λαμψακηνὸς ἐν τῷ περὶ Ὁμήρου λίαν εὐήθως διείλεκται, πάντα εἰς ἀλληγορίαν μετάγων. οὔτε γὰρ Ἥραν οὔτε Ἀθηνᾶν, οὔτε Δία τοῦτ' εἶναί φησιν, ὅπερ οἱ τοὺς περιβόλους αὐτοῖς καὶ τεμένη καθιδρύσαντες νομίζουσι, φύσεως δὲ ὑποστάσεις καὶ στοιχείων διακοσμήσεις. καὶ τὸν Ἕκτορα δὲ καὶ τὸν Ἀχιλλέα δηλαδὴ καὶ τὸν Ἀγαμέμνονα καὶ πάντας ἁπαξαπλῶς Ἕλληνάς τε καὶ βαρβάρους σὺν τῇ Ἑλένῃ καὶ τῷ Πάριδι τῆς αὐτῆς φύσεως ὑπάρχοντας, χάριν οἰκονομίας εἶπε παρεισῆχθαι, οὐδενὸς ὄντος τῶν προειρημένων ἀνθρώπων. Conf. Georg. Syncell. Chron. p. 140 ed. Paris. Adde Lobeck. Aglaoph. p. 156 seq.

(19) Cf. Simplic. in Arist. Phys. fol. 6 b; 35 b.

(20) Aristoteles Metaph. I, 3 : Ἀναξαγόρας δὲ ὁ Κλαζομένιος τῇ μὲν ἡλικίᾳ πρότερος ὢν τούτου [i. e. Ἐμπεδοκλέους], τοῖς δ' ἔργοις ὕστερος, ἀπείρους εἶναί φησι τὰς ἀρχάς· σχεδὸν γὰρ ἅπαντα τὰ ὁμοιομερῆ, καθάπερ ὕδωρ ἢ πῦρ, οὕτω γίγνεσθαι καὶ ἀπόλλυσθαί φησι συγκρίσει καὶ διακρίσει μόνον· ἄλλως δ' οὔτε γίγνεσθαι οὔτ' ἀπόλλυσθαι, ἀλλὰ διαμένειν ἀΐδια. Id. de Cœlo III, 3 : Ἀναξαγόρας δ' Ἐμπεδοκλεῖ ἐναντίως λέγει περὶ τῶν στοιχείων. ὁ μὲν γὰρ πῦρ καὶ γῆν καὶ τὰ σύστοιχα τούτοις στοιχεῖά φησιν εἶναι τῶν σωμάτων. καὶ συγκεῖσθαι πάντ' ἐκ τούτων, Ἀναξαγόρας δὲ τοὐναντίον· τὰ γὰρ ὁμοιομερῆ στοιχεῖα (λέγω δ' οἷον σάρκα καὶ ὀστοῦν. καὶ τῶν τοιούτων ἕκαστον), ἀέρα δὲ καὶ πῦρ μῖγμα τούτων καὶ τῶν ἄλλων σπερμάτων πάντων· εἶναι γὰρ ἑκάτερον αὐτῶν ἐξ ἀοράτων ὁμοιομερῶν πάντων ἠθροισμένον. (Cæterum Anaxagoras promiscue σπέρματα vel χρήματα vel χρημάτων σπέρματα dixit.) His consentanea habet Aristoteles etiam de Gener. et Corrupt. I, 1 : ὁ μὲν γὰρ τὰ ὁμοιομερῆ στοιχεῖα τίθησιν, οἷον ὀστοῦν καὶ σάρκα καὶ μυελὸν καὶ τῶν ἄλλων ὧν ἑκάστου συνώνυμον τὸ μέρος ἐστίν. Cf. fragm. 1; item Plutarch. de plac. ph. I, 3 et Lucret. I, 830 seq.

(21) Cf. fragm. 6.

(22) Diogenes Laertius II, 8 : ἀρχὰς δὲ τὰς ὁμοιομερείας. καθάπερ γὰρ ἐκ τῶν ψηγμάτων λεγομένων τὸν χρυσὸν συνεστάναι, οὕτως ἐκ τῶν ὁμοιομερῶν μικρῶν σωμάτων τὸ πᾶν συγκεκρίσθαι. καὶ νοῦν μὲν ἀρχὴν κινήσεως· τῶν δὲ σωμάτων τὰ μὲν βαρέα τὸν κάτω τόπον, ὡς τὴν γῆν· τὰ δὲ κοῦφα τὸν

calidis sunt abrupta, sed quemadmodum antea sic etiam nunc omnia cohærent (23). Verum quamvis hæc discreta sint aliaque quotidie discernantur, tamen materia neque generatione augeri neque minui interitu potest (24). Cæterum nihil neque fit neque interit, sed ex iis quæ sunt rebus omnia miscentur ab iisque discernuntur. Ita rectius pro ortu misturam, pro interitu separationem dixeris (25). Lunam habitari putavit collesque et valles habere (26).

Initio ferebantur sidera circa polum qui erat in mundi quasi culmine. Quum vero hoc modo omnes terræ partes et coli et habitari pariter possent, contigit, ut terra versus meridiem inclinaretur et polus sub septentrionibus constitueretur, ubi etiam nunc conspicitur (27). Nivem nigram esse contendit (28). Lacteum orbem oriri censet a sideribus quæ noctu, quo tempore terræ umbra solis radiis officit, in tenebris suam lucem emittunt (29). Ait porro cometas stellarum errantium et flammas ex se emittentium esse concursum, trajectiones autem stellarum veluti scintillas ab aere vibrari (30). Ventos gigni quando aer a sole extenuetur. Tonitrua nubium esse collisionem; fulgura confricationem itidem nubium. Terræ motus causam esse aerem terræ viscera et cavernas subeuntem (31).

Mare ortum est, quum particulæ humidæ eæque leviores in vapores conversæ sublimes abirent gravioribus in terra remanentibus. Quæ res eo valuit, ut aqua marina salis instar amare sapiat (32).

ἄνω ἐπισχεῖν, ὡς τὸ πῦρ· ὕδωρ δὲ καὶ ἀέρα τὸν μέσον. Cf. fragm. 8.

(23) Cf. fragm 13 et 16.

(24) Cf. fragm. 14 et 15.

(25) Conf. fragm. 17.

(26) Diogenes Laertius II, 8 : τὴν δὲ σελήνην οἰκήσεις ἔχειν, ἀλλὰ καὶ λόφους καὶ φάραγγας.

(27) Diogenes Laertius II, 9 : τὰ δ' ἄστρα κατ' ἀρχὰς θολοειδῶς ἐνεχθῆναι, ὥστε κατὰ κορυφὴν τῆς γῆς τὸν ἀεὶ φαινόμενον εἶναι πόλον, ὕστερον δὲ τὴν ἔγκλισιν λαβεῖν (leg. τὴν γῆν ἔγκλισιν λαβεῖν). Plutarchus de plac. phil. lib. II, 8 : Διογένης, Ἀναξαγόρας μετὰ τὸ συστῆναι τὸν κόσμον καὶ τὰ ζῷα ἐκ τῆς γῆς ἐξαγαγεῖν ἐγκλιθῆναί πως τὸν κόσμον ἐκ τοῦ αὐτομάτου ἐς τὸ μεσημβρινὸν αὐτοῦ μέρος· ἴσως ὑπὸ προνοίας, ἵνα ἃ μέν τινα ἀοίκητα γένηται, ἃ δ' οἰκητὰ μέρη τοῦ κόσμου, κατὰ ψύξιν, καὶ ἐκπύρωσιν, καὶ εὐκρασίαν.

(28) Sextus Empiricus Pyrrh. hypotyp. I, 13, 33 : νοούμενα δὲ [ἀντιτίθεμεν] φαινομένοις, ὡς ὁ Ἀναξαγόρας τῷ λευκὴν εἶναι τὴν χιόνα ἀντετίθει ὅτι ἡ χιὼν ὕδωρ ἐστὶ πεπηγός. τὸ δὲ ὕδωρ ἐστὶ μέλαν· καὶ ἡ χιὼν ἄρα μέλαινά ἐστί. Galenus de simpl. medicam. II, 1 : καί τινες καὶ τὸν Ἀναξαγόραν ἐπικαλοῦνται μάρτυρα περὶ τῆς χιόνος, ἀποφηνάμενον, ὡς οὐκ εἴη λευκή. Cicero Quæst. Acad. IV, 23 : « Anaxagoras nivem nigram dixit esse. » IV, 31 : « faciliorque erit, ut albam esse nivem probet, quam erat Anaxagoras qui id non modo ita esse negabat, sed sibi, quia sciret aquam nigram esse, unde illa concreta esset, albam ipsam esse ne videri quidem. » Lactantius Divin. Instit. III, 23 : « Quid enim dici potest de illo qui nigram dixit esse nivem? quam consequens erat, ut etiam picem albam esse diceret. » Id. VI, 3 : « Discipulus hic fortasse Anaxagoræ fuerit, cui nives atramentum fuerunt. »

(29) Aristoteles Meteor. I, 8 : Οἱ δὲ περὶ Ἀναξαγόραν καὶ Δημόκριτον φῶς εἶναι τὸ γάλα λέγουσιν ἄστρων τινῶν· τὸν γὰρ ἥλιον ὑπὸ τὴν γῆν φερόμενον οὐχ ὁρᾶν ἔνια τῶν ἄστρων. ὅσα μὲν οὖν ὁρᾶται ὑπ' αὐτοῦ, τούτων μὲν οὐ φαίνεσθαι τὸ φῶς· κωλύεσθαι γὰρ ὑπὸ τῶν τοῦ ἡλίου ἀκτίνων. ὅσοις δὲ ἀντιφράττει ἡ γῆ, ὥστε μὴ ὁρᾶσθαι ὑπὸ τοῦ ἡλίου, τὸ τοιούτων οἰκεῖον φῶς φασιν εἶναι τὸ γάλα. Cf. Alex. Aphrodis. ad h. l. Plutarchus de Placit. phil. III, 1 : Ἀναξαγόρας τὴν σκιὰν τῆς γῆς κατὰ τοῦτο τὸ μέρος ἵστασθαι τοῦ οὐρανοῦ, ὅταν ὑπὸ τὴν γῆν ὁ ἥλιος γινόμενος μὴ πάντα φωτίζῃ. Diogenes Laert. lib. II, 9 : καὶ τὸν γαλαξίαν ἀνάκλασιν εἶναι φωτὸς ἡλιακοῦ, μὴ καταλαμπομένων τῶν ἄστρων. Sic et Hippolytus Refut. Hæres. p. 15 ed. Miller. ubi pro καταλαμβανομένων leg. καταλαμπομένων. Olympiodorus comment. in Arist. meteor. p. 15 b : τρίτη δόξα Ἀναξαγόρου καὶ Δημοκρίτου. Οὗτοί φασι τὸν γαλαξίαν εἶναι τὸ ἴδιον φῶς τῶν ἀστέρων τῶν μὴ φωτιζομένων ὑπὸ τοῦ ἡλίου. Ἔχουσι γάρ, φησί, τὰ ἄστρα τὸ ἴδιον φῶς καὶ ἐπίκτητον τὸ ἀπὸ τοῦ ἡλίου. καὶ δηλοῖ ἡ σελήνη. ταύτης γὰρ ἕτερον μὲν τὸ ἴδιον φῶς, ἕτερον δὲ τὸ ἀφ' ἡλίου. τὸ γὰρ ἴδιον αὐτῆς φῶς ἀνθρακῶδές ἐστιν, ὡς δηλοῖ ἡμῖν ἡ ἔλλειψις αὐτῆς. Ἀλλ' οὐ πάντα, φησί, τὸ ἐπίκτητον δέχονται. Τὰ οὖν μὴ δεχόμενα ἐκεῖνα τὸν κύκλον τὸν γαλαξίαν ἀπεργάζονται. Id p. 16 a : ἐντεῦθεν ἡ τρίτη δόξα ἡ λέγουσα ἴδιον φῶς τινων εἶναι ἄστρων τὸν γαλαξίαν τῶν μὴ ὑπὸ ἡλίου φωτιζομένων.

(30) Diogenes Laertius lib. II, 9 : τοὺς δὲ κομήτας σύνοδον πλανητῶν φλόγας ἀφιέντων· τούς τε διᾴττοντας οἷον σπινθῆρας ἀπὸ τοῦ ἀέρος ἀποπάλλεσθαι.

(31) Diogenes Laertius lib. II, 9 : ἀνέμους γίνεσθαι λεπτυνομένου τοῦ ἀέρος ὑπὸ τοῦ ἡλίου· βροντὰς σύγκρουσιν νεφῶν· ἀστραπὰς ἔκτριψιν νεφῶν· σεισμὸν ὑπονόστησιν ἀέρος εἰς γῆν. Plutarchus de Plac. phil. III, 15 : ἀέρος ὑποδύσει, τῇ μὲν πυκνότητι τῆς ἐπιφανείας προσπίπτοντος, τῷ δ' ἔκκρισιν λαβεῖν μὴ δύνασθαι τρόμῳ τὸ περιέχον κραδαίνοντος. Hippolytus Refut. Hæres. p. 15 : σεισμοὺς δὲ γίνεσθαι τοῦ ἄνωθεν ἀέρος εἰς τὸ ὑπὸ γῆν ἐμπίπτοντος· τούτου γὰρ κινουμένου καὶ την ὀχουμένην γῆν ὑπ' αὐτοῦ σαλεύεσθαι. Aristot. Meteor. II, 7 : Ἀναξαγόρας μὲν οὖν φησι τὸν αἰθέρα πεφυκότα φέρεσθαι ἄνω, ἐμπίπτοντα εἰς τὰ κάτω τῆς γῆς καὶ τὰ κοῖλα κινεῖν αὐτήν· τὰ μὲν γὰρ ἄνω συναληλίφθαι διὰ τοῦ ὄμβρου, ἐπεὶ φύσει γε πᾶσαν ὁμοίως εἶναι σομφήν, ὡς ὄντος τοῦ μὲν ἄνω, τοῦ δὲ κάτω τῆς ὅλης σφαίρας, καὶ ἄνω μὲν τούτου ὄντος τοῦ μορίου, ἐφ' ᾧ τυγχάνομεν οἰκοῦντες, κάτω δὲ θατέρου. Ad quem locum Alexander Aphrod. p. 106 b : Ἔστι δὲ ἡ μὲν Ἀναξαγόρου δόξα τοιαύτη· φησὶ τὸν αἰθέρα πεφυκότα φέρεσθαι ἄνω, ἐμπίπτοντας δὲ εἰς τὰ κάτω τῆς γῆς, ἄνω λέγων τὴν ἐπιφάνειαν ἐφ' ἧς οἰκοῦμεν ἡμεῖς, κάτω δὲ τὸ ὑπὸ τὴν γῆν, καὶ ἐκείνην τὴν ἐπιφάνειαν, ὧν τὴν μὲν ἐφ' ἧς ἡμεῖς οἰκοῦμεν συναληλίφθαι τε διὰ τοῦ ὄμβρου καὶ ἡνῶσθαι, τὴν δὲ κάτω σομφήν τε εἶναι καὶ ἔχουσαν διαστήματα· πᾶσαν γὰρ εἶναι τὴν γῆν σομφὴν φύσει· τὸν οὖν αἰθέρα τὸν ὑπὸ τῇ γῇ πεφυκότα ἄνω φέρεσθαι εἰς τὰ ὑπὲρ ἡμᾶς, ἐν τῇ ἀνόδῳ ἐμπίπτοντα εἰς τὰ κοῖλα καὶ σομφὰ τῆς γῆς, κινεῖν αὐτήν. καὶ οὕτω γίνεσθαι τοὺς σεισμούς. ὡς οὔσης δὲ τῆς γῆς πλατείας, καὶ διὰ τοῦτο ἐποχουμένης τῷ ὑποκειμένῳ ἀέρι, καὶ μενούσης ἔνθα ἐστί, λέγει ταῦτα.

(32) Diogenes Laertius lib. II, 8 : ἐπὶ τῆς γῆς πλατείας οὔσης τὴν θάλασσαν ὑποστῆναι, διατμισθέντων ὑπὸ τοῦ ἡλίου τῶν ὑγρῶν. Hippolytus Refut. Hæres. p. 15 : τῶν δ' ἐπὶ γῆς ὑγρῶν τὴν μὲν θάλασσαν ὑπάρξαι, τά τε ἐν αὐτῇ ὕδατα ἐξατμισθέντα ὑποστάντα οὕτως γεγονέναι, καὶ ἀπὸ τῶν καταῤ-

Animalia primum ex humore et calore terràque exstiterunt, postea ex se invicem nata sunt (33). « Illud quoque, inquit Censorinus cap. V, ambiguam facit inter auctores opinionem, utrumne ex patris modo semine partus nascatur, ut Diogenes et Hippon Stoicique scripserunt, an etiam ex matris, quod Anaxagoræ et Alcmæoni nec non Parmenidi Empedoclique et Epicuro visum est. » Idem cap. VI : « E dextris partibus profuso semine mares gigni, ut e lævis feminas Anaxagoras Empedoclesque consentiunt (34) ».

Non solum animalia, sed omnes res respirant eaque ratione aluntur (35). Plantas originem accepisse censet a seminibus quæ ex aere una cum aqua in terram deciderunt, unde sumtis viribus enascuntur (36). Mentem inesse docuit plantis quas animantes esse judicat (37). Mens autem omnis similis est et major et minor (38). Somnum ad corpus, non ad animum pertinere statuit (39). Vox auditur, quod spiritus aere denso repercutitur (40). Aer sole interdiu calefactus stridet et obstrepit, noctu requiescit, quum omnis calor absit. Igitur horis nocturnis quibus nullus est strepitus audiri cuncta melius quam diurnis possunt (41). Acutorum morborum causam Clazomenio philosopho placet esse fel, quod abundans in pulmonem, in venas atque in latera defluit (42). Idem cum Stoicis Fortunam esse dixit causam quæ humana ratiocinatione cognosci non posset. Fieri enim alia necessario, alia fato, alia consulto, alia forte fortuna, alia casu (43). Sed ipsa fragmenta jam proponemus.

ῥυσάντων ποταμῶν. Plutarchus de plac. philos. III, 16 : Ἀναξαγόρας τοῦ κατ' ἀρχὴν λιμνάζοντος ὑγροῦ περικαέντος ὑπὸ τῆς ἡλιακῆς περιφορᾶς, καὶ τοῦ λιπαροῦ ἐξατμισθέντος, εἰς ἁλυκίδα καὶ πικρίαν τὸ λοιπὸν ὑποστῆναι.

(33) Diogenes Laertius lib. II, 9 : ζῷα γενέσθαι ἐξ ὑγροῦ καὶ θερμοῦ καὶ γεώδους· ὕστερον δὲ ἐξ ἀλλήλων.

(34) Aristoteles de generat. animal. IV, 1 : Φασὶ γὰρ οἱ μὲν ἐν τοῖς σπέρμασιν εἶναι ταύτην τὴν ἐναντίωσιν εὐθύς, οἷον Ἀναξαγόρας καὶ ἔνιοι τῶν φυσιολόγων. γίνεσθαί τε γὰρ ἐκ τοῦ ἄῤῥενος τὸ σπέρμα, τὸ δὲ θῆλυ παρέχειν τὸν τόπον. καὶ τὸ μὲν ἄῤῥεν εἶναι ἐκ τῶν δεξιῶν, τὸ δὲ θῆλυ ἐκ τῶν ἀριστερῶν, καὶ τῆς ὑστέρας τὰ μὲν ἄῤῥενα ἐν τοῖς δεξιοῖς εἶναι, τὰ δὲ θήλεα ἐν τοῖς ἀριστεροῖς. Philoponus ad h. l. p. 83 b : Δεῖ δὲ ἡμᾶς εἰδέναι, ὅτι καὶ οὗτος ἐν τῷ σπέρματι ἐνεργείᾳ εἶναι ἔλεγε τὰ μόρια, ἀναίσθητα δὲ διὰ μικρότητα. Plutarchus de Plac. phil. V, 7 : Ἀναξαγόρας, Παρμενίδης τὰ μὲν ἐκ τῶν δεξιῶν καταβάλλεσθαι εἰς τὰ δεξιὰ μέρη τῆς μήτρας, τὰ δ' ἐκ τῶν ἀριστερῶν εἰς τὰ ἀριστερά· εἰ δ' ἐναλλαγῇ τὰ τῆς καταβολῆς, γίνεσθαι θήλεα. Diogenes Laertius lib. II, 9 : καὶ ἄῤῥενα μὲν ἀπὸ τῶν δεξιῶν, θήλεα δὲ ἀπὸ ἀριστερῶν. Hippolytus Refut. Hæres. p. 15 : καὶ ἄῤῥενας μὲν γίνεσθαι, ὅταν ἀπὸ τῶν δεξιῶν μερῶν ἀποκριθὲν τὸ σπέρμα τοῖς δεξιοῖς μέρεσι τῆς μήτρας κολληθῇ, τὰ δὲ θήλεα κατὰ τοὐναντίον.

(35) Aristoteles de Respiratione 2 : Ἀναξαγόρας δὲ καὶ Διογένης πάντα φάσκοντες ἀναπνεῖν, περὶ τῶν ἰχθύων καὶ τῶν ὀστρέων λέγουσι τίνα τρόπον ἀναπνέουσι, καί φησιν Ἀναξαγόρας μέν, ὅταν ἀφῶσι τὸ ὕδωρ διὰ τῶν βραγχίων, τὸν ἐν τῷ στόματι γινόμενον ἀέρα ἕλκοντας ἀναπνεῖν τοὺς ἰχθῦς. οὐ γὰρ εἶναι κενὸν οὐδέν. κτλ. Id. de Plantis I, 2 : Ἀναξαγόρας γὰρ εἶπε ταῦτα ἔχειν καὶ πνοήν, ubi loquitur de plantis.

(36) Theophrastus Hist. plant. III, 2 : Ἀναξαγόρας μὲν τὸν ἀέρα πάντων φάσκων ἔχειν σπέρματα· καὶ ταῦτα συγκαταφερόμενα τῷ ὕδατι γεννᾶν τὰ φυτά. Arist. de Plantis I, 2 : εἶπε δὲ Ἀναξαγόρας, ὅτι ἡ ὑγρότης τούτων ἐστὶν ἀπὸ τῆς γῆς. καὶ διὰ τοῦτο ἔφη πρὸς Λεχίνεον, ὅτι ἡ γῆ μήτηρ μέν ἐστι τῶν φυτῶν, ὁ δὲ ἥλιος πατήρ.

(37) Aristoteles de Plantis I, 1 : Ὁ δὲ Ἀναξαγόρας καὶ ὁ Δημόκριτος καὶ ὁ Ἐμπεδοκλῆς, καὶ νοῦν καὶ γνῶσιν ἔχειν εἶπον τὰ φυτά. Ibid. : Ἀναξαγόρας μὲν οὖν καὶ Ἐμπεδοκλῆς, ἐπιθυμίᾳ ταῦτα κινεῖσθαι λέγουσιν, αἰσθάνεσθαί τε καὶ λυπεῖσθαι καὶ ἥδεσθαι διαβεβαιοῦνται· ὧν ὁ μὲν Ἀναξαγόρας καὶ ζῷα εἶναι καὶ ἥδεσθαι καὶ λυπεῖσθαι εἶπε, τῇ τε ἀποῤῥοῇ τῶν φύλλων καὶ τῇ αὐξήσει τοῦτο ἐκλαμβάνων. Cf. Aristot. de Anima I, 2. Plutarch. Quæst. nat. 1, vol. XIII p. 1.

(38) Vid. fragm. 6. Cæterum mentem (νοῦν) et animam (ψυχὴν) promiscue videtur dixisse. Aristot. de Anima I, 2 : ἑτέρωθι δὲ τὸν νοῦν εἶναι τὸν αὐτον τῇ ψυχῇ. Ibid. : Ἀναξαγόρας δ' ἔοικε μὲν ἕτερον λέγειν ψυχήν τε καὶ νοῦν, ὥσπερ εἴπομεν καὶ πρότερον. χρῆται δ' ἀμφοῖν ὡς μιᾷ φύσει. Cf. Plato Cratyl. p. 400, A. Philop. ad Arist. de Anim. cap. 1 et 7.

(39) Plutarchus de Plac. phil. IV, 35 : Ἀναξαγόρας δὲ κατὰ κοπον τῆς σωματικῆς ἐνεργείας γίνεσθαι τὸν ὕπνον· σωματικον γὰρ εἶναι τὸ πάθος, οὐ ψυχικόν.

(40) Vid. Plutarch. de Plac. phil. IV, 19.

(41) Vid. Aristot. problem. XI, 33; Plutarch. Symposiac. VIII, 3, vol. XI p. 355.

(42) Aristoteles de Part. anim. IV, 2 : Οὐκ ὀρθῶς δ' ἐοίκασιν οἱ περὶ Ἀναξαγόραν ὑπολαμβάνειν ὡς αἰτίαν οὖσαν τῶν ὀξέων νοσημάτων [τὴν χολήν]· ὑπερβάλλουσαν γὰρ ἀποῤῥαίνειν πρός τε τὸν πνεύμονα καὶ τὰς φλέβας καὶ τὰς πλευράς.

(43) Plutarch. de Plac. ph. I, 29 : Ἀναξαγόρας καὶ οἱ Στωϊκοὶ ἄδηλον αἰτίαν ἀνθρωπίνῳ λογισμῷ [τὴν τύχην]. ἃ μὲν γὰρ εἶναι κατ' ἀνάγκην, ἃ δὲ καθ' εἱμαρμένην, ἃ δὲ κατὰ προαίρεσιν, ἃ δὲ κατὰ τύχην, ἃ δὲ κατὰ τὸ αὐτόματον.

ΑΝΑΞΑΓΟΡΟΥ ΤΟΥ ΚΛΑΖΟΜΕΝΙΟΥ

ΑΠΟΣΠΑΣΜΑΤΙΑ.

Hæc de ejus placitis breviter dicta sufficiant : reliqua e fragminibus intelliguntur.

1. Ὁμοῦ πάντα χρήματα ἦν, ἄπειρα καὶ πλῆθος καὶ σμικρότητα· καὶ γὰρ τὸ σμικρὸν ἄπειρον ἦν. Καὶ πάντων ὁμοῦ ἐόντων οὐδὲν ἔνδηλον ἦν ὑπὸ σμικρότητος· πάντα γὰρ ἀήρ τε καὶ αἰθὴρ κατεῖχε, ἀμφότερα ἄπειρα ἐόντα· ταῦτα γὰρ μέγιστα ἔνεστι ἐν τοῖσι σύμπασι καὶ πλήθεϊ καὶ μεγάθεϊ.

(Simplicius Comment. in Arist. Phys. p. 33 b. qui hoc libri Περὶ φύσεως initium fuisse testatur : Ἀναξαγόρας λέγων ἀπ' ἀρχῆς· Ὁμοῦ πάντα κτλ. Idem de Cœl. fol. 150 : λέγει δὲ Ἀναξαγόρας ἀρχόμενος τοῦ συγγράμματος· ὁμοῦ χρήματα ἦν, ἄπειρα πάντα καὶ πλ. κτλ Plato Phæd. 17 : ταχὺ ἂν τὸ τοῦ Ἀναξαγόρου γεγονὸς εἴη, ὁμοῦ πάντα χρήματα, ubi vid. Heindorf. et Wyttenbach. Adde Valckenar. Diatrib. in Eurip. fragm. p. 40. Cf. Plat. Gorg. p. 465 D ; Aristot. phys. I, 5; Id. Metaph. III, 4. Aliter Diogenes Laertius lib. II, 3 operis principium citat, cujus verba sunt : ἀρξάμενος (ὁ Ἀναξαγόρας) οὕτω τοῦ συγγράμματος, ὅ ἐστιν ἡδέως καὶ μεγαλοφρόνως ἑρμηνευόμενον· πάντα χρήματα ἦν ὁμοῦ, εἶτα νοῦς ἐλθὼν αὐτὰ διεκόσμησε. Hunc multa omisisse clausulamque εἶτα νόος κτλ. ex alio loco huc transtulisse nemo non videt. Quod autem Simplicius in Arist. Phys. pag. 106 a. affert, dicens : οὕτως ἤρξατο τοῦ συγγράμματος· « ἦν ὁμοῦ πάντα χρήματα, ὥστε ὁτιοῦν οἷον τὸν ἄρτον τόνδε καὶ τῆς σαρκὸς τῆσδε καὶ τοῦδε τοῦ ὀστοῦ μῖγμα εἶναι ὁμοίως τῷ παντί, » id excepto Anaxagoræ effato ἦν ὁμοῦ πάντα χρήματα nihil nisi ipsius interpretis explicationem esse apparet. Postrema ταῦτα γὰρ μέγιστα κτλ. ad eum qui et olim fuit et nunc est semperque erit rerum statum referenda. Semper enim aeris et ætheris semina prævalent.)

2. Καὶ γὰρ ὁ ἀήρ τε καὶ ὁ αἰθὴρ ἀποκρίνεται ἀπὸ τοῦ τὰ πολλὰ περιέχοντος· καὶ τό γε περιέχον ἄπειρόν ἐστι τὸ πλῆθος.

(Simplicius Comment. in Arist. Phys. fol. 33 b. Scripsi cum Schornio ἀπὸ τοῦ τὰ πολλὰ περιέχοντος : vulgo ἀπὸ τοῦ περιέχοντος τοῦ πολλοῦ. Esse inter hæc et præcedentia exiguum intervallum sequitur e Simplicii verbis : καὶ μετ' ὀλίγον. Cæterum πλῆθος hoc loco non est multitudo, sed *magnitudo*, ut apud Herodotum lib. I, 203 et 204.)

3. Τουτέων δὲ οὕτως ἐχόντων χρὴ δοκέειν ἐνεῖναι πολλά τε καὶ παντοῖα ἐν πᾶσι τοῖσι συγκρινομένοισι καὶ σπέρματα πάντων χρημάτων καὶ ἰδέας παντοίας ἔχοντα καὶ χροιὰς καὶ ἡδονάς.

(Simplicius Comment. in Arist. Phys. fol. 33 b : καὶ μετ' ὀλίγα· τουτέων δὲ κτλ. Posui ἐνεῖναι quod paulo inferius exhibet Simplicius, licet hîc εἶναι exaraverit. Idem ἐνεῖναι præbet de Cœlo fol. 150.)

4. Πρὶν δὲ ἀποκριθῆναι ταῦτα, πάντων ὁμοῦ ἐόντων οὐδὲ χροιὴ ἔνδηλος ἦν οὐδεμίη· ἀπεκώλυε γὰρ ἡ σύμμιξις ἁπάντων χρημάτων τοῦ τε διεροῦ καὶ τοῦ ξηροῦ καὶ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ καὶ τοῦ λαμπροῦ καὶ τοῦ ζοφεροῦ καὶ γῆς πολλῆς ἐνεούσης καὶ σπερμάτων ἀπείρων πλῆθος οὐδὲν ἐοικότων ἀλλήλοισι· οὐδὲ γὰρ τῶν ἄλλων οὐδὲν ἔοικε τῷ ἑτέρῳ τὸ ἕτερον. Τουτέων δὲ οὕτως ἐχόντων ἐν τῷ σύμπαντι χρὴ δοκέειν ἓν εἶναι πάντα χρήματα.

(Simplicius Comment. in Arist. Phys. fol. 33 b : πρὶν δὲ ἀποκριθῆναι, φησί, πάντων ὁμοῦ κτλ. Inserui autem ταῦτα e fol. 8 a.)

5. Ἐν παντὶ παντὸς μοῖρα ἔνεστι πλὴν νόου· ἔστι οἷσι δὲ καὶ νόος ἔνι.

---

1. Res omnes confusæ unum in corpus erant, innumeræ et admodum parvæ, quum parvitas ipsa incomprehensibilis esset. Et in hac quidem omnium mistura nihil propter rerum exiguitatem exstabat atque apparebat : cuncta enim aer et æther, ambo infiniti, pervagabantur : quippe hi universis immixti partium multitudine et magnitudine cætera superant.

2. Etenim aer atque æther secernitur a cœlo quod rerum multitudinem ambit : cœlum vero immensæ magnitudinis est.

3. Quæ quum ita sint, existimandum est, inesse multa et varia in omni ista congerie et semina omnium rerum et formas varias et colores et affectiones habentia.

4. Antequam vero hæc secernerentur, in isto cunctarum rerum acervo ne color quidem ullus conspiciebatur : obstabat enim omnium confusio, humoris et siccitatis, caloris et frigoris, lucis et caliginis multarumque terræ particularum ac seminum innumerorum inter se dissimilium : quippe ne cæterarum quidem rerum ulla alii nunc similis est. Quæ quum ita sint, putandum est in hac universitate unum esse omnia.

5. In quavis re omnis materiæ particula inest præter mentem : nonnullis vero etiam mens inest.

(Simplicius Comment. in Arist. Phys. p. 35 a. Cf. idem pag. 37 a. et fragm. 6. Sensus est : « in singulis universa vel in omnibus omnia insunt. » Similiter Simplicius in Aristot. de Cœl. p. 149 b : ἐν παντὶ δεῖ νομίζειν ὑπάρχειν πάντα χρήματα, quæ tamen non ipsa Anaxagoræ verba sunt).

6. Τὰ μὲν ἄλλα παντὸς μοῖραν μετέχει, νόος δέ ἐστι ἄπειρον καὶ αὐτοκρατὲς καὶ μέμικται οὐδενὶ χρήματι, ἀλλὰ μοῦνος αὐτὸς ἐφ' ἑωυτοῦ ἐστι. Εἰ μὴ γὰρ ἐφ' ἑωυτοῦ ἦν, ἀλλά τεῳ ἐμέμικτο ἄλλῳ, μετεῖχε ἂν ἁπάντων χρημάτων, εἰ ἐμέμικτό τεῳ· ἐν παντὶ γὰρ παντὸς μοῖρα ἔνεστι, ὥσπερ ἐν τοῖσι πρόσθεν μοι λέλεκται· καὶ ἐκώλυε ἂν αὐτὸν τὰ συμμεμιγμένα, ὥστε μηδενὸς χρήματος κρατέειν ὁμοίως, ὡς καὶ μοῦνον ἐόντα ἐφ' ἑωυτοῦ. Ἔστι γὰρ λεπτότατόν τε πάντων χρημάτων καὶ καθαρώτατον, καὶ γνώμην γε περὶ παντὸς πᾶσαν ἴσχει καὶ ἰσχύει μέγιστον. Ὅσα τε ψυχὴν ἔχει καὶ τὰ μέζω καὶ τὰ ἐλάσσω, πάντων νόος κρατέει· καὶ τῆς περιχωρήσιος τῆς συμπάσης νόος ἐκράτησε, ὥστε περιχωρῆσαι τὴν ἀρχήν. Καὶ πρῶτον ἀπὸ τοῦ σμικροῦ ἤρξατο περιχωρῆσαι, ἔπειτε πλέον περιεχώρεε, καὶ περιχωρήσει ἐπὶ πλέον. Καὶ τὰ συμμισγόμενά τε καὶ ἀποκρινόμενα καὶ διακρινόμενα, πάντα ἔγνω νόος· καὶ ὁκοῖα ἔμελλε ἔσεσθαι καὶ ὁκοῖα ἦν καὶ ἄσσα νῦν ἔστι καὶ ὁκοῖα ἔσται, πάντα διεκόσμησε νόος, καὶ τὴν περιχώρησιν ταύτην, ἣν νῦν περιχωρέει τά τε ἄστρα καὶ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ὁ ἀὴρ καὶ ὁ αἰθήρ, οἱ ἀποκρινόμενοι. Ἡ δὲ περιχώρησις αὕτη ἐποίησε ἀποκρίνεσθαι, καὶ ἀποκρίνεται ἀπό τε τοῦ ἀραιοῦ τὸ πυκνὸν καὶ ἀπὸ τοῦ ψυχροῦ τὸ θερμὸν καὶ ἀπὸ τοῦ ζοφεροῦ τὸ λαμπρὸν καὶ ἀπὸ τοῦ διεροῦ τὸ ξηρόν. Μοῖραι δὲ πολλαὶ πολλῶν εἰσι· παντάπασι δὲ οὐδὲν ἀποκρίνεται οὐδὲ διακρίνεται τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου πλὴν νόου. Νόος δὲ πᾶς ὅμοιός ἐστι καὶ ὁ μέζων καὶ ὁ ἐλάσσων· ἕτερον δὲ οὐδέν ἐστι ὅμοιον οὐδενὶ ἑτέρῳ ἀπείρων ἐόντων, ἀλλ' ὅτεων πλεῖστα ἔνι, ταῦτα ἐνδηλότατα ἓν ἕκαστόν ἐστι καὶ ἦν.

(Simplicius Comment. In Arist. Phys. fol. 33 b, 35 a. Post λέλεκται vulgo legitur ἀνεκώλυεν quod mutavi in ἐκώλυεν ἄν. Præterea præeunte Schornio reposui ὅσα τε ψυχὴν ἔχει; vulgo ὅσα γε ψ. ἐ. In sequentibus Ritteri emendationem ἔπειτε πλέον περιεχώρεε recepi pro vulgata scriptura ἐπεὶ δὲ πλέον περιχωρεῖ. Extrema apud Simplicium sic eduntur : ἀλλ' ὅτῳ πλεῖστα ἔνι κτλ. quæ Prellerum secutus converti in ἀλλ' ὅτεων πλεῖστα ἔνι κτλ.)

7. Ἐπεὶ ἤρξατο ὁ νόος κινέειν, ἀπὸ τοῦ κινεομένου παντὸς ἀπεκρίνετο, καὶ ὅσον ἐκίνησε ὁ νόος, πᾶν τοῦτο διεκρίθη· κινεομένων δὲ καὶ διακρινομένων ἡ περιχώρησις πολλῷ μᾶλλον ἐποίεε διακρίνεσθαι.

(Simplicius Comment. in Arist. Phys. fol. 67 a.)

8. Τὸ μὲν πυκνὸν καὶ διερὸν καὶ ψυχρὸν καὶ τὸ ζοφερὸν ἐνθάδε συνεχώρησε, ἔνθα νῦν ἡ γῆ· τὸ δὲ ἀραιὸν καὶ τὸ θερμὸν καὶ τὸ ξηρὸν καὶ τὸ λαμπρὸν ἐξεχώρησε ἐς τὸ πρόσω τοῦ αἰθέρος.

(Simplicius Comment. in Arist. Phys. fol. 38 b. Cæterum καὶ τὸ λαμπρὸν quæ verba librariorum culpa omissa sunt apud Simplicium addidi cum Schornio ex Origenis Philosoph. cap. 8.)

---

6. Reliqua omnis materiæ partem continent, mens autem infinita suique juris est neque ulli rei admixta, sed sola libera et soluta est. Nam nisi segregata ab omni concretione mortali, sed alii cuidam adjuncta esset, uni alicui addita omnium rerum consors foret; siquidem in quavis re omnis materiæ particula est, quemadmodum in præcedentibus diximus, aliaque cum aliis commixta eam impedirent, quominus ullam rem ita teneret ut sola nunc libera et soluta tenet. Est enim cunctarum rerum subtilissima et purissima, ac sententiam quamlibet de quavis re dicit plurimumque valet. Porro quæcunque animata sunt tum majora tum minora, omnia mens gubernat cœlestesque moderata est conversiones, ita ut principio universum converteretur. Ac primum quidem ab exiguis initiis conversio cœpit, deinde plures materiæ partes complexa crescebat, atque in posterum etiam ulterius progredietur. Commixta vero et secreta ac discreta omnia cognovit mens : et quæ futura erant quæque fuerunt et quæ nunc sunt quæque erunt omnia mens ordinavit conversionemque hanc qua nunc sidera et sol lunaque et aer atque æther ab indigesta mole secreti torquentur et vertuntur. Hæc autem conversio effecit, ut singula secernerentur. Ac secreta sunt a raris densa, a frigidis calida, a caliginosis illustria, ab humidis sicca. Verum multæ sunt multarum rerum partes, quia aliud ab alio neque secernitur prorsus, neque discernitur præter mentem. Jam vero mens omnis similis est et major et minor : at nihil aliud alii simile est in hac infinita rerum multitudine, sed qualia cuique semina plurima insunt, tale perspicue est et fuit.

7. Quum mens materiam movere cœpisset, ab omni parte mota reliquæ secernebantur, quantumque partium movit mens, tantum discretum est ab indigesta mole : quumque hæ particulæ moverentur ac discernerentur, conversio efficiebat, ut eo magis alia ab aliis discernerentur.

8. Densa et humida, frigida et obscura cum in locum congregata sunt quo nunc terra est : at rara et calida, sicca et splendida in longinquum ætheris locum secesserunt.

9. Ἀπὸ τουτέων ἀποκρινομένων συμπήγνυται γῆ· ἐκ μὲν γὰρ τῶν νεφελέων ὕδωρ ἀποκρίνεται, ἐκ δὲ τοῦ ὕδατος γῆ, ἐκ δὲ τῆς γῆς λίθοι συμπήγνυνται ὑπὸ τοῦ ψυχροῦ· οὗτοι δὲ ἐκχωρέουσι μᾶλλον τοῦ ὕδατος.

(Simplicius Comment. in Arist. Phys. fol. 38 b : οὕτω γάρ φησιν· ἀπὸ τουτέων κτλ. Cf. fol. 33 b, ubi legitur λίθος συμπήγνυται. Est autem ἐκ τῶν νεφελέων idem quod ἐξ ἀέρος. Sic enim Simplicius fol. 106 a : ὁρῶν οὖν πᾶν ἐκ παντὸς γινόμενον, εἰ καὶ μὴ ἀμέσως, ἀλλὰ κατὰ τάξιν, καὶ γὰρ ἐκ πυρὸς ἀὴρ καὶ ἐξ ἀέρος ὕδωρ καὶ ἐξ ὕδατος γῆ καὶ ἐκ γῆς λίθος καὶ ἐκ λίθου πάλιν πῦρ κτλ.)

10. ἀνθρώπους τε συμπαγῆναι καὶ τἄλλα ζῷα, ὅσα ψυχὴν ἔχει· καὶ τοῖσί γε ἀνθρώποισι εἶναι καὶ πόλιας συνῳκημένας καὶ ἔργα κατεσκευασμένα, ὥσπερ παρ' ἡμῖν, καὶ ἠέλιόν τε αὐτοῖσι εἶναι καὶ σελήνην καὶ τἄλλα, ὥσπερ παρ' ἡμῖν, καὶ τὴν γῆν αὐτοῖσι φύειν πολλά τε καὶ παντοῖα, ὧν ἐκεῖνοι τὰ ὀνήϊστα συνενεικάμενοι ἐς τὴν οἴκησιν χρέονται.

(Simplicius Comment. in Aristot. Phys. fol. 33 b, ubi hanc apponit explicationem : καὶ ὅτι μὲν ἑτέραν τινὰ διακόσμησιν παρὰ τὴν παρ' ἡμῖν αἰνίττεται, δηλοῖ τὸ ὥσπερ παρ' ἡμῖν οὐχ ἅπαξ εἰρημένον. Add. Diog. Laert. lib. II, 6 : τὴν σελήνην οἰκήσεις ἔχειν, ἀλλὰ καὶ λόφους καὶ φάραγγας. Conf. Simplic. fol. 8 a.)

11. Οὕτω τουτέων περιχωρεόντων τε καὶ ἀποκρινομένων ὑπὸ βίης τε καὶ ταχυτῆτος. Βίην δὲ ἡ ταχυτὴς ποιέει, ἡ δὲ ταχυτὴς αὐτέων οὐδενὶ ἔοικε χρήματι τὴν ταχυτῆτα τῶν νῦν ἐόντων χρημάτων ἐν ἀνθρώποισι, ἀλλὰ πάντως πολλαπλασίως ταχύ ἐστι.

(Simplicius Comment. in Aristot. Phys. fol. 8 a : ἄκουσον δὲ οἷα καὶ μετ' ὀλίγα φησὶν τὴν ἀμφοῖν ποιούμενος σύγκρισιν· οὕτω τούτων περιχωρούντων κτλ. qui διττὴν διάκρισιν et διακόσμησιν ab Anaxagora statui dicit. Certum est hîc disputari de motu quo cœlum et sidera olim ab indigesta mole segregata sunt. Sed eodem motu etiam nunc feruntur, quoniam durat adhuc atque adeo in æternum durabit. Verborum structuræ ἡ δὲ ταχυτὴς αὐτέων οὐδενὶ ἔοικε χρήματι τὴν ταχυτῆτα et ἡ δὲ ταχυτὴς πάντως πολλαπλασίως ταχύ ἐστι elegantem sermonem non decent, sed antiquitatis excusationem habent.)

12. Ὁ δὲ νόος ὅσα ἔσται τε καὶ νῦν ἔστι καὶ ἦν καὶ τὰ ἄλλα πάντα ἐν τῷ πολλὰ περιέχοντι καὶ ἐν τοῖσι προσκριθεῖσι καὶ ἐν τοῖσι ἀποκεκριμένοισι κάρτα διεκόσμησε.

(Simplicius Comment. in Aristot. Phys. fol. 33 b : ὅτι δὲ διττήν τινα διακόσμησιν ὑποτίθεται, τὴν μὲν νοεράν, τὴν δὲ αἰσθητήν, δῆλον μὲν καὶ ἐκ τῶν εἰρημένων, δῆλον δὲ καὶ ἐκ τῶνδε· ὁ δὲ νοῦς ὅσα ἐστί τε [cod. D ἔσται τε] κάρτα, καὶ νῦν ἔστιν, ἵνα καὶ τὰ ἄλλα πάντα ἐν τῷ πολλὰ περιέχοντι, καὶ ἐν τοῖσι προσκριθεῖσι καὶ ἐν τοῖσιν ἀποκεκριμένοισι. Locum mutilum et corruptum emendavi et supplevi e fragm. 6.)

13. Οὐ κεχώρισται τὰ ἐν τῷ ἑνὶ κόσμῳ οὐδὲ ἀποκέκοπται πελέκεϊ οὔτε τὸ θερμὸν ἀπὸ τοῦ ψυχροῦ οὔτε τὸ ψυχρὸν ἀπὸ τοῦ θερμοῦ.

(Simplicius Comment. in Arist. Phys. fol. 37 b. et 38 a. In eandem sententiam supra Anaxagoras (fragm. 6) dixit : παντάπασι δὲ οὐδὲν ἀποκρίνεται οὐδὲ διακρίνεται τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου. Cf. Simplic. in Aristotelis Phys. p. 106 b : καὶ διακρινόμενα γὰρ ταῦτα οὐκ ἀπέσπασται πάντῃ ἀπ' ἀλλήλων. Διό φησιν ὁ Ἀναξαγόρας, μηδ' ἐνδέχεσθαι πάντα διακριθῆναι.)

14. Τουτέων δὲ οὕτω διακεκριμένων γινώσκειν χρή, ὅτι πάντα οὐδὲν ἐλάσσω ἐστὶ οὐδὲ πλέω. Οὐ γὰρ ἀνυστὸν πάντων πλέω εἶναι, ἀλλὰ πάντα ἴσα αἰεί.

(Simplicius Comment. in Arist. Phys. fol. 33 b. Pro ὅτι πάντα quæ est exempli Aldini scriptura, cod. D non male habet ὅτι τὰ πάντα. De reliquo philosophus ait materiam neque generatione augeri neque minui interitu.)

---

9. Ex his secretis concrescit terra : nam e nubibus aqua secernitur, ex aqua terra; e terra lapides frigore concrescunt : hi autem magis ex aqua excedunt.

10. hominesque et reliqua animalia vitali spiritu prædita concrevisse, atque hominibus esse urbes habitatas et opera facta ut apud nos, ac solem iis esse et lunam et cætera, ut apud nos, terramque iis gignere multa et varia, e quibus illi utilissima quæque in domos comportata in rem suam convertunt.

11. His vi ac celeritate ita conversis et secretis. Vim vero celeritas efficit; celeritas autem illorum ad nullius earum quæ nunc sunt inter homines rerum similitudinem, si de earum celeritate agitur, accedit, sed omnino multo major ista celeritas est.

12. Verum mens quæcunque erunt et nunc sunt et fuerunt et reliqua omnia quæ continentur cœlo rerum multitudine instructo et quæ insunt in accretis vel jam secretis sedulo ordinavit.

13. Non separata sunt quæ uno hoc continentur mundo, neque securi abrupta calida a frigidis vel frigida a calidis.

14. His ita discretis sciendum est omnia nihilo neque pauciora esse neque plura. Etenim fieri non potest, ut plura sint universis quæ exstant, sed cuncta semper æqualia sunt.

15. Οὔτε τοῦ σμικροῦ γέ ἐστι τό γε ἐλάχιστον, ἀλλ' ἔλασσον αἰεί· τὸ γὰρ ἐὸν οὐκ ἔστι τὸ μὴ οὐκ εἶναι· οὔτε τὸ μέγιστον, ἀλλὰ καὶ τοῦ μεγάλου αἰεί ἐστι μέζον· καὶ ἴσον ἐστὶ τῷ σμικρῷ πλῆθος, πρὸς ἑωυτὸ δὲ ἕκαστόν ἐστι καὶ μέγα καὶ σμικρόν.

(Simplicius Comment. in Arist. Phys. fol. 35 a : καὶ ὅτι οὔτε τὸ ἐλάχιστον ἦν (ἐστιν cod. D) ἐν ταῖς ἀρχαῖς οὔτε τὸ μέγιστον· οὔτε γὰρ τοῦ σμικροῦ γέ (φησίν) ἐστι τό γε ἐλάχιστον κτλ. ubi γὰρ particulam Simplicius inseruit. Duplex γε in eadem sententia positum neminem offendit. Similiter Diogenes Apolloniates fragm. 6 : οὐ μέντοι ἀτρεκέως γε ὅμοιόν γ' ἐόν. Cæterum eadem verba repetit Simplicius fol. 35 b. Incisum illud τὸ γὰρ ἐὸν οὐκ ἔστι τὸ μὴ οὐκ εἶναι, i. e. *ens enim non est non esse*, vel *quod est, non est ita, ut non sit* sensum nequaquam obscurum habet. Nam si quid esset minimum, Anaxagoras arbitratur fore, ut id quod est ad nihilum redigi posset. In sequentibus οὔτε τὸ μέγιστον desideratur fol. 35 a, legitur autem fol. 35 b. Conf. Simpl. 35 a : εἰ γὰρ πᾶν ἐν παντί, καὶ πᾶν ἐκ παντὸς ἐκκρίνεται, καὶ ἀπὸ τοῦ ἐλαχίστου δοκοῦντος ἐκκριθήσεταί τι ἔλαττον ἐκείνου καὶ τὸ μέγιστον δοκοῦν ἀπό τινος ἐξεκρίθη ἑαυτοῦ μείζονος κτλ.)

16. καὶ ὅτε δὲ ἴσαι μοῖραί εἰσι τοῦ τε μεγάλου καὶ τοῦ σμικροῦ, πλῆθος καὶ οὕτως ἂν εἴη, καὶ ἐν παντὶ πάντα· οὐδὲ χωρίς ἐστι εἶναι, ἀλλὰ πάντα παντὸς μοῖραν μετέχει. Ὅτε δὲ τοὐλάχιστον μή ἐστι εἶναι, οὐκ ἂν δύναιτο χωρισθῆναι οὐδ' ἂν λίην ἀφ' ἑωυτοῦ γενέσθαι, ἀλλ' ὅκως περὶ ἀρχὴν ἦν, καὶ νῦν πάντα ὁμοῦ. Ἐν πᾶσι δὲ πολλὰ ἔνεστι καὶ τῶν ἀποκρινομένων ἴσα πλῆθος ἐν τοῖσι μέζοσί τε καὶ ἐλάσσοσι.

(Simplicius Comment. in Arist. Phys. fol. 35 a. In exemplo Aldino legitur ἀλλ' ὅπερ περὶ ἀρχὴν εἶναι, καὶ νῦν πάντα ὁμοῦ, in cod. D ὅπως περ ἀρχὴν εἶναι, sed loci sensus requirit ἀλλ' ὅκως περὶ ἀρχὴν vel περὶ τὴν ἀρχὴν ἦν, quod vulgavi.)

17. Τὸ δὲ γίνεσθαι καὶ ἀπόλλυσθαι οὐκ ὀρθῶς νομίζουσι οἱ Ἕλληνες· οὐδὲν γὰρ χρῆμα οὐδὲ γίνεται οὐδὲ ἀπόλλυται, ἀλλ' ἀπὸ ἐόντων χρημάτων συμμίσγεταί τε καὶ διακρίνεται. Καὶ οὕτως ἂν ὀρθῶς καλοῖεν τό τε γίνεσθαι συμμίσγεσθαι καὶ τὸ ἀπόλλυσθαι διακρίνεσθαι.

(Simplicius Comment. in Arist. Phys. fol. 34 b.)

---

15. Neque parvo est minimum, sed semper minus : quod enim est, non est ita, ut non sit : neque maximum est, sed et magno semper est majus : et magnum parvo magnitudine par est, per se vero unumquidque et magnum est et parvum.

16. Et quoniam æquales magni et parvi particulæ sunt, magnitudo etiam in utroque reperitur, atque in omnibus omnia insunt, neque alia ab aliis separari possunt, sed cuncta omnis materiæ partem continent. Quum vero minimum esse nequeat, non potest segregari neque a semet ipso quasi penitus avelli, sed quemadmodum principio rerum nihil non colligatum erat, sic etiam nunc omnia cohærent. In omnibus autem multa insunt, rerumque a materia secretarum tot particulæ in majoribus quot in minoribus inveniuntur.

17. At vero nascendi et moriendi vocabulis Græci non recte utuntur. Nulla enim res neque fit neque interit, sed ex iis quæ sunt rebus miscetur ab iisque discernitur. Ita rectius pro fieri dixerint misceri, pro interire autem discerni.

DE DIOGENE APOLLONIATE.

Diogenes (1), Apollothemidis filius, physicus, Apolloniæ natus est, nobilissimo Cretæ oppido (2), unde Apolloniates ab antiquis scriptoribus vocari solet. Hunc Simplicius (3) veterum philosophorum qui in naturæ obscuritate versati sunt pæne novissimum exstitisse dicit. Idem eum tam Anaxagorea quam Leucippea decreta secutum bonam doctrinæ partem ab aliis mutuatum esse testatur. Sed quantum e fragmentis colligi licet, Anaximenis placita ita exornavit, ut illa contra Anaxagoram tueretur. Quæ res eam vim habuit, ut Antisthenes Apolloniaten Anaximenis auditoribus annumeraret (4). Verum quum Anaxagoræ tempore vixerit ac post Clazomenium sapientiæ doctorem philosophatus sit, ne juvenis quidem senem Anaximenem convenire potuit. Neque vero perpetuo Apolloniæ commoratus est, sed aliquandiu Athenis habitavit, ubi Demetrius Phalereus doctissimo homini invidia presso propemodum capitis periculum illatum esse tradit (5).

In explicandis rebus naturalibus locutus est etiam de lapide qui Olympiade septuagesima octava ad Ægos flumen cœlo decidit, cujus lapsum prædixisse fertur Anaxagoras (6). Unum an plura volumina scripserit non constat. Nam etsi Diogenes Laertius lib. IX, 57 (7) unum ei opus attribuit ejusque initium affert, tamen commentarium de rerum natura auctor in plures diviserat libros, quorum secundum citat Rufus Ephesius (8) apud Galenum 2 in VI Epidem. tom. V p. 473. Hoc autem solum ingenii monumentum sub Diogenis Apolloniatæ nomine Simplicii ætate ferebatur (9), qui alia ejus scripta periisse his verbis memoriæ prodit in Aristotelis Phys. f. 32 b : ἰστέον ὡς γέγραπται πλείονα τῷ Διογένει τούτῳ συγγράμματα, ὡς αὐτὸς ἐν τῷ περὶ φύσεως ἐμνήσθη, καὶ πρὸς φυσιολόγους ἀντειρηκέναι λέγων, οὓς καλεῖ καὶ αὐτὸς σοφιστάς, καὶ μετεωρολογίας (leg. μετεωρολογίαν) γεγραφέναι, ἐν ᾗ λέγει καὶ περὶ ἀρχῆς εἰρηκέναι καὶ μέντοι καὶ περὶ ἀνθρώπου φύσεως. At fortasse non integrum de rerum natura volumen Simplicius vidit, ut putandum sit deperdita illa scripta ejusdem operis partes olim fuisse. Cæterum quamvis Cretenses Dores essent, Diogenes tamen in libris conficiendis non dorica sed ionica dialecto philosophorum ionicorum more et exemplo usus est. Qua in re ut Anaxagoram elegantia superavit, ita a posterioribus, inprimis a Democrito superatus est. Quippe paullatim Iones in solutæ orationis scriptione profecerunt. Jure igitur cultiorem Diogenis sermonem pro recentioris ætatis indicio habentes Apolloniaten paullo juniorem Clazomenio philosopho fuisse existimamus. Confirmatur hoc Sidonii Apollinaris testimonio qui carm. XV vs. 89 seqq. ait :

« Quartus Anaxagoras Thaletica dogmata servat,
sed divinum animum sentit qui fecerit orbem.
Junior huic junctus residet collega, sed idem
materiam cunctis creaturis aera credens
judicat inde deum, faceret quo cuncta, tulisse. »

Jam ut dogmata ejus paucis exponam, aerem rerum materiam esse dixit, e qua omnia fierent, sed esse compotem mentis sine qua nihil ex eo fieri posset. Quocirca aer cuncta regit et ad omnia penetrat, neque quidquam est

(1) Diogenes Laertius lib. IX, 57 : Διογένης Ἀπολλοθέμιδος Ἀπολλωνιάτης, ἀνὴρ φυσικὸς καὶ ἄγαν ἐλλόγιμος. Cf. Eudocia Violar. pag. 137.

(2) Stephanus Byzantius v. Ἀπολλωνία : εἰκοστὴ τρίτη Κρήτης, ἡ πάλαι Ἐλεύθερνα, Λίνου πατρίς. ἐκ ταύτης ὁ φυσικὸς Διογένης. Fuere autem viginti quinque ejusdem nominis oppida quæ recenset Stephanus.

(3) Simplicius in Aristot. Phys. fol. 6 a : καὶ Διογένης δὲ ὁ Ἀπολλωνιάτης σχεδὸν νεώτατος γεγονὼς τῶν περὶ ταῦτα [τὰ φυσικὰ] σχολασάντων τὰ μὲν πλεῖστα συμπεφορημένως γέγραφε, τὰ μὲν κατὰ Ἀναξαγόραν τὰ δὲ κατὰ Λεύκιππον λέγων.

(4) Diogenes Laertius lib. IX, 57 : ἤκουσε δὲ (φησὶν Ἀντισθένης) Ἀναξιμένους. ἦν δὲ ἐν τοῖς χρόνοις κατὰ Ἀναξαγόραν.

(5) Diogenes Laertius lib. IX, 57 : Τοῦτόν φησιν ὁ Φαληρεὺς Δημήτριος ἐν τῇ Σωκράτους ἀπολογίᾳ διὰ μέγαν φθόνον μικροῦ κινδυνεῦσαι Ἀθήνησιν.

(6) Stobæus Eclog. Phys. lib. I cap. 24 p. 508 ed. Heer.; tom. I p. 198 ed. Gaisf. : Διογένης κισσηροειδῆ τὰ ἄστρα, διαπνοίας δὲ αὐτὰ νομίζει τοῦ κόσμου, εἶναι δὲ διάπυρα. Συμπεριφέρεσθαι δὲ τοῖς φανεροῖς ἄστροις ἀφανεῖς λίθους καὶ παρ' αὐτὸ τοῦτ' ἀνωνύμους· πίπτοντας δὲ πολλάκις ἐπὶ τῆς γῆς σβέννυσθαι, καθάπερ τὸν ἐν Αἰγὸς ποταμοῖς πυρωδῶς κατενεχθέντα ἀστέρα πέτρινον. Cf. Plutarchus de Plac. phil. lib. II, 13. Marmor Parium epoch. 57 p. 550 et 585 ed. Müller; Diog. Laert. lib. II, 10; Plin. Hist. nat. lib. II, 58.

(7) Diog. Laert. IX, 57 : Ἀρχὴ δὲ αὐτῷ τοῦ συγγράμματος ἥδε· λόγου παντὸς κτλ. Conf. lib. VI, 81.

(8) Galenus 2 in VI Epidem. tom. V p. 473 . Ῥοῦφος δέ φησι, Διογένη τὸν Ἀπολλωνιάτην μόνον ἐναντίως ἀποφήνασθαι κατὰ τὸ περὶ φύσεως δεύτερον.

(9) Simplicius in Arist. Phys. fol. 32 b : ἐν δέ γε τῷ περὶ φύσεως, ὃ τῶν αὐτοῦ μόνον εἰς ἐμὲ ἦλθε.

quod non hujus consors sit (Vid. fragm. 6). Cavendum tamen ne cum Cicerone de Nat. deor. I, 12 putemus, Diogenem aere usum esse deo, vel cum Augustino de Civ. Dei VIII, 2 aeri eum divinam rationem tribuisse. Hoc enim non diserte dixit Apolloniates, sed dicere visus est. Falluntur præterea Nicolaus et Porphyrius qui Cretensem philosophum medium quiddam inter ignem et aerem rerum principium statuisse scripserunt (10). Neque enim dubium quin errorem ambigua philosophi oratio pepererit qui fragm. 6 de aeris varietate disputans : Καὶ ἁπάντων, inquit, τῶν ζώων δὲ ἡ ψυχὴ τὸ αὐτό ἐστι, ἀὴρ θερμότερος μὲν τοῦ ἔξω, ἐν ᾧ εἰμεν, τοῦ μέντοι παρὰ τῷ ἡλίῳ πολλὸν ψυχρότερος· ὅμοιον δὲ τοῦτο τὸ θερμὸν οὐδενὸς τῶν ζώων ἐστί. Itaque illi rati e frigore nihil oriri, solum calorem ad mundum procreandum aptum esse, Diogenem in calido aere rerum omnium fundamenta posuisse contenderunt. Quod licet aliqua ex parte ita sese habere facile concedamus, tamen a philosopho non eo quo ipsi volunt modo expressum est. Etenim Apolloniates neque calidum aerem, neque frigidum, sed omnino aerem eorum quæ exstant et gignuntur parentem nominavit. Quamobrem non est quod cum Simplicio arbitremur Nicolaum et Porphyrium quæ de Diogenis philosophia memorant e deperditis ejus scriptis tanquam reconditis atque abditis e fontibus hausisse. Porro Diogenes omnia moveri et innumerabiles esse mundos et inane infinitum esse affirmavit. Idem aerem tum spissatum tum rarefactum mundos gignere, e nihilo autem nihil exsistere, neque in nihilum corrumpi censuit. Terram rotundam appellavit quæ in medio stabilita circumfuso calore et frigore concreverit (11).

Nilus (12) Diogeni quotannis circa solstitium æstivum inundare Ægyptum videtur, quia sol aquam marinam et quidquid humidi in terra est ad se rapiat raptumque humorem in Nilum demittat. Verba ejus latine versa sic exhibet Seneca Quæst. nat. IV, 2 : « Diogenes Apolloniates ait : Sol humorem ad se rapit; hunc exsiccata tellus tum ex mari ducit, tum ex cæteris aquis. Fieri autem non potest, ut una sicca sit tellus, alia abundet. Sunt enim perforata omnia et in itinera pervia. Sicca ab humidis sumunt aliquando. Nisi aliquid terra acciperet, exaruisset. Ergo undas sol trahit : sed ex his quæ premunt maxime hæc meridiana sunt. Terra quum exaruit, plus ad se humoris adducit. Ut in lucernis oleum illo fluit ubi exuritur, sic aqua illo incumbit quo vis caloris et terræ æstuantis arcessit. Unde ergo trahitur? ex illis scilicet partibus semper hibernis, septentrionalibus, unde exundat. Ob hoc Pontus in inferum mare assidue fluit rapidus, non ut cætera maria alternatis ultro citro æstibus, in unam partem semper pronus et torrens. Quod nisi faceret, hisque itineribus quod cuique deest redderetur, quod cuique superest emitteretur : jam aut exsiccata essent omnia aut inundata. » Contra hæc Seneca : « Interrogare Diogenem libet, quare quum Pontus et amnes cuncti invicem commeent, non omnibus locis æstate majora sunt flumina? Ægyptum sol magis percoquit : itaque Nilus magis crescit. Sed in cæteris quoque terris aliqua fluminibus fit adjectio. Deinde quare ulla pars terræ sine humore est, quum omnis ad se ex aliis regionibus trahit eoque magis, quo calidior est? Deinde quare Nilus dulcis, si illi e mari unda est? Nec enim ulli flumini dulcior gustus. » Quibus tamen plerisque neque Diogenes refellitur, neque res ipsa explicatur.

De hominis natura philosophus Cretensis dedita opera egit. Quo in genere ad nostram ætatem mansit egregium fragmentum quod est ap. Aristotelem Hist. anim. lib. III, 2, 4 (Vid. fragm. 8), ubi de venis, quas ideo per totum corpus pertinere credidit Diogenes, ut earum ope aer calidior et mente præditus in omnes animalium partes derivatus omnium et sensuum et cogitationum causa exsisteret. Quæ de sensibus docuit Apolloniates persequitur Theophrastus lib. de Sensu cap. 39, 42 et 44, cui adde Plutarchum Plac. phil. IV, 16 et 18.

Placita ejus breviter perstrinxi; reliqua e fragmentis (13) quæ omni adhibita diligentia recensui et interpretatus sum cognoscentur.

(10) Simplicius ad Aristotelis Phys. fol. 32 b : Ἐπειδὴ δὲ ἡ μὲν τῶν πλειόνων ἱστορία Διογένην τὸν Ἀπολλωνιάτην ὁμοίως Ἀναξιμένει τὸν ἀέρα τίθεσθαι τὸ πρῶτον στοιχεῖόν φησι, Νικόλαος δὲ ἐν τῇ περὶ θεῶν πραγματείᾳ τοῦτον ἱστορεῖ τὸ μεταξὺ πυρὸς καὶ ἀέρος τὴν ἀρχὴν ἀποφήνασθαι καὶ τῷ Νικολάῳ συνηκολούθησεν ὁ φιλομαθέστατος τῶν φιλοσόφων Πορφύριος, ἰστέον ὡς γέγραπται πλείονα τῷ Διογένει τούτῳ συγγράμματα κτλ.

(11) Diogenes Laertius lib. IX, 57 : Στοιχεῖον εἶναι τὸν ἀέρα, κόσμους ἀπείρους, καὶ κενὸν ἄπειρον, τόν τε ἀέρα πυκνούμενον καὶ ἀραιούμενον γεννητικὸν εἶναι τῶν κόσμων. Οὐδὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, οὐδὲ εἰς τὸ μὴ ὂν φθείρεσθαι. Τὴν γῆν στρογγύλην, ἐρηρεισμένην ἐν τῷ μέσῳ, τὴν σύστασιν εἰληφυῖαν κατὰ τὴν ἐκ τοῦ θερμοῦ περιφορὰν καὶ πῆξιν ὑπὸ τοῦ ψυχροῦ. Cf. Hesychius Milesius p. 20 ed. Orell. Eusebius Præp. Ev. lib. I cap. 8 : Διογένης ὁ Ἀπολλωνιάτης ἀέρα ὑφίσταται στοιχεῖον, κινεῖσθαι δὲ τὰ πάντα κτλ.

(12) Schol. Apoll. Rhod. IV, 269 : Διογένης ὁ Ἀπολλωνιάτης ὑπὸ ἡλίου ἁρπάζεσθαι τὸ ὕδωρ τῆς θαλάσσης, ὃ τότε εἰς τὸν Νεῖλον καταφέρεσθαι· οἴεται γὰρ πληροῦσθαι τὸν Νεῖλον ἐν τῷ θέρει διὰ τὸ τὸν ἥλιον εἰς τοῦτον τὰς ἀπὸ γῆς ἰκμάδας τρέπειν.

(13) Anaxagoræ Clazomenii et Diogenis Apolloniatæ fragmenta recensuit Guil. Schorn. Bonnæ 1829. Diogenis Apolloniatæ fragmenta edidit Frid. Panzerbieter. Lipsiæ 1830.

ΔΙΟΓΕΝΟΥΣ ΤΟΥ ΑΠΟΛΛΩΝΙΑΤΟΥ

ΑΠΟΣΠΑΣΜΑΤΙΑ.

1. Λόγου παντὸς ἀρχόμενον δοκέει μοι χρεὼν εἶναι τὴν ἀρχὴν ἀναμφισβήτητον παρέχεσθαι, τὴν δὲ ἑρμηνηίην ἁπλῆν καὶ σεμνήν.

(Diogenes Laertius lib. IX, 57 : Ἀρχὴ δὲ αὐτῷ τοῦ συγγράμματος ἥδε· λόγου παντὸς κτλ. Cf. lib. VI, 81.)

2. Ἐμοὶ δὲ δοκέει, τὸ μὲν ξύμπαν εἰπεῖν, πάντα τὰ ἐόντα ἀπὸ τοῦ αὐτοῦ ἑτεροιοῦσθαι καὶ τὸ αὐτὸ εἶναι· καὶ τοῦτο εὔδηλον. Εἰ γὰρ τὰ ἐν τῷδε τῷ κόσμῳ ἐόντα νῦν γῆ καὶ ὕδωρ καὶ τἄλλα, ὅσα φαίνεται ἐν τῷδε τῷ κόσμῳ ἐόντα, εἰ τουτέων τε ἦν τὸ ἕτερον τοῦ ἑτέρου ἕτερον ἐὸν τῇ ἰδίῃ φύσεϊ, καὶ μὴ τὸ αὐτὸ ἐὸν μετέπιπτε πολλαχῶς καὶ ἠτεροιοῦτο, οὐδ' ἂν οὔτε μίσγεσθαι ἀλλήλοισι ἠδύνατο οὔτε ὠφέλησις τῷ ἑτέρῳ οὔτε βλάβη εἶναι. Οὐδ' ἂν οὔτε φυτὸν ἐκ τῆς γῆς φῦναι οὔτε ζῷον οὔτε ἄλλο γενέσθαι οὐδέν, εἰ μὴ οὕτω συνίστατο ὥστε τωυτὸ εἶναι· ἀλλὰ πάντα ταῦτα ἐκ τοῦ αὐτοῦ ἑτεροιούμενα ἄλλοτε ἀλλοῖα γίνεται καὶ ἐς τὸ αὐτὸ ἀναχωρέει.

(Simplicius Comment. in Arist. Phys. fol. 32 b : γράφει δὲ εὐθὺς μετὰ τὸ προοίμιον τάδε· ἐμοὶ δὲ δοκέει κτλ. Post γῆ καὶ ὕδωρ Cod. D addit καὶ ἀὴρ καὶ πῦρ. Pro οὐδαμῇ οὔτε μίσγεσθαι ἀλλήλοισι ἠδύνατο, quæ codicum scriptura est, posui cum Schornio οὐδ' ἂν οὔτε μίσγεσθαι κτλ. Denique inter βλάβη et οὐδ' ἂν inserui εἶναι. Nam deesse aliquid viri docti jam pridem animadverterunt. Cf. Aristot. de gen. et corrupt. I, 6 : καὶ τοῦτ' ὀρθῶς λέγει Διογένης, ὅτι εἰ μὴ ἦν ἐξ ἑνὸς ἅπαντα, οὐκ ἂν ἦν τὸ ποιεῖν καὶ τὸ πάσχειν ὑπ' ἀλλήλων, οἷον τὸ θερμὸν ψύχεσθαι καὶ τοῦτο θερμαίνεσθαι πάλιν· οὐ γὰρ ἡ θερμότης μεταβάλλει καὶ ἡ ψυχρότης εἰς ἄλληλα, ἀλλὰ δῆλον ὅτι τὸ ὑποκείμενον.)

3. Ἀλλὰ τοῦτό μοι δοκέει δῆλον εἶναι, ὅτι καὶ μέγα καὶ ἰσχυρὸν καὶ ἀΐδιόν τε καὶ ἀθάνατον καὶ πολλὰ εἰδός ἐστι.

(Simplicius Comment. in Arist. Phys. fol. 33 a.)

4. Οὐ γὰρ ἂν οὕτω δεδάσθαι οἷόν τε ἦν ἄνευ νοήσιος, ὥστε καὶ πάντων μέτρα ἔχειν, χειμῶνός τε καὶ θέρεος καὶ νυκτὸς καὶ ἡμέρης καὶ ὑετῶν καὶ ἀνέμων καὶ εὐδιῶν. Καὶ τὰ ἄλλα εἴ τις βούλεται ἐννοέεσθαι, εὑρίσκοι ἂν οὕτω διακείμενα, ὡς ἀνυστὸν κάλλιστα.

(Simplicius Comment. in Arist. Phys. fol. 36 b : ἐφεξῆς δὲ δείξας ὅτι ἐστὶν ἐν τῇ ἀρχῇ ταύτῃ νόησις πολλή· οὐ γὰρ ἄν, φησίν, οὕτω δεδάσθαι etc.)

5. Ἔτι δὲ πρὸς τούτοισι καὶ τάδε μεγάλα σημήϊα· ἄνθρωποι γὰρ καὶ τὰ ἄλλα ζῷα ἀναπνέοντα ζώει τῷ ἀέρι, καὶ τοῦτο αὐτοῖσι καὶ ψυχή ἐστι καὶ νόησις, ὡς δεδήλωται ἐν τῇδε τῇ συγγραφῇ ἐμφανέως, καὶ ἐὰν τοῦτο ἀπαλλαχθῇ, ἀποθνήσκει καὶ ἡ νόησις ἐπιλείπει.

(Simplicius Comment. in Arist. Phys. fol. 32 b : ἐπάγει ὅτι καὶ ὁ ἄνθρωπος καὶ τὰ ἄλλα ζῷα ἐκ τῆς ἀρχῆς ταύτης, ἥτις ἐστὶν ὁ ἀήρ, καὶ ζῇ καὶ ψυχὴν ἔχει καὶ νόησιν, λέγων οὕτως· ἔτι δὲ πρὸς τούτοισι κτλ. Cæterum τοῦτο refertur ad ἀέρος nomen, quod quominus fiat generis diversitas non obstat. Similiter Plato Lach. p. 185 E : εἴ τις ἄρα ἡμῶν τεχνικὸς περὶ ψυχῆς θεραπείαν, καὶ οἷός τε καλῶς τοῦτο [i. e. τὴν ψυχὴν] θεραπεῦσαι.)

6. Καί μοι δοκέει τὸ τὴν νόησιν ἔχον εἶναι ὁ ἀὴρ καλεόμενος ὑπὸ τῶν ἀνθρώπων καὶ ὑπὸ τούτου πάντα καὶ κυβερνᾶσθαι καὶ πάντων κρατέειν· ἀπὸ γάρ μοι τούτου δοκέει νόος εἶναι καὶ ἐπὶ πᾶν ἀφῖχθαι καὶ πάντα διατιθέναι καὶ ἐν παντὶ ἐνεῖναι. Καὶ οὐκ ἔστιν οὐδὲ ἕν,

---

1. Disputationes qualescunque ordientem meo judicio oportet principium certum et indubitatum præstare, elocutionem vero simplicem et gravem.

2. Mihi vero videntur, ut uno verbo dicam, res cunctæ ab eodem elemento variatione oriri atque idem esse, id quod manifestum est. Si enim res quæ in hoc mundo nunc sunt, terra et aqua et cætera quæ in hoc mundo apparent, si harum, inquam, rerum aliæ ab aliis suapte natura differrent, neque multis modis mutatæ et variatæ idem essent, nequaquam fieri posset, ut miscerentur aliæ aliis vel commoda et incommoda afferrent. Neque vel planta e terra enasci vel animal vel aliud quid procreari posset, nisi ita comparatum esset, ut idem foret; sed hæc omnia ab eodem elemento variata alias alia specie induuntur atque in idem elementum recidunt.

3. Sed hoc principium mihi videtur perspicue magnum esse et potens atque æternum et immortale multarumque rerum sciens.

4. Nam principium illud sine intelligentia ita distribui non posset, ut omnium rerum modum contineret, æstatis et hiemis, noctis et diei, imbriumque et ventorum et cœli sereni. Ac cætera quoque si quis reputare velit, reperiat quam pulcherrime constituta.

5. Præterea hæc quoque firma illius rei argumenta sunt : homines enim et reliqua animalia spiritum ducentia aeris beneficio vivunt, qui ipsis etiam pro anima et intelligentia est, ut in hoc libro dilucide est explicatum. Qui quum excessit, moriuntur et intelligentia deficit.

6. Ac mihi videtur illud quod intelligentiam continet esse aer qui ab hominibus vocatur et ab hoc omnia gubernari, isque cuncta regere : ab hoc enim mihi videtur orta esse mens atque ad omnia penetrasse et universa constituere

ὅ,τι μὴ μετέχοι τούτου, μετέχει δὲ οὐδὲ ἓν ὁμοίως τὸ ἕτερον τῷ ἑτέρῳ, ἀλλὰ πολλοὶ τρόποι καὶ αὐτοῦ τοῦ ἀέρος καὶ τῆς νοήσιός εἰσιν. Ἔστι γὰρ πολύτροπος καὶ θερμότερος καὶ ψυχρότερος καὶ ξηρότερος καὶ ὑγρότερος καὶ στασιμώτερος καὶ ὀξυτέρην κίνησιν ἔχων, καὶ ἄλλαι πολλαὶ ἑτεροιώσιες ἔνεισι καὶ ἡδονῆς καὶ χροιῆς ἄπειροι. Καὶ ἁπάντων τῶν ζῴων δὲ ἡ ψυχὴ τὸ αὐτό ἐστι, ἀὴρ θερμότερος μὲν τοῦ ἔξω, ἐν ᾧ εἰμεν, τοῦ μέντοι παρὰ τῷ ἡλίῳ πολλὸν ψυχρότερος· ὅμοιον δὲ τοῦτο τὸ θερμὸν οὐδενὸς τῶν ζῴων ἐστί, ἐπεὶ οὐδὲ τῶν ἀνθρώπων ἀλλήλοισι, ἀλλὰ διαφέρει, μέγα μὲν οὔ, ἀλλ᾽ ὥστε παραπλήσια εἶναι, οὐ μέντοι ἀτρεκέως γε ὅμοιόν γ᾽ ἐόν· οὐδὲν δ᾽ οἷόν τε γενέσθαι τῶν ἑτεροιουμένων ἕτερον ἑτέρου, πρὶν τὸ αὐτὸ γένηται. Ἅτε ὦν πολυτρόπου ἐούσης τῆς ἑτεροιώσιος πολύτροπα καὶ τὰ ζῷα καὶ πολλά, καὶ οὔτε ἰδέην ἀλλήλοισι ἐοικότα οὔτε δίαιταν οὔτε νόησιν ὑπὸ τοῦ πλήθεος τῶν ἑτεροιωσίων. Ὅμως δὲ πάντα τῷ αὐτῷ καὶ ζῇ καὶ ὁρᾷ καὶ ἀκούει, καὶ τὴν ἄλλην νόησιν ἔχει ὑπὸ τοῦ αὐτοῦ πάντα.

(Simplicius Comment. in Arist. Phys. fol. 33 a : εἶτα μετ᾽ ὀλίγον σαφῶς ἐπήγαγε· καί μοι δοκέει κτλ. Initio Simplicii codd. exhibent : καὶ ὑπὸ τούτου πάντας καὶ κυβερνᾶσθαι, ubi restitui πάντα. In sequenti inciso omnium membranarum scriptura est : ἀπὸ γάρ μοι τούτου δοκέει ἔθος εἶναι. Sed pro ἔθος sententia flagitat νόος quod edidi. Cætera e codicibus correcta sunt. Verba οὐδὲν δ᾽ οἷόν τε γενέσθαι τῶν ἑτεροιουμένων ἕτερον ἑτέρου, πρὶν τὸ αὐτὸ γένηται ad aeris naturam et potentiam pertinent. Nam omnia prius eadem, id est, aeria fuerunt, quam mutatione facta sunt diversa.)

7. Καὶ αὐτὸ μὲν τοῦτο καὶ ἀΐδιον καὶ ἀθάνατον σῶμα, τῶν δὲ τὰ μὲν γίνεται, τὰ δὲ ἀπολείπει.

(Simplicius Comment. in Arist. Phys. fol. 33 a : Θαυμαστὸν δὲ ὅτι κατὰ ἑτεροίωσιν τὴν ἀπ᾽ αὐτοῦ [i. e. τοῦ ἀέρος] λέγων τὰ ἄλλα γίγνεσθαι ἀΐδιον ὅμως αὐτό φησι λέγων· « καὶ αὐτὸ μὲν τοῦτο καὶ ἀΐδιον κτλ. »)

8. Αἱ δὲ φλέβες ἐν τῷ ἀνθρώπῳ ὧδ᾽ ἔχουσιν. Εἰσὶ δύο μέγισται· αὗται τείνουσι διὰ τῆς κοιλίας παρὰ τὴν νωτιαίαν ἄκανθαν, ἡ μὲν ἐπὶ δεξιά, ἡ δ᾽ ἐπ᾽ ἀριστερά, εἰς τὰ σκέλη ἑκατέρα τὰ παρ᾽ ἑαυτῇ, καὶ ἄνω εἰς τὴν κεφαλὴν παρὰ τὰς κλεῖδας διὰ τῶν σφαγῶν. Ἀπὸ δὲ τούτων καθ᾽ ἅπαν τὸ σῶμα φλέβες διατείνουσιν, ἀπὸ μὲν τῆς δεξιᾶς εἰς τὰ δεξιά, ἀπὸ δὲ τῆς ἀριστερᾶς εἰς τὰ ἀριστερά, μέγισται μὲν δύο εἰς τὴν καρδίαν περὶ αὐτὴν τὴν νωτιαίαν ἄκανθαν, ἕτεραι δ᾽ ὀλίγον ἀνωτέρω διὰ τῶν στηθῶν ὑπὸ τὴν μασχάλην εἰς ἑκατέραν τὴν χεῖρα τὴν παρ᾽ ἑαυτῇ· καὶ καλεῖται ἡ μὲν σπληνῖτις, ἡ δὲ ἡπατῖτις. Σχίζεται δ᾽ αὐτῶν ἄκρα ἑκατέρα, ἡ μὲν ἐπὶ τὸν μέγαν δάκτυλον, ἡ δ᾽ ἐπὶ τὸν ταρσόν· ἀπὸ δὲ τούτων λεπταὶ καὶ πολύοζοι ἐπὶ τὴν ἄλλην χεῖρα καὶ δακτύλους. Ἕτεραι δὲ λεπτότεραι ἀπὸ τῶν πρώτων φλεβῶν τείνουσιν, ἀπὸ μὲν τῆς δεξιᾶς εἰς τὸ ἧπαρ, ἀπὸ δὲ τῆς ἀριστερᾶς εἰς τὸν σπλῆνα καὶ τοὺς νεφρούς. Αἱ δὲ εἰς τὰ σκέλη τείνουσαι σχίζονται κατὰ τὴν πρόσφυσιν, καὶ διὰ παντὸς τοῦ μηροῦ τείνουσιν. Ἡ δὲ μεγίστη αὐτῶν ὄπισθεν τείνει τοῦ μηροῦ καὶ ἐκφαίνεται παχεῖα· ἑτέρα δὲ εἴσω τοῦ μηροῦ μικρὸν ἧττον παχεῖα ἐκείνης. Ἔπειτα παρὰ τὸ γόνυ τείνουσιν εἰς τὴν κνήμην τε καὶ τὸν πόδα, καθάπερ καὶ εἰς τὰς χεῖρας· καὶ ἐπὶ τὸν ταρσὸν τοῦ ποδὸς καθήκουσι, καὶ ἐντεῦθεν ἐπὶ τοὺς δακτύλους διατείνουσιν. Σχίζονται δὲ καὶ ἐπὶ τὴν κοιλίαν καὶ τὸ πλευρὸν πολλαὶ ἀπ᾽ αὐτῶν καὶ λεπταὶ φλέβες. Αἱ δὲ εἰς τὴν κεφαλὴν τείνουσαι διὰ τῶν σφαγῶν φαίνονται ἐν τῷ αὐχένι μεγάλαι· ἀφ᾽ ἑκατέρας δ᾽ αὐτῶν, ᾗ τελευτᾷ, σχίζονται εἰς τὴν κεφαλὴν πολλαί, αἱ μὲν ἐκ τῶν δεξιῶν εἰς τὰ ἀριστερά, αἱ δ᾽ ἐκ τῶν ἀριστερῶν εἰς τὰ δεξιά. Τελευτῶσι δὲ παρὰ τὸ οὖς ἑκάτεραι. Ἔστι δ᾽ ἑτέρα φλὲψ ἐν τῷ τραχήλῳ παρὰ τὴν μεγάλην ἑκατέρωθεν, ἐλάττων ἐκείνης ὀλίγον, εἰς ἣν αἱ πλεῖσται ἐκ τῆς κεφαλῆς συνέχουσιν αὐτῆς.

---

et in qualibet re inesse. Neque quidquam est quod non aeris consors sit; at ne una quidem res reperitur quæ æque atque alia illius consortione fruatur, sed multi sunt modi et ipsius aeris et intelligentiæ. Est enim aer varius, calidior, frigidior, siccior, humidior, quietior, celeriore motu agitatus, atque cum multæ aliæ dissimilitudines, tum innumerabiles et affectionis et coloris varietates insunt. Omnium etiam animalium anima idem est aer, calidior quidem spiritu nobis circumfuso, sed tamen multo frigidior aere solem cingente. Hic vero calor non idem in aliis atque aliis bestiis est, quum ne hominum quidem inter se comparatorum idem sit calor, sed diversus est, non quidem maxime, sed ita ut similes sint calores, nec tamen adeo similes, ut reapse par sit calor. Nihil autem rerum mutatarum ab aliis differre potest, antequam idem fuerint. Quum igitur multiplex sit aeris mutatio, multiplicia etiam et varia animalia sunt, ac neque forma inter se similia, neque victu, neque sensu et intelligentia propter mutationum multitudinem. Sed tamen omnia ejusdem elementi beneficio et vivunt et vident et audiunt, et reliquam intelligentiam eidem acceptam referunt.

7. Atque hoc ipsum est corpus æternum et immortale: cætera partim fiunt, partim deficiunt.

8. Venæ in homine sic se habent. Duæ eæque maximæ tendunt per ventrem juxta dorsi spinam, altera dextrorsum, altera lævorsum ad propinquum sibi utraque crus, et sursum ad caput per jugulum juxta claviculas. Ab his totum per corpus ad suum quæque latus venæ ducuntur, id est, a dextero latere dextrorsum, a lævo lævorsum, duæ maximæ ad cor circa ipsam dorsi spinam, alteræ paullo altius per pectus sub axillam, utraque ad manum sibi proximam, quarum altera lienaris, altera jecoraria appellatur. Earum summæ partes ita scinduntur, ut hinc ad pollicem, illinc ad palmam prodeant, atque inde tenues

Καὶ αὗται τείνουσι διὰ τῶν σφαγῶν εἴσω. Καὶ ἀπ' αὐτῶν ἑκατέρας ὑπὸ τὴν ὠμοπλάτην τείνουσι καὶ εἰς τὰς χεῖρας. Καὶ φαίνονται παρά τε τὴν σπληνῖτιν καὶ τὴν ἡπατῖτιν ἕτεραι ὀλίγον ἐλάττους, ἃς ἀποσχῶσιν, ὅταν τι ὑπὸ τὸ δέρμα λυπῇ· ἂν δέ τι περὶ τὴν κοιλίαν, τὴν ἡπατῖτιν καὶ τὴν σπληνῖτιν. Τείνουσι δὲ καὶ ὑπὸ τοὺς μαστοὺς ἀπὸ τούτων ἕτεραι. Ἕτεραι δ' εἰσὶν αἱ ἀπὸ ἑκατέρας τείνουσαι διὰ τοῦ νωτιαίου μυελοῦ εἰς τοὺς ὄρχεις, λεπταί. Ἕτεραι δ' ὑπὸ τὸ δέρμα καὶ διὰ τῆς σαρκὸς τείνουσιν εἰς τοὺς νεφρούς, καὶ τελευτῶσιν εἰς τοὺς ὄρχεις τοῖς ἀνδράσι, ταῖς δὲ γυναιξὶν εἰς τὰς ὑστέρας. Αἱ δὲ φλέβες αἱ μὲν πρῶται ἐκ τῆς κοιλίας εὐρύτεραί εἰσιν, ἔπειτα λεπτότεραι γίγνονται, ἕως ἂν μεταβάλωσιν ἐκ τῶν δεξιῶν εἰς τὰ ἀριστερὰ καὶ ἐκ τούτων εἰς τὰ δεξιά· αὗται δὲ σπερματίτιδες καλοῦνται. Τὸ δὲ αἷμα τὸ μὲν παχύτατον ὑπὸ τῶν σαρκῶν ἐγγίγνεται· ὑπερβάλλον δὲ εἰς τοὺς τόπους τούτους λεπτὸν καὶ θερμὸν καὶ ἀφρῶδες γίγνεται.

(Aristoteles Hist. anim. lib. III cap. 2, 4 : Διογένης δὲ ὁ Ἀπολλωνιάτης τάδε λέγει· αἱ δὲ φλέβες κτλ. Quum nullum ionicæ dialecti vestigium in hoc fragmento appareret, atticas vocum formas ab Aristotele positas mutare nolui.)

---

frequentibus ramis in reliquam manum ac digitos. Aliæ autem tenuiores a primis venis tendunt a dextra in jecur, a læva in lienem ac renes. Quæ vero ad crura pertinent finduntur ad commissuram ac per totum femur intenduntur. Quarum maxima pone femur porrigitur crassiorque apparet, altera paullo minus crassa in interiore femoris parte exstat. Deinde quemadmodum illæ in manus, sic hæ prætervectæ genu in tibias atque in pedes et inde in plantam descendunt, postremo in digitos pervadunt. Multæ vero aliæ eæque tenues venæ ab illis in ventrem et costas scinduntur. Quæ autem caput per jugulum petunt, apparent in collo magnæ, et ab earum utraque, qua terminantur, multæ in caput scinduntur et dextræ in sinistram et sinistræ in dextram. Terminantur vero prope aures. Est et altera vena prope majorem, sed paullo ea minor in utroque cervicis latere, in quam plurimæ e capite ipso conveniunt. Atque hæ jugulum subeunt. Tum ab utraque sub scapulam atque in manus tendunt. Apparent etiam prope lienarem et jecorariam aliæ paullo minores quas interscindere solent, quum quid morbi sub cute est; at in ventriculi ægrotationibus lienarem et jecorariam. Quinetiam aliæ ab his in mammas vergunt, aliæ eæque tenues ab utraque per spinalem medullam in testiculos pertinent. Aliæ sub cute per carnem in renes porriguntur, quæ viris in testiculos, mulieribus in uterum desinunt. Quæ venæ primæ a ventriculo prodeunt, latiores sunt, deinde attenuantur, donec commutent sedem, ut a dextra sinistrorsum indidemque ad dextram transeant : hæ seminales appellantur. Et crassissimus quidem sanguis sub carne in venis gignitur : in hos vero locos transgressus tenuis fit et calidus et spumosus.

DE ARCHELAO.

Archelaus (1) quem alii Atheniensem alii Milesium esse volunt patre Apollodoro vel Mydone, philosophiæ præceptore Anaxagora usus est. Videtur autem primus Anaxagoras Athenis in rerum cognitione versatus eamque sapientiam professus esse. Secundum ab hoc physicum qui in eadem urbe vixerit Diogenem Apolloniaten ponimus, tertium Archelaum. Itaque summo errore labitur Diogenes Laertius, temporum ordinem invertens. Tantum enim abest, ut Archelaus primus ionicam philosophiam clarissimæ illi Musarum sedi intulerit, ut Anaxagoras cum Clemente (2) ejus beneficii auctor fuisse dicendus sit. Est autem vix probabile Archelaum discipulorum nobilitate floruisse, quum iis Socratem a Diogene et Cicerone (3) injuria annumerari appareat. Etenim Plato, Xenophon, Aristoteles Archelai placita silentio prætereuntes ipsum hominem sine dubio ignorarunt. Solus Theophrastus singularem de ejus decretis librum vulgaverat (4), unde excerpta videntur quæ a veteribus de disciplina viri prope ignoti memorantur. Nimirum physicum opus quod Archelao ascribit Suidas (5) fortasse paullo post Theophrasti mortem intercidit.

In explicanda mundi origine cæterisque rebus diversam quidem ab Anaxagoræ ratione formulam excogitavit aut certe proprium quid afferre nisus est, sed eadem tamen rerum principia esse statuit (6). Nam de materiæ mistura idem præcipit quod Anaxagoras, licet mentem ab omni concretione mortali segregatam esse nollet (7). Quocirca si vera rettulit Stobæus (8), aerem et mentem deum esse opinatus est, ademta mundi procreandi facultate. Huc pertinet etiam quod alii narrant eum pro rerum fundamento aerem habuisse (9).

Ab his omnibus dissentit Diogenes Laertius duas Archelao generationis causas fuisse dicens, calorem et frigus. Porro animalia primum e limo, postea ex se invicem nata esse existimavit. Qua in re homines a cæteris animantibus adeo non distinxit, ut omnium eundem ortum fuisse (10) contenderet. Præterea aquam calore liquefactam, quatenus in igneam naturam abit, efficere terram, quatenus vero circumfluit, aerem gignere censet eamque ob causam illam aere, hunc ignis motu contineri (11).

Eidem vocem aeris percussu formari placuit. Quid? quod mare in cavis per humum velut percolatum consistere credidit, maximum autem siderum solem esse affirmavit, denique univer-

(1) Diogenes Laertius lib. II, 16 : Ἀρχέλαος, Ἀθηναῖος ἢ Μιλήσιος, πατρὸς Ἀπολλοδώρου, ὡς δέ τινες, Μύδωνος, μαθητὴς Ἀναξαγόρου, διδάσκαλος Σωκράτους. Οὗτος πρῶτος ἐκ τῆς Ἰωνίας τὴν φυσικὴν φιλοσοφίαν μετήγαγεν Ἀθήναζε καὶ ἐκλήθη φυσικός, παρὸ καὶ ἔληξεν ἐν αὐτῷ ἡ φυσικὴ φιλοσοφία, Σωκράτους τὴν ἠθικὴν εἰσαγαγόντος.

(2) Clemens Alexandrinus Strom. lib. I p. 301 A : Οὗτος [ὁ Ἀναξαγόρας] μετήγαγεν ἀπὸ τῆς Ἰωνίας Ἀθήναζε τὴν διατριβήν· τοῦτον διαδέχεται Ἀρχέλαος.

(3) Cicero Tusc. V, 4 : « usque ad Socratem qui Archelaum, Anaxagoræ discipulum, audierat. »

(4) Περὶ τῶν Ἀρχελάου teste Diog. Laert. V, 42.

(5) Suidas v. Ἀρχέλαος.

(6) Simplicius Comment. in Arist. Phys. fol. 6 b : Ἀρχέλαος ἐν μὲν τῇ γενέσει τοῦ κόσμου καὶ τοῖς ἄλλοις πειρᾶταί τι φέρειν ἴδιον, τὰς ἀρχὰς δὲ τὰς αὐτὰς δίδωσιν, ὥσπερ Ἀναξαγόρας. οὗτοι μὲν οὖν ἀπείρους τῷ πλήθει καὶ ἀνομοιογενεῖς τὰς ἀρχὰς λέγουσι.

(7) Origenes Philos. 9 : Οὗτος ἔφη τὴν μῖξιν τῆς ὕλης ὁμοίως Ἀναξαγόρᾳ, τάς τε ἀρχὰς ὡσαύτως· οὗτος δὲ τῷ νῷ ἐνυπάρχειν τι εὐθέως μῖγμα.

(8) Stobæus Eclog. I p. 56 (tom. I p. 22 ed. Gaisf.) : Ἀρχέλαος ἀέρα καὶ νοῦν τὸν θεόν, οὐ μέντοι κοσμοποιὸν τὸν νοῦν.

(9) Plutarchus de Plac. phil I, 3 : Ἀρχέλαος Ἀπολλοδώρου Ἀθηναῖος ἀέρα ἄπειρον καὶ τὴν περὶ αὐτὸν πυκνότητα καὶ μάνωσιν. τούτων δὲ τὸ μὲν εἶναι πῦρ, τὸ δὲ ὕδωρ. Cf. Stob. Eclog. I p. 298 (tom. I p. 114 ed. Gaisf.); Sext. Empir. adv. Math. IX, 360.

(10) Diogenes Laertius lib. II, 16-17 : Ἔλεγε δὲ δύο αἰτίας εἶναι γενέσεως, θερμὸν καὶ ψυχρόν· καὶ τὰ ζῷα ἀπὸ τῆς ἰλύος γεννηθῆναι...γεννᾶσθαι δέ φησι τὰ ζῷα ἐκ θερμῆς τῆς γῆς, καὶ ἰλὺν παραπλησίαν γάλακτι, οἷον τροφὴν ἀνιείσης. οὕτω δὲ καὶ τοὺς ἀνθρώπους ποιηθῆναι. Origenes Philos. 9 : περὶ δὲ ζῴων φησὶν ὅτι θερμαινομένης τῆς γῆς τὸ πρῶτον ἐν τῷ κατὰ μέρος (leg. cum Rittero κάτω μέρει) ὅπου τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐμίσγετο, ἀνεφαίνετο τά τε ἄλλα ζῷα πολλὰ καὶ ἀνόμοια, πάντα τὴν αὐτὴν δίαιταν ἔχοντα, ἐκ τῆς ἰλύος τρεφόμενα· ἦν δὲ ὀλιγοχρόνια. ὕστερον δὲ αὐτοῖς καὶ ἐξ ἀλλήλων γένεσις ἀνέστη, καὶ διεκρίθησαν ἄνθρωποι ἀπὸ τῶν ἄλλων, καὶ ἡγεμόνας καὶ νόμους καὶ τέχνας καὶ πόλεις καὶ τὰ ἄλλα συνέστησαν. νοῦν δὲ λέγει πᾶσιν ἐμφύεσθαι ζῴοις ὁμοίως. χρήσασθαι γὰρ ἕκαστον καὶ τῷ σώματι ἀναλόγως, τὸ μὲν βραδυτέρως τὸ δὲ ταχυτέρως.

(11) Diogenes Laertius lib. II, 17 : Τηκόμενόν φησι τὸ ὕδωρ ὑπὸ τοῦ θερμοῦ, καθὸ μὲν εἰς τὸ πυρῶδες συνίσταται, ποιεῖν γῆν· καθὸ δὲ περιῤῥεῖ, ἀέρα γεννᾷν. ὅθεν ἡ μὲν ὑπὸ τοῦ ἀέρος, ὁ δὲ ὑπὸ τῆς τοῦ πυρὸς περιφορᾶς κρατεῖται.

sitatis corpus infinitum esse sibi persuasit (12).

Quamvis autem Archelaus physicorum ultimus fuisse perhibeatur (13), tamen moralem quoque philosophiam ac civilem rationem attigit, siquidem de legibus ac de honesto et justo disputavit. Quod vero dixisse traditur, justum et turpe non natura, sed opinione et instituto esse: eo omnis morum doctrina evertitur potius quam fundatur (14). Quare non est quod cum Diogene (15) putemus Socratem Archelai præceptis imbutum in morali philosophiæ parte profecisse.

(12) Diogenes Laertius lib. II, 17: Πρῶτος δὲ εἶπε φωνῆς γένεσιν τὴν τοῦ ἀέρος πλῆξιν· τὴν δὲ θάλατταν ἐν τοῖς κοίλοις διὰ τῆς γῆς ἠθουμένην συνεστάναι· μέγιστον τῶν ἄστρων τὸν ἥλιον καὶ τὸ πᾶν ἄπειρον.

(13) Hoc quoque dubium est. Mihi physicorum ultimus Democritus videtur qui quadraginta annis post Anaxagoram natus est.

(14) Diogenes Laertius lib. II, 16: Ἔοικε δὲ καὶ οὗτος ἅψασθαι τῆς ἠθικῆς. καὶ γὰρ περὶ νόμων πεφιλοσόφηκε καὶ καλῶν καὶ δικαίων...ἔλεγε δὲ τὸ δίκαιον εἶναι καὶ τὸ αἰσχρὸν οὐ φύσει, ἀλλὰ νόμῳ.

(15) Diogenes Laertius lib. II, 16: Παρ' οὗ λαβὼν Σωκράτης τῷ αὐξῆσαι αὐτὸς εὑρεῖν ὑπελήφθη.

DE MELISSO.

Melissus (1), Ithagenis filius, Samius quem Apollodorus apud Diogenem circa Olympiadem octogesimam quartam floruisse testatur, ita litterarum studia cum armorum tractatione copulavit, ut tam eruditionis et doctrinæ gloria excelleret quam bellicis laudibus præstaret. Adolescens Parmenidem, Eleaticæ scholæ principem, audivit aliosque viros primarios convenit. Nam cum Heraclito etiam commercium habuisse eumque Ephesiis commendasse fertur. Postea quum vir civilis et popularibus suis gratus esset, ad reipublicæ curam admotus egregiam in bello patriæ suæ operam navavit. Constat autem bello Samiorum Athenienses quorum rebus tum præerat Pericles a Samiis Melissi ductu et auspiciis duobus navalibus prœliis Olympiade octogesima quinta superatos esse. Sic a rerum contemplatione ad usum actionemque traductus civibus qui antea eum dilexerant majorem etiam sui admirationem injecit.

Unum composuit librum dialecto Ionica Περὶ τοῦ ἐόντος (2) vel Περὶ φύσιος (3), vel ut alii volunt *De ente et natura* inscriptum. In quo apparet eum non egisse de infinita eorum quæ orta, generata, concreta sunt copia et varietate, sed de natura æterna quam ab omni concretione mortali segregatam *entis* nomine, Parmenidem secutus (4), affecit. Hujus libri plura Simplicius servavit fragmenta quæ infra exponam. Idem opus spectarunt Plato (5) in Theæteto pag. 180 E, et Aristoteles in volumine de Sophisticis Elenchis (6), porro Physicorum lib. I, 2 et 3, nec non in disputationibus de Melisso, Xenophane et Gorgia atque alibi. Neque dubium quin Hippocrates (7), Pa-

(1) Diogenes Laertius lib. IX, 24 : Μέλισσος Ἰθαγένους, Σάμιος. Οὗτος ἤκουσε Παρμενίδου· ἀλλὰ καὶ εἰς λόγους ἦλθεν Ἡρακλείτῳ, ὅτε καὶ συνέστησεν αὐτὸν τοῖς Ἐφεσίοις ἀγνοοῦσι.....γέγονε δὲ καὶ πολιτικὸς ἀνήρ, καὶ ἀποδοχῆς παρὰ τοῖς πολίταις ἠξιωμένος. ὅθεν ναύαρχος αἱρεθεὶς ἔτι καὶ μᾶλλον ἐθαυμάσθη διὰ τὴν οἰκείαν ἀρετήν.... φησὶ δ' Ἀπολλόδωρος ἠκμακέναι αὐτὸν κατὰ τὴν τετάρτην καὶ ὀγδοηκοστὴν ὀλυμπιάδα. Plutarchus vit. Pericl. cap. 26 : Πλεύσαντος γὰρ αὐτοῦ [τοῦ Περικλέους], Μέλισσος ὁ Ἰθαγένους, ἀνὴρ φιλόσοφος, στρατηγῶν τότε τῆς Σάμου, καταφρονήσας τῆς ὀλιγότητος τῶν νεῶν ἢ τῆς ἀπειρίας τῶν στρατηγῶν ἔπεισε τοὺς πολίτας ἐπιθέσθαι τοῖς Ἀθηναίοις. καὶ γενομένης μάχης, νικήσαντες οἱ Σάμιοι, καὶ πολλοὺς μὲν αὐτῶν ἄνδρας ἑλόντες, πολλὰς δὲ ναῦς διαφθείραντες, ἐχρῶντο τῇ θαλάσσῃ καὶ παρετίθεντο τῶν ἀναγκαίων πρὸς τὸν πόλεμον, ὅσα μὴ πρότερον εἶχον. ὑπὸ δὲ τοῦ Μελίσσου καὶ Περικλέα φησὶν αὐτὸν Ἀριστοτέλης ἡττηθῆναι, ναυμαχοῦντα πρότερον. Id. vit. Themist. cap. 2 : Καίτοι Στησίμβροτος Ἀναξαγόρου τε διακοῦσαι τὸν Θεμιστοκλέα φησί, καὶ περὶ Μέλισσον σπουδάσαι τὸν φυσικόν, οὐκ εὖ τῶν χρόνων ἁπτόμενος. Περικλεῖ γάρ, ὃς πολὺ νεώτερος ἦν Θεμιστοκλέους, Μέλισσος μὲν ἀντεστρατήγει πολιορκοῦντι Σαμίους, Ἀναξαγόρας δὲ συνδιέτριβε. Id. adv. Colot. cap. 32 : Μέλισσος δέ, τῆς πατρίδος στρατηγῶν, Ἀθηναίους κατεναυμάχησε. Ælianus Var. Hist. lib. VII cap. 14 : Τί δέ, οὐκ ἦσαν καὶ οἱ φιλόσοφοι τὰ πολέμια ἀγαθοί; ἐμοὶ μὲν δοκοῦσιν, εἴ γε Ἀρχύταν μὲν εἵλοντο ἑξάκις στρατηγὸν Ταραντῖνοι, Μέλισσος δὲ ἐναυάρχησε κτλ.

(2) Cf. Suidas v. Μέλιτος, ubi legitur περὶ τοῦ ὄντος.

(3) Περὶ φύσεως citat Galenus ad Hippocr. de Nat. hom. I pag. 5 ed. Kühn. et de element. sec. Hippocr. I, 9 pag. 487 ed. Kuhn. his verbis : Τὰ γὰρ τῶν παλαιῶν ἅπαντα περὶ φύσεως ἐπιγέγραπται, τὰ Μελίσσου, τὰ Παρμενίδου, τὰ Ἐμπεδοκλέους, Ἀλκμαίωνός τε καὶ Γοργίου, καὶ Προδίκου, καὶ τῶν ἄλλων ἁπάντων. De *ente et natura* est apud Alexandrum Aphrodisiensem et Nicolaum Damascenum. Vid. Bessarionem in Calumn. Platon. II, 11.

(4) Vide præfationem ad Parmenidem.

(5) Plato Theæt. pag. 180 E : Ὀλίγου δὲ ἐπελαθόμην, ὦ Θεόδωρε, ὅτι ἄλλοι αὖ τἀναντία τούτοις ἀπεφήναντο, οἷον ἀκίνητον τελέθειν ᾧ πάντ' ὄνομ' εἶναι, καὶ ἄλλα ὅσα Μέλισσοί τε καὶ Παρμενίδαι ἐναντιούμενοι πᾶσι τούτοις διισχυρίζονται, ὡς ἕν τε πάντα ἐστὶ καὶ ἕστηκεν αὐτὸ ἐν αὑτῷ, οὐκ ἔχον χώραν ἐν ᾗ κινεῖται.

(6) Aristoteles de Sophisticis Elenchis pag. 167 b ed. Bekker. : Ὁμοίως δὲ καὶ ἐν τοῖς συλλογιστικοῖς, οἷον ὁ Μελίσσου λόγος ὅτι ἄπειρον τὸ ἅπαν, λαβὼν τὸ μὲν ἅπαν ἀγένητον (ἐκ γὰρ μὴ ὄντος οὐδὲν ἂν γενέσθαι), τὸ δὲ γενόμενον ἐξ ἀρχῆς γενέσθαι. εἰ μὴ οὖν γέγονεν, ἀρχὴν οὐκ ἔχει τὸ πᾶν, ὥστ' ἄπειρον. οὐκ ἀνάγκη δὲ τοῦτο συμβαίνειν· οὐ γὰρ εἰ τὸ γενόμενον ἅπαν ἀρχὴν ἔχει, καὶ εἴ τι ἀρχὴν ἔχει, γέγονεν, ὥσπερ οὐδ' εἰ ὁ πυρέττων θερμός, καὶ τὸν θερμὸν ἀνάγκη πυρέττειν. Id. ibid. p. 168 b : ἢ πάλιν, ὡς ἐν τῷ Μελίσσου λόγῳ, τὸ αὐτὸ εἶναι λαμβάνει τὸ γεγονέναι καὶ ἀρχὴν ἔχειν, ἢ τὸ ἴσοις γίνεσθαι καὶ ταὐτὸ μέγεθος λαμβάνειν. ὅτι γὰρ τὸ γεγονὸς ἔχει ἀρχήν, καὶ τὸ ἔχον ἀρχὴν γεγονέναι ἀξιοῖ, ὡς ἄμφω ταὐτὰ ὄντα τῷ ἀρχὴν ἔχειν, τό τε γεγονὸς καὶ τὸ πεπερασμένον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἴσων γινομένων εἰ τὰ τὸ αὐτὸ μέγεθος καὶ ἓν λαμβάνοντα ἴσα γίνεται, καὶ τὰ ἴσα γενόμενα ἓν μέγεθος λαμβάνει. Id. Phys. lib. I, 2 pag. 184 b : ἀνάγκη δ' ἤτοι μίαν εἶναι τὴν ἀρχὴν ἢ πλείους, καὶ εἰ μίαν, ἤτοι ἀκίνητον, ὥς φησι Παρμενίδης καὶ Μέλισσος, ἢ κινουμένην, ὥσπερ οἱ φυσικοί. Et pag. 185 b : ἀλλὰ μὴν εἰ ὡς ἀδιαίρετον, οὐθὲν ἔσται ποσὸν οὐδὲ ποιόν, οὐδὲ δὴ ἄπειρον τὸ ὄν, ὥσπερ Μέλισσός φησιν, οὐδὲ πεπερασμένον, ὥσπερ Παρμενίδης. Idem cap. 3, pag. 186 b : ἀμφότεροι γὰρ ἐριστικῶς συλλογίζονται, καὶ Μέλισσος καὶ Παρμενίδης· καὶ γὰρ ψευδῆ λαμβάνουσι καὶ ἀσυλλόγιστοί εἰσιν αὐτῶν οἱ λόγοι· μᾶλλον δ' ὁ Μελίσσου φορτικὸς καὶ οὐκ ἔχων ἀπορίαν, ἀλλ' ἑνὸς ἀτόπου δοθέντος τἆλλα συμβαίνει· τοῦτο δ' οὐθὲν χαλεπόν. ὅτι μὲν οὖν παραλογίζεται Μέλισσος, δῆλον· οἴεται γὰρ εἰληφέναι, εἰ τὸ γενόμενον ἔχει ἀρχὴν ἅπαν, ὅτι καὶ τὸ μὴ γενόμενον οὐκ ἔχει, κτλ.

(7) Hippocrates de Nat. hom. tom. I p. 349 ed. Kühn. : Ἀλλ' ἐμοί γε δοκέουσι οἱ τοιοῦτοι ἄνθρωποι σφᾶς αὐτοὺς

lephatus (8) et quicunque (9) apud veteres Melissi decreta vel memorant vel impugnant, ex hoc fonte ea hauserint. In recognoscendis vertendisque Melissi fragmentis idem consilium secutus sum quod in Xenophaneis reliquiis interpretandis. Qua de re vide præfationem ad Xenophanem.

καταβάλλειν ἐν τοῖσι ὀνόμασι τῶν λόγων αὐτέων ὑπὸ ἀσυνεσίης, τὸν δὲ Μελίσσου λόγον ὀρθοῦν.

(8) Palæphatus de Incredibilibus, Proœm.: Ἀεὶ δὲ ἔγωγε ἐπαινῶ τοὺς συγγραφέας Μέλισσον καὶ Λαμίσκον τὸν Σάμιον, ἐν ἀρχῇ λέγοντας· ἔστιν ἃ ἐγένετο καὶ νῦν ἔσται.

(9) Suidas v. γεννητική: Μέλισσος ᾤετο τὸ μὴ γενόμενον οὐκ ἔχειν ἀρχήν. ψεῦδος δέ ἐστι· πολλὰ γὰρ ἀγέννητα ὄντα ἀρχὰς ἔχει. Theodoretus Serm. III: Μέλισσος δὲ ὁ Ἰθαγένους ὁ Μιλήσιος, τούτου (τοῦ Παρμενίδου) μὲν ἑταῖρος ἐγένετο, τὴν δὲ παραδοθεῖσαν διδασκαλίαν ἀκήρατον οὐκ ἐτήρησεν· ἄπειρον γὰρ οὗτος ἔφη τὸν κόσμον, ἐκείνων φάντων πεπερασμένον. Sextus Empiricus Pyrrh. hypotyp. lib. III cap. 7: τρεῖς δέ, οἶμαι, γεγόνασιν αἱ ἀνωτάτω περὶ κινήσεως στάσεις. ὁ μὲν γὰρ Βίας καί τινες τῶν φιλοσόφων εἶναι κίνησιν ὑπολαμβάνουσιν, μὴ εἶναι δὲ Παρμενίδης τε καὶ Μέλισσος καὶ ἄλλοι τινές, μὴ μᾶλλον δὲ εἶναι ἢ μὴ κίνησιν ἔφασαν οἱ Σκεπτικοί. Idem adv. Math. X cap. 2, 46: Γνωστέον ὅτι τρεῖς γεγόνασι στάσεις κατὰ τὸ ἀνωτάτω περὶ κινήσεως. οἱ μὲν γάρ φασι κίνησιν εἶναι, οἱ δὲ μὴ εἶναι, οἱ δὲ οὐ μᾶλλον εἶναι ἢ μὴ εἶναι. καὶ εἶναι μὲν ὅ τε Βίας, τοῖς φαινομένοις προσέχων, καὶ οἱ πλείους τῶν φυσικῶν, ὥσπερ οἱ περὶ Πυθαγόραν καὶ Ἐμπεδοκλέα καὶ Ἀναξαγόραν, Δημόκριτόν τε καὶ Ἐπίκουρον· οἷς καὶ οἱ ἀπὸ τοῦ Περιπάτου, ἔτι δὲ καὶ οἱ ἀπὸ τῆς Στοᾶς συναπεγράψαντο, καὶ ἄλλοι παμπληθεῖς. μὴ εἶναι δὲ οἱ περὶ Παρμενίδην καὶ Μέλισσον, οὓς ὁ Ἀριστοτέλης στασιώτας τε τῆς φύσεως καὶ ἀφυσίκους κέκληκεν· στασιώτας μέν, ἀπὸ τῆς στάσεως, ἀφυσίκους δέ, ὅτι ἀρχὴ κινήσεώς ἐστιν ἡ φύσις. Conf. Alexander Aphrodisiensis in Topic. pag. 102 (Scholl. ed. Brandis. pag. 269 b). Id. in Soph. Elench. fol. 17 et 21. Themistius in Physic. fol. 17. (Scholl. ed. Brandis. pag. 330 b). Simplicius in libros de Cœlo fol. 32.

ΜΕΛΙΣΣΟΥ ΑΠΟΣΠΑΣΜΑΤΙΑ.

§ 1. Εἰ μὲν μηδὲν ἔστι, περὶ τούτου τί ἂν λέγοιτο ὡς ἐόντος τινός; εἰ δέ τι ἔστι, ἤτοι γινόμενόν ἐστι, ἢ αἰεὶ ἐόν. Ἀλλ' εἰ γινόμενον, ἤτοι ἐξ ἐόντος ἢ ἐκ μὴ ἐόντος· ἀλλ' οὔτε ἐκ μὴ ἐόντος οἷόν τε γίνεσθαί τι, οὔτε ἄλλο μὲν οὐδὲν ἐόν, πολλῷ δὲ μᾶλλον τὸ ἁπλῶς ἐόν· οὔτε ἐκ τοῦ ἐόντος· εἴη γὰρ ἂν οὕτω καὶ οὐ γίνοιτο. οὐκ ἄρα γινόμενόν ἐστι τὸ ἐόν· αἰεὶ ἐὸν ἄρα ἐστί. Οὔτε φθαρήσεται τὸ ἐόν· οὔτε γὰρ ἐς τὸ μὴ ἐὸν οἷόν τε τὸ ἐὸν μεταβάλλειν· συγχωρέεται γὰρ καὶ τοῦτο ὑπὸ τῶν φυσικῶν· οὔτε ἐς ἐόν· μένοι γὰρ ἂν πάλιν οὕτω γε καὶ οὐ φθείροιτο. Οὔτε ἄρα γέγονε τὸ ἐόν, οὔτε φθαρήσεται. Αἰεὶ ἄρα ἦν τε καὶ ἔσται.

§ 2. Ἀλλ' ἐπειδὴ τὸ γενόμενον ἀρχὴν ἔχει, τὸ μὴ γενόμενον ἀρχὴν οὐκ ἔχει, τὸ δ' ἐὸν οὐ γέγονε, οὐκ ἂν ἔχοι ἀρχήν. Ἔτι δὲ τὸ φθειρόμενον τελευτὴν ἔχει· εἰ δέ τί ἐστι ἄφθαρτον, τελευτὴν οὐκ ἔχει· τὸ ἐὸν ἄρα ἄφθαρτον ἐόν, τελευτὴν οὐκ ἔχει· τὸ δὲ μήτε ἀρχὴν ἔχον μήτε τελευτήν, ἄπειρον τυγχάνει ἐόν· ἄπειρον ἄρα τὸ ἐόν.

§ 3. Εἰ δὲ ἄπειρον, ἕν· εἰ γὰρ δύο εἴη, οὐκ ἂν δύναιτο ἄπειρα εἶναι, ἀλλ' ἔχοι ἂν πέρατα πρὸς ἄλληλα· ἄπειρον δὲ τὸ ἐόν, οὐκ ἄρα πλέω τὰ ἐόντα· ἓν ἄρα τὸ ἐόν.

§ 4. Ἀλλὰ μὴν εἰ ἕν, καὶ ἀκίνητον· τὸ γὰρ ἓν ἐὸν ὁμοῖον αἰεὶ ἑωυτῷ· τὸ δὲ ὁμοῖον, οὔτ' ἂν ἀπόλοιτο, οὔτ' ἂν μέζον γίνοιτο, οὔτε μετακοσμέοιτο, οὔτε ἀλγέοι, οὔτε ἀνιῷτο. Εἰ γάρ τι τούτων πάσχοι, οὐκ ἂν ἓν εἴη· τὸ γὰρ ἡντιναοῦν κίνησιν κινεόμενον ἔκ τινος καὶ ἐς ἕτερόν τι μεταβάλλει· οὐδὲν δὲ ἦν ἕτερον παρὰ τὸ ἐόν, οὐκ ἄρα τοῦτο κινήσεται.

MELISSI FRAGMENTA.

§ 1. Si nihil reapse est, quid de hoc, quasi sit aliquid, dicatur? Si vero est aliquid, id aut oritur aut semper est. Quodsi oritur, aut ex eo quod est, aut ex eo quod non est oriatur oportet; atqui neque ex non-ente fieri potest ut cum aliud ens oriatur, tum maxime ens simpliciter dictum, neque ex ente : esset enim hoc modo ac non oriretur. Ergo non oritur ens; sempiternum igitur est. Neque vero interibit ens; non enim fieri potest, ut ens in non-ens mutetur; quippe conceditur et hoc a physicis : neque in ens; ita enim certe rursus maneret ac non interiret. Ergo neque ortum est ens neque interibit. Semper igitur fuit atque erit.

§ 2. Sed quoniam id quod ortum est initium habet, non ortum non habet initium, ens autem ortum non est ideoque non habet initium. Præterea quidquid interit finem habet; quodsi quid interitûs expers est, finem non habet; ens igitur ut interitus expers finem non habet; quod vero neque initium habet neque finem, infinitum est : infinitum igitur ens est.

§ 3. Si vero infinitum, unum simul est; si enim duo essent, non possent esse infinita, sed fines inter se terminosque haberent : infinitum autem ens, non igitur plura entia; unum igitur ens.

§ 4. Enimvero si unum, etiam immotum est : quod enim unum, id sui semper simile est : quod autem simile est, id nec perire possit nec majus fieri neque verso rerum statu et ordine transformari, neque dolere, neque molestiâ affici. Si enim horum quidquam ei accideret, non foret unum; quod enim motu qualicunque cietur, id ex aliquo atque in aliud quid mutatur; atqui nihil aliud ex omni æternitate fuit præter ens : hoc igitur non movebitur.

Quæ initio a nobis posita sunt Melissi fragmenta (§ 1—5) legebantur olim in principio libri, quem περὶ τοῦ ὄντος teste Suida v. Μέλιτος, vel περὶ φύσεως, ut refert Galen. ad Hippocr. de Nat. hom. I p. 5 ed. Kuhn. et de element. sec. Hippocr. I, 9 p. 487, vel *de ente et natura*, ut testantur Alexander Aphrodisiensis et Nicolaus Damascenus apud Bessarionem in Calumn. Platon. II, 11. Ionica dialecto Samius philosophus scripserat. Servavit hos locos Simplicius in Aristotelis Phys. f. 22 b; cujus verba sunt : νῦν δὲ τὸν Μελίσσου λόγον ἴδωμεν, πρὸς ὃν πρότερον ὑπαντᾷ (ὁ Ἀριστοτέλης). τοῖς γὰρ τῶν φυσικῶν ἀξιώμασι χρησάμενος ὁ Μέλισσος περὶ γενέσεως καὶ φθορᾶς, ἄρχεται τοῦ συγγράμματος οὕτως· Εἰ μὲν μηδὲν ἔστι κ. τ. λ. Allatis Melissi verbis hæc subjungit Simplicius : Ταῦτα μὲν οὖν ἀρκεῖ τῶν Μελίσσου ὡς πρὸς τὴν Ἀριστοτέλους ἀντίῤῥησιν. Τὰ δὲ λήμματα αὐτοῦ ὡς συνελόντι φάναι ταῦτα κ. τ. λ. In hoc operis exordio videtur Melissus rerum de quibus acturus erat argumenta breviter ac summatim perstrinxisse eo consilio ut singula postea accuratius et uberius pertractaret, id quod loci ejus alibi a Simplicio memorati et qui hos respexit libri de Melisso, Xenophane et Gorgia auctor abunde ostendunt. Ionicæ dialecti formam magis quam decebat a Brandisio neglectam restituere cœperat Prellerus in Histor. phil. p. 104 seqq. Nos in eo negotio etiam extra fines quos Prellerus sibi constituit egressi sumus.

§ 1. In primo fragmento bis cum Prellero αἰεὶ pro ἀεί edidi et εἰς in ἐς mutavi; præterea ν ἐφελκυστικόν quod ille servaverat ubique in his fragminibus delevi, obsecutus Grammatico Augustano p. 669 Greg. Cor. ed. Schæf. Hoc semel monuisse sufficiat. Cæterum quos φυσικούς vocat Melissus, iidem a Diogene Apolloniate φυσιολόγοι nominabantur. Cf. Simplic. in Arist. phys. p. 32 b. Cum hoc Melissi loco recte comparavit Brandisius initium libri de Melisso, Xenophane et Gorgia compositi.

§ 3. πλέω edidi pro πλείω; sic enim plerumque Iones, quamquam etiam alteram formam in codd. interdum inveniri non ignoro.

§ 4. ὁμοῖον, μέζον, γίνοιτο cum Prellero pro iis quæ in

§ 5. Καὶ κατ' ἄλλον δὲ τρόπον οὐδὲν κενεόν ἐστι τοῦ ἐόντος· τὸ γὰρ κενεὸν οὐδέν ἐστι· οὐκ ἂν ὦν εἴη τό γε μηδέν. Οὐ κινέεται ὦν τὸ ἐόν· ὑποχωρῆσαι γὰρ οὐκ ἔχει οὐδαμῇ, κενεοῦ μὴ ἐόντος. Ἀλλ' οὐδὲ ἐς ἑωυτὸ συσταλῆναι δυνατόν· εἴη γὰρ ἂν οὕτως ἀραιότερον ἑωυτοῦ καὶ πυκνότερον· τοῦτο δὲ ἀδύνατον. Τὸ γὰρ ἀραιὸν ἀδύνατον ὁμοίως εἶναι πλῆρες τῷ πυκνῷ, ἀλλ' ἤδη τὸ ἀραιόν γε κενεώτερον γίνεται τοῦ πυκνοῦ· τὸ δὲ κενεὸν οὐκ ἔστι. Εἰ δὲ πλῆρές ἐστι τὸ ἐὸν ἢ μή, κρίνειν χρὴ τῷ ἐσδέχεσθαί τι αὐτὸ ἄλλο, ἢ μή· εἰ γὰρ μὴ ἐσδέχεται, πλῆρες· εἰ δὲ ἐσδέχοιτό τι, οὐ πλῆρες. Εἰ ὦν ἐστι μὴ κενεόν, ἀνάγκη πλῆρες εἶναι· εἰ δὲ τοῦτο, μὴ κινέεσθαι· οὐχ ὅτι μὴ δυνατὸν διὰ πλήρεος κινέεσθαι, ὡς ἐπὶ τῶν σωμάτων λέγομεν, ἀλλ' ὅτι πᾶν τὸ ἐὸν οὔτε ἐς ἐὸν δύναται κινέεσθαι· οὐ γὰρ ἔστι τι παρ' αὐτό· οὔτε ἐς τὸ μὴ ἐόν· οὐ γὰρ ἔστι τὸ μὴ ἐόν.

* * *

§ 5. Sed alia etiam ratione nihil vacuum est ente; vacuum enim nihil est : ergo illud certe quod nihil appellamus non fuerit. Non movetur igitur ens; neque enim habet quo concedat, quia vacuum non est. Neque vero fieri potest, ut in se ipsum contrahatur : ita enim rarius fuerit se ipso et densius; hoc autem fieri nequit. Quippe fieri non potest, ut rarum æque plenum sit ac densum, sed rarum certe etiam magis vacuum fit denso; vacuum vero non est. Num autem plenum sit ens an minus, judicari oportet ex alio aut recepto aut non recepto : si enim non recipit, plenum est; si vero recipiat aliquid, non plenum. Si igitur non est vacuum, necesse est plenum esse, si vero hoc, non moveri; non quod fieri nequeat, ut quid per plenum moveatur, quemadmodum in corporibus dicimus, sed quod universum ens neque in ens se movere potest : non enim quidquam est præter ipsum : neque in non-ens, non enim est non-ens.

* * *

§ 6. Αἰεὶ ἦν ὅ,τι ἦν, καὶ αἰεὶ ἔσται· εἰ γὰρ ἐγένετο, ἀναγκαῖόν ἐστι πρὶν γενέσθαι εἶναι μηδέν· εἰ τοίνυν μηδὲν ἦν, οὐδαμῇ ἂν ἐγένετο μηδὲν ἐκ μηδενός.

* * *

§ 6. Semper fuit quidquid fuit, et semper erit : si enim ortum esset, necesse est ante ortum fuisse nihil; si igitur nihil erat, haudquaquam nihil e nihilo ortum esset.

* * *

§ 7. Ὅ τε τοίνυν οὐκ ἐγένετο, ἔστι τε καὶ αἰεὶ ἦν, καὶ αἰεὶ ἔσται· καὶ ἀρχὴν οὐκ ἔχει οὐδὲ τελευτήν, ἀλλ' ἄπειρόν ἐστι. Εἰ μὲν γὰρ ἐγένετο, ἀρχὴν ἂν εἶχε· ἤρξατο γὰρ ἄν ποτε γινόμενον· καὶ τελευτήν· ἐτελεύτησε γὰρ ἄν ποτε γινόμενον. Εἰ δὲ μήτε ἤρξατο μήτε ἐτελεύτησε, αἰεί τε ἦν καὶ αἰεὶ ἔσται, οὐκ ἔχον ἀρχὴν οὐδὲ τελευτήν. Οὐ γὰρ αἰεὶ εἶναι ἀνυστόν, ὅ,τι μὴ πᾶν ἔστι.

* * *

§ 7. Quod igitur ortum non est, semperque est et fuit, ac semper erit : id neque initium habet neque finem, sed infinitum est. Si enim ortum esset, initium haberet : nasci enim aliquando cœpisset; et finem : fieri enim aliquando desiisset. Sin autem neque cœpit neque desiit : semper fuit semperque erit, non habens initium neque finem. Neque enim fieri potest, ut semper sit nisi quod universum sit.

* * *

codd. leguntur ὅμοιον, μεῖζον, γίγνοιτο exaravi. Præterea ἀλγέοι et ἀνιῷτο scripsi pro vulg. ἀλγέει et ἀνιῆται.

§ 5. οὖν ter mutavi in ὦν; reliqua jam Prellerus correxerat. Ad verba οὐδὲ εἰς ἑωυτὸ συσταλῆναι recte observat Brandisius : « διακρινόμενον sive συγκρινόμενον. » Cf. quæ diximus de his vocibus in edit. Democriti p. 386.

§ 6. Exstat hoc fragmentum apud Simplicium in Aristot. Phys. fol. 34 b, qui sic scribit : καὶ Μέλισσος δὲ τὸ ἀγένητον τοῦ ὄντος ἔδειξε, τῷ κοινῷ τούτῳ χρησάμενος ἀξιώματι. γράφει δὲ οὕτως· Ἀεὶ κ. τ. λ. Erunt fortasse qui verba εἰ γὰρ ἐγένετο, ἀναγκαῖόν ἐστι πρὶν γενέσθαι εἶναι μηδέν insolens quid habere censeant, sed ut apud Æschin. C. Ctes. p. 86 εἰ δ' ἦν ἀναγκαῖον ῥηθῆναι, οὐ Δημοσθένους ἦν ὁ λόγος et apud Æschylum Agam. 875 καὶ τραυμάτων μὲν εἰ τόσων ἐτύγχανεν, — τέτρωται δικτύου πλέω λέγειν et aliis locis quos citat Bernhardyus Syntax. ling. gr. p. 376 nihil mutandum est, quum ob sententiæ diversitatem loquendi forma differat a vulgari, ita hic membranarum scripturam conservari oportet. At aliter judicandum de extremis εἰ τοίνυν μηδὲν ἦν, οὐδαμῇ ἂν γένοιτο μηδὲν ἐκ μηδενός, ubi pro γένοιτο substitui ἐγένετο.

§ 7. Quæ sequuntur fragmenta (§ 7—10) servavit Simplicius l. l. fol. 23 b, cujus verba sunt : ἐγκαλεῖται δὲ ὁ Μέλισσος, καὶ ὡς τῆς ἀρχῆς πολλαχῶς λεγομένης, ἀντὶ τῆς κατὰ χρόνον ἀρχῆς, ἥτις ὑπάρχει τῷ γενητῷ, τὴν κατὰ τὸ πρᾶγμα λαβών, ἥτις καὶ τοῖς ἀθρόως μεταβάλλουσιν οὐχ ὑπάρχει. Ἔοικε δὲ αὐτὸς καὶ πρὸ τοῦ Ἀριστοτέλους τεθεᾶσθαι καλῶς, ὅτι πᾶν σῶμα καὶ τὸ ἀΐδιον πεπερασμένον ὑπάρχον, πεπερασμένην ἔχει δύναμιν, καὶ ὅσον ἐφ' ἑαυτῷ ἀεὶ ἐν τέλει χρόνου ἐστίν·.... ὥστε τὸ κατὰ μέγεθος ἀρχὴν καὶ τέλος ἔχον, καὶ κατὰ χρόνον ἔχει ταῦτα· καὶ ἀνάπαλιν· τὸ γὰρ ἀρχὴν ἔχον χρόνου καὶ τέλος, οὐχ ἅμα πᾶν ἐστι· διὸ ποιεῖται τὴν μὲν ἀπόδειξιν ἀπὸ τῆς κατὰ χρόνον ἀρχῆς καὶ τελευτῆς. Ἄναρχον δὲ οὕτω καὶ ἀτελεύτητον οὔ φησιν εἶναι, ὃ μὴ πᾶν ἐστι, τουτέστιν ὃ μὴ ἅμα ὅλον ἐστίν· ὅπερ τοῖς ἀμερέσιν ὑπάρχει καὶ τῷ ὄντι ἀπείροις· τῷ δέ γε ἁπλῶς ὄντι, καὶ κυριώτατα· τῷ γὰρ ὄντι πᾶν ἐκεῖνό ἐστι. λέγει δὲ ταῦτα οὕτως ὁ Μέλισσος· Ὅ τε τοίνυν κ. τ. λ (§ 7). Καὶ ὅτι μὲν τὸ ποτὲ χρονικόν ἐστι, δῆλον. ὅτι δὲ γινόμενον τὸ κατ' οὐσίαν γενητὸν εἶπεν, ὃ ἕως ἂν ᾖ γινόμενόν ἐστι καὶ οὐκ ὄν, δῆλον ἐκ τοῦ· ἐτελεύτησεν ἄν ποτε γινόμενον (§ 7) καὶ ἐκ τοῦ· οὐ γὰρ ἀεὶ εἶναι ἀνυστὸν ὅ, τι μὴ πᾶν ἐστι (§ 7), ὡς τοῦ ἀεὶ ὄντος, ὃ καὶ πᾶν ἐστιν, ἀντικειμένου τῷ γενητῷ. Ὅτι δὲ ὥσπερ τὸ ποτὲ πεπερασμένον τῇ οὐσίᾳ φησίν, οὕτω καὶ τὸ ἀεὶ ὂν ἄπειρον λέγει τῇ οὐσίᾳ, σαφὲς πεποίηκεν εἰπών· Ἀλλ' ὥσπερ ἐστὶν κ. τ. λ. (§ 8) μέγεθος δὲ οὐ τὸ διαστατόν φησιν· αὐτὸς γὰρ ἀδιαίρετον τὸ ὂν δείκνυσιν· Εἰ γὰρ διῄρηται φησι κ. τ. λ. (§ 15) μέγεθος οὖν τὸ δίαρμα αὐτὸ λέγει τῆς ὑποστάσεως. ὅτι γὰρ ἀσώματον εἶναι βούλεται τὸ ὄν, ἐδήλωσεν εἰπών· Εἰ μὲν ἐὸν εἴη (§ 16) καὶ ἐφεξῆς δὲ τῷ ἀϊδίῳ τὸ ἄπειρον κατὰ τὴν οὐσίαν συνέταξεν, εἰπών. Ἀρχὴν δὲ καὶ κ. τ. λ. (§ 9) ὥστε τὸ μὴ ἔχον, ἄπειρόν ἐστιν· ἀπὸ τοῦ ἀπείρου δὲ τὸ ἓν συνελογίσατο, ἐκ τοῦ· Εἰ μὴ ἓν εἴη κ. τ. λ. (§ 10).

§ 8. Ἀλλ' ὥσπερ ἐστὶ αἰεί, οὕτω καὶ τὸ μέγαθος ἄπειρον αἰεὶ χρὴ εἶναι.

* * *

§ 9. Ἀρχὴν δὲ καὶ τέλος ἔχον, οὐδὲν οὔτε ἀΐδιον οὔτε ἄπειρόν ἐστι.

* * *

§ 10. Εἰ μὴ ἓν εἴη, περανέει πρὸς ἄλλο.

* * *

§ 11. Οὕτως ὦν ἀΐδιόν ἐστι καὶ ἄπειρον καὶ ἓν καὶ ὅμοιον (τὸ) πᾶν· καὶ οὔτ' ἂν ἀπόλοιτο, οὔτ' ἂν μέζον γίνοιτο, οὔτε μετακοσμέοιτο, οὔτε ἀλγέοι, οὔτε ἀνιῷτο· εἰ γάρ τι τούτων πάσχοι, οὐκ ἂν ἔτι ἓν εἴη· εἰ γὰρ ἑτεροιοῦται, ἀνάγκη τὸ ἐὸν μὴ ὅμοιον εἶναι, ἀλλ' ἀπόλλυσθαι τὸ πρόσθεν ἐόν, τὸ δὲ οὐκ ἐὸν γίνεσθαι. Εἰ τοίνυν τρισμυρίοισι ἔτεσι ἑτεροῖον γίνοιτο τὸ πᾶν, ὄλοιτο ἂν ἐν τῷ παντὶ χρόνῳ.

§ 12. Ἀλλ' οὐδὲ μετακοσμηθῆναι ἀνυστόν· ὁ γὰρ κόσμος ὁ πρόσθεν ἐὼν οὐκ ἀπόλλυται, οὔτε ὁ μὴ ἐὼν γίνεται. Ὅτε δὲ μήτε προσγίνεται μηδέν, μήτε ἀπόλλυται, μήτε ἑτεροιοῦται, κῶς ἂν μετακοσμηθὲν τῶν ἐόντων τι εἴη; εἰ μὲν γάρ τι ἐγίνετο ἑτεροῖον, ἤδη ἂν καὶ μετεκοσμήθη.

§ 13. Οὐδὲ ἀλγέει· οὐ γὰρ ἂν πᾶν εἴη ἀλγεινόν· οὐ γὰρ ἂν δύναιτο αἰεὶ εἶναι χρῆμα ἀλγεινόν· οὐδ' ἂν ἔχοι

§ 8. Sed quemadmodum semper est : sic etiam magnitudine infinitum semper esse oportet.

* * *

§ 9. Initium vero et finem habens nihil neque sempiternum neque infinitum est.

* * *

§ 10. Nisi unum sit, ad aliud porrigetur.

* * *

§ 11. Ita igitur sempiternum est et infinitum atque unum et simile universum, ac neque interierit, neque majus fiat, neque verso rerum statu et ordine transformetur, neque doleat, neque molestia afficiatur : si enim horum quidquam ei accideret, non amplius unum foret : si enim variatur, necesse est ens non simile esse, sed interire prius ens, non-ens vero nasci. Si igitur triginta millibus annorum aliud fiat universum, intereat omni illo tempore.

§ 12. Sed ne transformari quidem potest; nam prior mundus non interit, neque qui non est oritur. Quum vero nihil neque accedat, neque intereat, neque varietur, quomodo eorum quæ sunt quidquam transformatum sit? si quid enim aliud fieret, jam et transformatum esset.

§ 13. Neque dolet : non enim universum foret ægrum : neque enim posset semper esse res ægra : nec perinde vi-

---

§ 7 iterum affertur a Simplicio fol. 7 usque ad verba ἀλλ' ἄπειρόν ἐστιν, deinde fol. 9 b et fol. 23, ubi hæc leguntur : μήποτε δὲ ὁ Μέλισσος οὐ τῇ οὐσίᾳ τὴν ἀρχὴν ἄπειρον εἶπεν, ἀλλὰ τῷ ἀνεκλείπτῳ τοῦ εἶναι· Ὅ τε γὰρ οὐκ κ. τ. λ. φησιν.—ἔστι τε καὶ ἀεὶ ἦν] sic foll. 7 et 9; sed fol. 23 ἔστι δέ, ἀεὶ ἦν κ. τ. λ. — ἐτελεύτησε γὰρ ἄν ποτε γινόμενον] sic fol. 23; sed fol. 7 ἐτελεύτησε γὰρ ἄν. — εἰ δὲ μήτε ἤρξατο] sic fol. 23; sed fol. 7 ὅτε δὲ μήτε ἦ — καὶ ἀεὶ ἔσται] hæc desunt fol. 7, ubi præterea legitur οὐκ ἔχει pro οὐκ ἔχον, et post vocem τελευτήν adjiciuntur verba ἀλλ' ἄπειρον. — ὅ,τι μὴ πᾶν ἐστι] Quod Brandisius excitatis § 2, 8 et 9 observat, totum non esse absolutum, quod principium ac finem ideoque partes habeat : id rectius sic enuntiatur, ut nihil esse neque æternum neque infinitum dicamus, quod principio ac fine ideoque partibus præditum sit. Hanc autem naturam non convenire nisi universo, id est ei quod simul omne est ac totum, quemadmodum Simplicius exposuit.

§ 10. In verbis εἰ μὴ ἓν εἴη, περανέει πρὸς ἄλλο non sine causa philosophus hac conditionis forma utitur ut Hom. Il. X, 222, εἴ τίς μοι ἕποιτο καὶ ἄλλος, θαρσαλεώτερον ἔσται. Neque enim id quod probabile est consecuturum ex eo quod fingit, sed quod necessario consequitur, hoc loco proponit.

§ 11-14 exstant apud Simplicium l. l. fol. 24, qui hæc præfatur : ἀλλ' ἐπειδὴ ἀρχαιοπρεπῶς ἀλλ' οὐκ ἀσαφῶς ταῦτα καὶ ὁ Μέλισσος ἔγραψε, παρακείσθω καὶ αὐτὰ τὰ ἀρχαῖα γράμματα πρὸς τὸ δύνασθαι τοὺς ἐντυγχάνοντας ἀκριβεστέρους γίνεσθαι κριτὰς τῶν προσφυεστέρων ἐξηγήσεων· λέγει δ' οὖν ὁ Μέλισσος οὕτω, τὰ πρότερον εἰρημένα συμπεραινόμενος, καὶ οὕτω τὰ περὶ τῆς κινήσεως ἐπάγων· Οὕτως κ. τ. λ.

§ 11. Verba οὔτ' ἂν ἀπόλοιτο, οὔτ' ἂν μέζον γίνοιτο, οὔτε μετακοσμέοιτο, οὔτε ἀλγέοι, οὔτε ἀνιῷτο reperiuntur etiam fragm. 4. Utroque loco ad restituendum Ionismum eadem mutavimus. — τρισμυρίοις ἔτεσι bona est Brandisii conjectura pro τριχὶ μιῇ μυρίοις. Quid L. Philaltheus legerit qui interpretatur : « *si ergo omne trifariam protensum infinitis diversis alterum fieret, periret in omni tempore* », non laboro. Certe corruptum fuisse locum in ejus codice ex hac interpretatione apparet. Indicativum ὀλέεται, quem sequente particula ἄν intactum reliquerat Brandisius, correxi in ὄλοιτο. Cæteroqui Berghius l. c. p. 24 verba τρισμυρίοις ἔτεσι a Melisso opposita esse putat Empedocli, quem statuisse existimat triginta millibus annorum absolutis eodem omnia redire, unde essent profecta. Quamobrem huc maxime Empedoclei carminis exordium refert : Ἔστιν ἀνάγκης χρῆμα, κ. τ. λ. Sed hoc licet ingeniosum sit, tamen admodum incertum est. Idem, quod hoc fragmento traditur, placitum apud Aristotelem lib. de Melisso, Xenoph. et G. cap. I invenitur : τοιοῦτο δὲ ὂν τὸ ἓν ἀνώδυνόν τε καὶ ἀνάλγητον, ὑγιές τε καὶ ἄνοσον εἶναι, οὔτε μετακοσμούμενον θέσει, οὔτε ἑτεροιούμενον εἴδει, οὔτε μιγνύμενον ἄλλῳ· κατὰ πάντα γὰρ ταῦτα πολλά τε τὸ ἓν γίγνεσθαι, καὶ τὸ μὴ ὂν τεκνοῦσθαι, καὶ τὸ ὂν φθείρεσθαι ἀναγκάζεσθαι· ταῦτα δὲ ἀδύνατα εἶναι.

§ 12. Scripsi cum Prellero l. l. p. 106 ὁ γὰρ κόσμος ὁ πρόσθεν ἐὼν οὐκ ἀπόλλυται; vulgo enim ἀπολέεται hic exaratur. Deinde in verbis κῶς ἂν μετακοσμηθὲν τῶν ἐόντων τι εἴη, quæ omisit Prellerus, εἴη substitui pro ᾖ.

§ 13. Pro οὐδὲ ἔχει ἴσην δύναμιν τῷ ὑγιεῖ cum Prellero edidi οὐδ' ἂν ἔχοι. Verba ἀπὸ γὰρ ἂν ὄλοιτο ob raram in soluta oratione tmesin pro ἀπόλοιτο γὰρ ἂν memorabilia sunt. Similiter Herodotus VIII, 89 : ἐν δὲ τῷ πόνῳ τούτῳ ἀπὸ μὲν ἔθανε ὁ στρατηγὸς Ἀριαβίγνης. Porro ὡυτὸς dedi pro ὁ αὐτός. « In extremis, inquit Prellerus, ὁ λόγος ἀλγέων eadem loquendi ratione dictum est, qua ὁ λόγος λανθάνων, ψευδόμενος, similia »; quod vereor ut recte se habeat. οὐ γὰρ ἀλγέει ὁ λόγος, ἀλλὰ περὶ τοῦ ἀνιῆσθαι, τοῦτ' ἔστι περὶ τοῦ ἀνιωμένου παντός, ὡυτὸς λόγος τῷ ἀλγέοντι παντί. Philalthei interpretatio, quam ad hanc et præce-

ἴσην δύναμιν τῷ ὑγιεῖ· οὔτ' ἂν ὅμοιον εἴη, εἰ ἀλγέοι· ἀπογινομένου γάρ τευ ἂν ἀλγέοι, ἢ προσγινομένου, καὶ οὐκ ἂν ἔτι ὅμοιον εἴη. Οὐδ' ἂν τὸ ὑγιὲς ἀλγῆσαι δύναιτο· ἀπὸ γὰρ ἂν ὄλοιτο τὸ ὑγιὲς καὶ τὸ ἐόν, τὸ δὲ οὐκ ἐὸν γένοιτο. Καὶ περὶ τοῦ ἀνιῆσθαι ὠύτὸς λόγος τῷ ἀλγέοντι.

§ 14. Οὐδὲ κενεόν ἐστι οὐδέν· τὸ γὰρ κενεὸν οὐδέν ἐστι· οὐκ ἂν ὦν εἴη τό γε μηδέν. Οὐδὲ κινέεται· ὑποχωρῆσαι γὰρ οὐκ ἔχει οὐδαμῇ, ἀλλὰ πλέον ἐστί· εἰ μὲν γὰρ κενεὸν ἦν, ὑπεχώρεε ἂν εἰς τὸ κενεόν· κενεοῦ δὲ μὴ ἐόντος, οὐκ ἔχει ὄκη ὑποχωρήσει [πλέον ὦν ἐὸν οὐ κινέεται]. Πυκνὸν δὲ καὶ ἀραιὸν οὐκ ἂν εἴη· τὸ γὰρ ἀραιὸν οὐκ ἀνυστὸν πλέον εἶναι ὁμοίως τῷ πυκνῷ, ἀλλ' ἤδη τὸ ἀραιόν γε κενεώτερον γίνεται τοῦ πυκνοῦ. Κρίσιν δὲ ταύτην χρὴ ποιήσασθαι τοῦ πλέου καὶ τοῦ μὴ πλέου. Εἰ μὲν χωρέει τι, ἢ ἐσδέχεται, οὐ πλέον· εἰ δὲ μήτε χωρέει μήτε ἐσδέχεται, πλέον. Ἀνάγκη τοίνυν πλέον εἶναι, εἰ κενεὸν μή ἐστι· εἰ τοίνυν πλέον ἐστί, οὐ κινέεται.

* * *

§ 15. Εἰ διήρηται τὸ ἐόν, κινέεται· κινεόμενον δὲ οὐκ ἂν εἴη ἅμα.

* * *

§ 16. Εἰ μὲν ἐὸν ἔστι, δεῖ αὐτὸ ἓν εἶναι· ἓν δὲ ἐόν, δεῖ αὐτὸ σῶμα μὴ ἔχειν· εἰ δὲ ἔχοι πάχος, ἔχοι ἂν μόρια, καὶ οὐκέτι ἂν εἴη ἕν.

* * *

§ 17. Μέγιστον μὲν ὦν σημεῖον οὗτος ὁ λόγος, ὅτι ἓν μόνον ἔστι. Ἀτὰρ καὶ τάδε σημεῖα· εἰ γὰρ ἦν πολλά, τοιαῦτα χρῆν αὐτὰ εἶναι, οἷόν περ ἐγώ φημι τὸ ἓν εἶναι. Εἰ γὰρ ἔστι γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ σίδηρος καὶ χρυσὸς καὶ πῦρ, καὶ τὸ μὲν ζωὸν τὸ δὲ τεθνηκός, καὶ μέλαν καὶ λευκὸν καὶ τὰ ἄλλα πάντα ἄσσα οἱ ἄνθρωποί φασι εἶναι ἀληθέα, εἰ δὴ ταῦτα ἔστι καὶ ἡμέες ὀρθῶς ὁρέομεν καὶ ἀκούομεν, εἶναι χρὴ ἕκαστον τοιοῦτον, οἷόν περ τὸ πρῶτον ἔδοξεν ἡμῖν, καὶ μὴ μεταπίπτειν μηδὲ γίνεσθαι ἑτεροῖον, ἀλλ' αἰεὶ εἶναι ἕκα-

ribus valeret ac si sanum esset : neque simile foret, si doleret : decedente enim aliquo doleret vel accedente, neque amplius simile esset. Neque vero sanum dolere posset : periret enim sanum atque ens, non-ens autem oriretur. Ac de universo molestia affecto idem dicendum quod de dolente.

§ 14. Neque vero quidquam vacuum est; nam vacuum nihil est : ergo illud certe quod nihil appellamus non fuerit. Neque movetur. Non enim habet quo concedat, sed plenum est; si enim vacuum esset, concederet in vacuum : quum vero non sit vacuum, non habet quo concedat [plenum igitur quum sit, non movetur]. Densum vero et rarum non fuerit; rarum enim non potest æque plenum esse ac densum, sed rarum certe etiam magis vacuum fit denso. De pleno autem et non pleno hoc judicium fieri oportet. Si quid capit vel recipit, non plenum; si vero neque capit neque recipit, plenum. Necesse igitur est plenum esse, si vacuum non est; si igitur plenum est, non movetur.

* * *

§ 15. Si divisum est ens, movetur; se movens vero simul non esset

* * *

§ 16. Si ens est, unum esse id oportet; quodsi unum est, nullum id habere corpus oportet; si vero crassitudinem haberet, partes sive membra haberet, neque amplius unum foret.

* * *

§ 17. Magno igitur argumento ea quæ diximus sunt, unum tantum esse. Verum et hæc ejus rei sunt argumenta : si enim multa essent, talia oporteret ea esse, quale ego unum esse dico. Si enim reapse est terra atque aqua et aer et ferrum et aurum et ignis, atque hoc vivum, illud mortuum, et nigrum et album et reliqua omnia quæ homines dicunt esse vera, siquidem hæc sunt et nos recte videmus et audimus, unumquidque tale esse oportet, quale nobis primum visum est, ac non mutari neque aliud fieri, sed semper esse unumquidque tale quale

---

dentem paragraphum Brandisius excitat, nihil lucis affert, sed vitiosorum codicum vestigiis insistit.

§ 14. Hoc fragmentum inde a verbis οὐδὲ κενεόν ἐστι οὐδὲν usque ad verba ὄκη ὑποχωρήσει et a voce κρίσιν usque ad finem repetitur a Simplicio foll. 9 et 17 b. Cf. et § 5. Bis scripsi in hac paragrapho ὦν pro οὖν et πλέον pro πλέων, item postea τοῦ πλέου καὶ τοῦ μὴ πλέου. Legitur enim f. 17 et 24 τοῦ πλέω καὶ τοῦ μὴ πλέω, cujus loco f. 9 male exaratum est πλεὼν καὶ μὴ πλεών.

§ 15. Servavit hoc fragmentum Simplicius l. c. fol. 24. Cf. quæ supra diximus ad § 7—10.

§ 16. Reperitur hoc Melissi decretum ap. Simplicium l. c. fol. 24 a (Vid. ad § 7—10), et a verbis ἓν ἐὸν δεῖ usque ad finem apud eundem fol. 19 : ἀδιαίρετον ὂν τὸ παρ' αὐτοῖς ἓν ὄν, οὔτε πεπερασμένον οὔτε ἄπειρον ὡς σῶμα ἔσται. Καὶ γὰρ ὁ Παρμενίδης κ. τ. λ. καὶ ὁ Μέλισσος, Ἓν ἐόν, φησί, δεῖ κ. τ. λ. Cæteroquin in codd. hic invenitur εἰ μὲν ἐὸν εἴη et postea εἰ δὲ ἔχει πάχος, sed sententia postulat εἰ μὲν ἐὸν ἔστι et εἰ δὲ ἔχοι πάχος. Utrumque jam emendavit Prellerus.

§ 17. Exstat hic Melissi locus apud Simplicium in Arist. l. de Cœl. fol. 137 a et in Scholl. Aristot. p. 590 b ed. Brandis., item ap. Aristoclem quem citat Eusebius Præp. Evang. XIV, 17. Initio post μέγιστον μὲν edidi ὦν pro οὖν, tum cum Prellero virgulam posui post πολλά, et χρή mutavi in χρῆν; vulgo enim legitur πολλὰ τοιαῦτα, χρή. Deinde non dubitavi ζωὸν scribere, licet apud Simplicium ζῷον et apud Aristoclem ζῶν legatur. Porro verba τὰ ἄλλα πάντα ἄσσα οἱ ἄνθρωποί φασιν εἶναι ἀληθέα Aristocli debentur, nisi quod pro ἀληθέα habet ἀληθῶς, apud Simplicium autem reperitur τὰ ἄλλα, ὅσα φασὶν οἱ ἄνθρωποι εἶναι ἀληθῆ. Sequentia apud Aristoclem sic scripta sunt : εἰ δὴ ταῦτα ἔστι ἢ καὶ ἡμεῖς ὀρθῶς ὁρέομεν, apud Simplicium vero εἰ δὴ ταῦτα ἔστι καὶ ἡμεῖς ὀρθῶς ὁρῶμεν. Secuti sumus Aristo-

στον οἷόν περ ἔστιν. Νῦν δέ φαμεν ὀρθῶς ὁρῆν καὶ ἀκούειν καὶ συνιέναι· δοκέει δὲ ἡμῖν τό τε θερμὸν ψυχρὸν γίνεσθαι καὶ τὸ ψυχρὸν θερμόν, καὶ τὸ σκληρὸν μαλθακὸν καὶ τὸ μαλθακὸν σκληρόν, καὶ τὸ ζωὸν ἀποθνήσκειν καὶ ἐκ μὴ ζῶντος γίνεσθαι, καὶ ταῦτα πάντα ἑτεροιοῦσθαι, καὶ ὅ,τι ἦν τε καὶ ὃ νῦν ἔστι οὐδὲν ὁμοῖον εἶναι, ἀλλ' ὅ τε σίδηρος σκληρὸς ἐὼν τῷ δακτύλῳ κατατρίβεσθαι ἐπαρηρώς, καὶ χρυσὸς καὶ λίθος καὶ ἄλλο ὅ,τι ἰσχυρὸν δοκέει εἶναι πᾶν, ἐξ ὕδατός τε γῆ καὶ λίθοι γίνεσθαι, ὥστε συμβαίνει μήτε ὁρῆν μήτε τὰ ἐόντα γινώσκειν. Οὐ τοίνυν ταῦτα ἀλλήλοις ὁμολογέει· φαμένοις γὰρ εἶναι πολλὰ ἀΐδια καὶ εἴδεα καὶ ἰσχὺν ἔχοντα πάντα ἑτεροιοῦσθαι ἡμῖν δοκέει καὶ μεταπίπτειν ἐκ τοῦ ἑκάστοτε ὁρεομένου. Δῆλον τοίνυν, ὅτι οὐκ ὀρθῶς ὁρέομεν, οὐδὲ ἐκεῖνα πολλὰ ὀρθῶς δοκέει εἶναι. Οὐ γὰρ ἂν μετέπιπτε, εἰ ἀληθέα ἦν, ἀλλ' ἦν, οἷόν περ ἐδόκεε ἕκαστον, τοιοῦτον· τοῦ γὰρ ἐόντος ἀληθινοῦ κρέσσον οὐδέν. Ἢν δὲ μεταπέσῃ, τὸ μὲν ἐὸν ἀπώλετο, τὸ δὲ οὐκ ἐὸν γέγονε. Οὕτως ὦν εἰ πολλὰ ἦν, τοιαῦτα χρῆν εἶναι, οἷόν περ τὸ ἕν.

est. Nunc vero dicimus nos recte videre et audire et intelligere; videtur autem nobis calidum fieri frigidum et frigidum calidum, et durum molle et molle durum, et vivum mori atque e non vivo oriri, et hæc omnia variari, et quidquid fuit et quod nunc est neutiquam simile esse, sed ferrum quod durum est digito aptatum conteri haud secus atque aurum et lapis et quidquid aliud forte videtur, atque ex aqua oriri terram et lapides, ita ut contingat, ut neque videamus neque vera cognoscamus. Non congruunt igitur hæc inter se; dicentibus enim multa esse æterna et formæ rerum et valida omnia variari nobis videntur et ex sua quæque specie mutari. Manifestum igitur nos non recte videre, neque illa recte videri esse multa. Non enim mutarentur, si vera essent, sed erat unumquidque tale quale videbatur : nam quod verum est, eo nihil potentius. Sin autem mutatum sit, periit ens, non-ens autem ortum est. Ita igitur, si multa essent, talia ea esse oportebat, quale unum.

---

38. Εἰ γάρ ἐστιν ὕδωρ ἅπαν ἢ πῦρ ἢ ὅ,τι δὴ ἄλλο τοιοῦτον, οὐδὲν κωλύει πλείω εἰπεῖν τοῦ ὄντος ἑνός, εἰ δὴ δι' ἕκαστον ὅμοιον αὐτὸ ἑαυτῷ. καὶ γὰρ μανόν, τὸ δὲ πυκνὸν εἶναι, μὴ ὄντος ἐν τῷ μανῷ κενοῦ. οὐδὲν κωλύειν γάρ, τῷ μανῷ οὐκ ἔστιν ἔν τισι μέρεσι χωρὶς ἀποκεχριμένον τὸ κενόν, ὡς τὸ τοῦ ὅλου, τὸ μὲν εἶναι πυκνόν, καὶ τουτὶ δέ ἐστι μανὸν τὸ πᾶν οὕτως ἔχον· ἀλλ' ὁμοίως ἅπαν πλῆρες ὄν, ὁμοίως ἧττον πλῆρές ἐστι τοῦ πυκνοῦ. εἰ δὲ καὶ ἔστιν, ἀγένητόν ἐστιν, καὶ διὰ τοῦτο δοθείη ἄπειρον εἶναι, καὶ μηδὲ ἐνδέχεσθαι ἄλλο καὶ ἄλλο ἄπειρον εἶναι, διὰ τοῦτο καὶ ἐν τούτῳ ἤδη προσαγορευτέον καὶ ἀδύνατον· πῶς γὰρ ἂν τὸ ἄπειρον ὅσον ᾖ τὸ κενὸν μὴ ὅλον ἂν οἷόν τε εἶναι; Difficillimus locus. Initio εἰ γάρ ἐστιν ὕδωρ recte restituit Bekkerus pro eo quod in Aldina prima et aliis edd. est εἷς γάρ ἐστιν; deinde pro εἰ δὴ δι' ἕκαστον cod. Lips. bene suppeditat εἰ δὴ δεῖ ἕκαστον. Felicianus videtur εἰ δὴ μὴ ἕκαστον legisse. Mox pro οὐδὲν κωλύειν γάρ, τῷ μανῷ οὐκ ἔστιν in membrana Lipsiensi reperitur οὐδὲν κωλύειν γὰρ τὸ μανὸν οὐκ ἔστιν. Tum pro τὸ μὲν εἶναι πυκνόν, καὶ τουτὶ δέ ἐστι μανὸν idem cod. exhibet τὸ μὲν πυκνὸν εἶναι (inverso ordine) καὶ τοῦτ' ἤδη ἐστὶ μανόν. In sequentibus pro vulg. ἀγέννητόν ἐστιν, καὶ διὰ τοῦτο δοθείη ἄπειρον εἶναι, καὶ μηδὲ ἐνδέχεσθαι ibidem exstat ἀγένητόν ἐστι, καὶ διὰ τοῦτο ἄπειρον δοθείη εἶναι, καὶ μὴ ἐνδέχεσθαι. Præterea pro διὰ τοῦτο καὶ ἐν τούτῳ ἤδη προσαγορευτέον Cod. ille διὰ τί καὶ ἓν τοῦτο ἤδη προσαγορευτέον. Denique pro πῶς γὰρ ἂν τὸ ἄπειρον ὅσον ᾖ τὸ κενὸν μὴ ὅλον ἂν οἷόν τε εἶναι idem præbet πῶς γὰρ ἢ τὸ ἄπειρον ὅσον ἢ τὸ μὴ ὅλον ἂν οἴονται εἶναι. Quid in universum his verbis significetur sponte patere existimo, licet admodum sint corrupta. Nimirum Melisso statuenti, ens plenum ac solidum esse neque densitate ac raritate variatum (cf. fragm. 5) plura argumenta opposuit Aristoteles. Singula autem sic corrigo : ῎Ετι ἓν ὂν οὐδὲν ἄτοπον εἰ μὴ πάντη ὅμοιόν ἐστιν. Εἰ γάρ ἐστιν ὕδωρ ἅπαν ἢ πῦρ ἢ ὅ,τι δὴ ἄλλο τοιοῦτον, οὐδὲν κωλύει πλείω εἰπεῖν τοῦ ὄντος ἑνός, εἰ δὴ δεῖ ἕκαστον ὅμοιον αὐτὸ ἑαυτῷ εἶναι. Οὐ γὰρ τὸ μὲν μανόν, τὸ δὲ πυκνὸν εἶναι, μὴ ὄντος ἐν τῷ μανῷ κενοῦ. Οὐδὲν δὲ κωλύει τῷ μανῷ ἐνεῖναι ἔν τισι μέρεσι χωρὶς ἀποκεχριμένον τὸ κενόν, ὥστε τοῦ ὅλου τὸ μὲν πυκνὸν εἶναι τὸ δὲ μανόν, τὸ πᾶν οὕτως ἔχον· ἀλλ' ὁμοίως ἅπαν πλῆρες ὄν, τὸ μανὸν οὐχ ἧττον πλῆρές ἐστι τοῦ πυκνοῦ. Εἰ δὲ καὶ ἀγένητόν ἐστι, πῶς ἂν διὰ τοῦτο ἄπειρον δοθείη εἶναι, καὶ μὴ ἐνδέχεσθαι ἄλλο καὶ ἄλλο ἄπειρον εἶναι; διὰ τί καὶ ἓν τοῦτο ἤδη προσαγορευτέον καὶ ἄπειρον; πῶς γὰρ ἂν τὸ ἄπειρον εἴη ὅσον τὸ ὅλον ἂν οἴονται εἶναι; Hæc ita interpretamur : « Præterea nihil absurdi est, si, quum unum sit, non ubique simile fuerit. Si enim sit aqua universum vel ignis vel quodcunque aliud tale, nihil vetat, quin plura (variaque) ejus quod unum sit membra esse dicamus, siquidem oportet unumquodque sui simile esse membrum. Namque non aliud rarum, aliud densum esse (ait Melissus) quum in raro non insit vacuum. At nihil impedit, quominus in raro separatim positum quibusdam in partibus vacuum insit, ita ut totius aliud membrum sit densum, aliud rarum, quoniam universum ita se habet : sed si universum (ut vult Melissus) similiter plenum est, rarum non minus plenum est quam densum. Si vero etiam non sit ortum, quomodo ideo concedatur infinitum esse, neque fieri posse, ut aliud atque aliud infinitum sit. Cur et unum hoc jam vocandum et infinitum ? Quomodo enim infinitum tantum sit, quantum totum esse posse arbitrantur ? » Verba οὐδὲν κωλύει πλείω εἰπεῖν τοῦ ὄντος ἑνὸς male vertuntur a Feliciano : nihil vetat, quin plura quam unum ens esse dicamus ; hoc enim græce sonat πλείω εἰπεῖν ἑνὸς ὄντος. Sed fortasse in suo exemplari ita scriptum offenderat. Structura τὸ πᾶν οὕτως ἔχον nihil habet insolens, sed quum idem valeat quod τὸ πᾶν τοιοῦτον ὄν, absolute ponitur, ut in illo quod annectit scriptor inciso verba ἀλλ' ὁμοίως ἅπαν πλῆρες ὄν. Porro illa καὶ μὴ ἐνδέχεσθαι ἄλλο καὶ ἄλλο ἄπειρον εἶναι abunde explicantur Xenophanis decreto, cujus paulo superius facta est mentio. Denique ultima ὅσον τὸ ὅλον ἂν οἴονται εἶναι ita converti, ut τὸ δυνητικὸν ἂν eo exprimerem vocabulo quod infinitivis adjunctum ad græcæ particulæ vim declarandam unum omnium maxime valet. Cf. Hermanni de particul. ἂν lib. IV cap. 2 (Opusc. t. IV p. 179).

p. 976. b. 12. Ἀκίνητον δ' εἶναι φησὶν εἰ κενὸν μή ἐστιν. ῞Απαντα γὰρ κινεῖσθαι τῷ ἀλλάττειν τόπον. Πρῶτον μὲν οὖν τοῦτο πολλοῖς οὐ συνδοκεῖ, ἀλλ' εἶναί τι κενόν, οὐ μέντοι τοῦτό γέ τι σῶμα εἶναι, ἀλλ' οἷον καὶ ὁ Ἡσίοδος ἐν τῇ γενέσει πρῶτον τὸ χάος φησὶ γενέσθαι, ὡς δὲ χώραν πρῶτον ὑπάρχειν τοῖς οὖσιν. τοιοῦτον δέ τι καὶ τὸ κενόν, οἷον ἀγγεῖόν τι ἀνὰ μέσον εἶναι ζητοῦμεν. Ita Bekkerus, qui hic jam e cod. Lips. εἰ κενὸν μή ἐστι, quod et Felicianus expressit, pro vulgato ἐ. κ. μέν ἐστι restituit, deinde ex eodem cod. κινεῖσθαι pro κινεῖται depromsit, denique τοῦτό γέ τι pro τό γέ τι vulgavit. Sed ὡς δὲ χώραν ferri non posse jam Füllebornius viderat, quod in Lipsiensi libro legitur ὡς δέον χώραν scribendum esse suspicatus. Præterea parum recte inane quasi vasculum quoddam esse perhibetur ; immo conveniebat illud inane cum eo quod in vasculis videtur esse vacuo comparari. Neque alio utebantur exemplo qui nihil esse inane docebant. Quare Bergkius emendavit : οἷον ἀγγεῖόν τι ἀνὰ μέσον κενόν, εἶναι ζητοῦμεν. Extrema igitur sic conformanda : ἀλλ' οἷον καὶ ὁ Ἡσίοδος ἐν τῇ γενέσει πρῶτον τὸ χάος φησὶ γενέσθαι, ὡς δέον χώραν πρῶτον ὑπάρχειν τοῖς οὖσιν, τοιοῦτον δέ τι καὶ τὸ κενόν, οἷον ἀγγεῖόν τι ἀνὰ μέσον κενόν, εἶναι ζητοῦμεν. Cf. Aristot. Phys. Auscult. IV, 6 : τὸν αὐτὸν δὲ τρόπον ὑποληπτέον εἶναι τοῦ φυσικοῦ θεωρῆσαι καὶ περὶ κενοῦ, εἰ ἔστιν ἢ μή, καὶ πῶς ἔστιν ἢ τί ἐστιν, ὥσπερ καὶ περὶ τόπου· καὶ γὰρ παραπλησίαν ἔχει τήν τε ἀπιστίαν καὶ τὴν πίστιν διὰ τῶν ὑπολαμβανομένων· οἷον γὰρ τόπον τινὰ καὶ ἀγγεῖον τὸ κενὸν τιθέασιν οἱ λέγοντες, δοκεῖ δὲ πλῆρες μὲν εἶναι, ὅταν ἔχῃ τὸν ὄγκον οὗ δεκτικόν ἐστιν, ὅταν δὲ στερηθῇ, κενόν, ὡς τὸ αὐτὸ μὲν ὂν κενὸν καὶ πλῆρες καὶ τόπον, τὸ δ' εἶναι αὐτοῖς οὐ ταὐτὸ ὄν. Adde sub finem capitis μαρ-

τι κενόν, οὐ μέντοι τοῦτό γέ τι σῶμα εἶναι· ἀλλ' οἷον καὶ ὁ Ἡσίοδος ἐν τῇ γενέσει πρῶτον τὸ χάος φησὶ γενέσθαι, ὡς δέον χώραν πρῶτον ὑπάρχειν τοῖς οὖσιν, τοιοῦτον δέ τι καὶ τὸ κενόν, οἷον ἀγγεῖόν τι ἀνὰ μέσον κενόν, εἶναι ζητοῦμεν. Ἀλλὰ δὴ καὶ εἰ μή ἐστι κενόν, μηδέ τι ἧσσον ἂν κινοῖτο, ἐπεὶ καὶ Ἀναξαγόρας ὁ περὶ τὸ αὐτὸ πραγματευθείς, ὡς οὐ μόνον ἀποχρῆσαν αὐτῷ ἀποφήνασθαι, ὅτι οὐκ ἔστιν, ὅμως κινεῖσθαί φησι τὰ ὄντα, οὐκ ὄντος κενοῦ. Ὁμοίως δὲ καὶ ὁ Ἐμπεδοκλῆς κινεῖσθαι μὲν ἀεί φησι συγκρινόμενα τὸν ἅπαντα ἐνδελεχῶς χρόνον, οὐδὲν εἶναι λέγων περισσὸν τοῦ παντός, οὐδὲ κενεόν· πόθεν οὖν τί κ' ἐπέλθοι; ὅταν γὰρ εἰς μίαν μορφὴν συγκριθῇ, ὥσθ' ἓν εἶναι, οὐδέν, φησί, τό γε κενεὸν πέλει οὐδὲ περισσόν. Τί γὰρ κωλύει εἰς ἄλληλα φέρεσθαι καὶ περιίστασθαι πάντα, ὁτουοῦν εἰς ἄλλο, καὶ τούτου εἰς ἕτερον, καὶ εἰς τὸ πρῶτον ἄλλου μεταβάλλοντος ἀεί. Ἔτι καὶ τὴν ἐν τῷ αὐτῷ μένοντος τοῦ πράγματος τόπῳ τοῦ εἴδους μεταβολήν, ἣν ἀλλοίωσιν οἵ τ'

τύριον δὲ καὶ τὸ περὶ τῆς τέφρας ποιοῦνται, ἣ δέχεται ἴσον ὕδωρ ὅσον τὸ ἀγγεῖον τὸ κενόν.

19. Ἀλλὰ δὴ καὶ εἰ μή ἐστι κενόν, μηδέ τι ἧσσον ἂν κινοῖτο, ἐπεὶ καὶ Ἀναξαγόρας τὸ πρὸς αὐτὸ πραγματευθεὶς καὶ οὐ μόνον ἀποχρῆσαν αὐτῷ ἀποφήνασθαι, ὅτι οὐκ ἔστιν, ὅμως κινεῖσθαί φησι τὰ ὄντα, οὐκ ὄντος κενοῦ. Initium integrum est. Post Ἀναξαγόρας Spaldingius poni volebat ὁ πρὸ αὐτοῦ πραγματευθείς, sed mihi cum Bergkio legendum videtur : ἐπεὶ καὶ Ἀναξαγόρας ὁ περὶ τὸ αὐτὸ πραγματευθείς, ὡς οὐ μόνον ἀποχρῆσαν αὐτῷ ἀποφήνασθαι, ὅτι οὐκ ἔστιν, ὅμως κινεῖσθαί φησι τὰ ὄντα. οὐκ ὄντος κενοῦ, ut dicatur Anaxagoras, quamvis id ipsum egerit ut non esse vacuum demonstraret, tamen eo non contentus motum rebus attribuisse.

22. Ὁμοίως δὲ καὶ ὁ Ἐμπεδοκλῆς κινεῖσθαι μὲν ἀεί φησι συγκινούμενα τὸν ἅπαντα ἐνδελεχῶς χρόνον, οὐδὲν εἶναι λέγων ὡς τοῦ παντός, οὐδὲ κενεόν· πόθεν οὖν τί κ' ἐπέλθοι; ὅταν δὲ εἰς μίαν μορφὴν συγκριθῇ, ὡς ἓν εἶναι, οὐδέν φησι τό γε κενεὸν πέλει οὐδὲ περισσόν. Ineptum est κινεῖσθαι συγκινούμενα, neque magis sanum quod Bekkerus e codicibus eruit συγκινόμενα et συγκοινόμενα, cujus loco Lipsiensis præbet συγκρινόμενα. At vero quum non solum ubi dispersa in unum congregantur, sed etiam ubi congregata rursus disperguntur, motus exsistat, Bergkius illud unum συγκρινόμενα non sufficere ratus, διακρινόμενα addidit. Deinde quod sequitur ὅταν δὲ εἰς μίαν μορφὴν συγκριθῇ testimonio esse ait, in præcedentibus fuisse dictum de dissipatione rerum omnium, in qua nihil neque parum neque nimium deprehendatur. In verbis ὡς τοῦ παντός Spaldingius ὡς recte mutavit in περισσόν. Porro in libro Lipsiensi ὡσθὲν εἶναι i. e. ὥσθ' ἓν εἶναι reperitur pro ὡς ἓν εἶναι. Quæ autem in eodem codice corrupta sunt παντὸς δὲ οὐδέν κεν.... πόθον οὖν τι κε πέλθοι, in iis facile vulgatam scripturam agnoscas. Hinc Bergkius suasit, ut locus sic corrigeretur : Ὁμοίως δὲ καὶ ὁ Ἐμπεδοκλῆς κινεῖσθαι μὲν ἀεί φησι συγκρινόμενά τε καὶ διακρινόμενα τὸν ἅπαντα ἐνδελεχῶς χρόνον, ὅταν μὲν διακριθῇ, οὐδὲν εἶναι λέγων περισσὸν τοῦ παντός, οὐδὲ κενεόν· πόθεν οὖν τί κ' ἐπέλθοι· ὅταν δὲ εἰς μίαν μορφὴν συγκριθῇ, ὥσθ' ἓν εἶναι, οὐδέν, φησίν, ὅγε κενεὸν πέλει οὐδὲ περισσόν. Qui mihi in eo potissimum lapsus videtur, quod magis doctrinæ Empedocleæ quam rei de qua hic disputatur rationem habuit. Aristotelem enim Anaxagoræ mentione injecta illud ante omnia spectare manifestum est, ut doceat, etiamsi non sit vacuum, motum tamen non tolli. Quamvis autem Empedocle auctore σύγκρισις non fiat nisi præcedente διακρίσει pariterque διάκρισις nisi post σύγκρισιν non oriatur, tamen ubi quis dogma Empedocleum nihil esse inane et corpora quæ συγκρίσει nascuntur perpetuo moveri velut in transitu significat : ei τοῦ συγκρίνειν vocabulo posito alterum omittere licet, præsertim quando ortus perennitatem, quæ necessario cum διακρίσει copulata et conjuncta est, participio præsentis passivi enuntiat. Quocirca exigua mutatione ita constituo locum : Ὁμοίως δὲ καὶ ὁ Ἐμπεδοκλῆς κινεῖσθαι μὲν ἀεί φησι συγκρινόμενα τὸν ἅπαντα ἐνδελεχῶς χρόνον, οὐδὲν εἶναι λέγων περισσὸν τοῦ παντός, οὐδὲ κενεόν. Πόθεν οὖν τί κ' ἐπέλθοι; ὅταν γὰρ εἰς μίαν μορφὴν συγκριθῇ, ὥσθ' ἓν εἶναι, οὐδέν, φησί, τό γε κενεὸν πέλει οὐδὲ περισσόν. In quo nihil fortasse deest præter δὲ quod respondeat τῷ μὲν posito post κινεῖσθαι. Quæ res Spaldingium adduxit, ut post χρόνον inseri vellet γίγνεσθαι δὲ μηδέποτε. Sed posterius membrum constat interdum desiderari. Cf. Matthiæ Gr. Gr. § 622, 6 et alios qui de particulis scripserunt.

27. Τί γὰρ κωλύει εἰς ἄλληλα φέρεσθαι καὶ περιίστασθαι ἅμα ὁτουοῦν εἰς ἄλλο, καὶ τούτου εἰς ἕτερον καὶ εἰς τὸ πρῶτον, ἄλλου μεταβάλλοντος ἀεί. Hic jam e cod. Lips. ὁτουοῦν pro ὁτιοῦν restituit Bekkerus, servata uti par erat vulgata lectione καὶ εἰς τὸ πρῶτον, cujus loco liber Lips. præbet καὶ εἰ τὸ πρῶτον. Bergkius conjecit : Τί γὰρ κωλύει εἰς ἄλληλα φέρεσθαι καὶ περιίστασθαι πάλιν (vel πάντα) ὁτουοῦν εἰς ἄλλο καὶ τούτου εἰς ἕτερον, εἴτε τὸ πρῶτον εἴτε καὶ ἄλλο, μεταβάλλοντος ἀεί. Collatis enim iis quæ initio hujus capitis leguntur : Ἢ οὐδὲν κωλύει γεγονέναι ἕτερα ἐξ ἑτέρων καὶ τοῦτο εἰς ἄπειρον ἰέναι, ἢ ἀνακάμπτειν κύκλῳ, ὥστε τὸ ἕτερον ἐκ τοῦ ἑτέρου γεγονέναι philosophum dicere verissime monet, fieri posse, ut perpetua hæc sit mutatio, ut unumquidque modo hanc modo illam speciem induat, et vel revertatur in eam formam, qua primum fuerit præditum, vel aliam ex alia asciscat. Sed idem sensus in vulgata scriptura inest, modo pro ἅμα ponatur πάντα, quod Felicianus expressit, et rectius, quam a Bekkero factum est, locus distinguatur. Sic igitur scribendum existimo : Τί γὰρ κωλύει εἰς ἄλληλα φέρεσθαι καὶ περιίστασθαι πάντα, ὁτουοῦν εἰς ἄλλο, καὶ τούτου εἰς ἕτερον, καὶ εἰς τὸ πρῶτον ἄλλου μεταβάλλοντας ἀεί.

29. Ἔτι καὶ τὴν ἐν τῷ αὐτῷ μένοντος τοῦ πράγματος τόπῳ τοῦ εἴδους μεταβολήν, ἣν ἀλλοίωσιν οἵ τ' ἄλλοι κἀκεῖνος λέγει, οὐδὲν ἐκ τῶν εἰρημένων αὐτῷ κωλύει κινεῖσθαι τὰ πράγματα, ὅταν ἐκ λευκοῦ μέλαν ἢ ἐκ πικροῦ γένηται γλυκύ. οὐδὲν γὰρ τὸ μὴ εἶναι κενὸν ἢ μὴ δέχεσθαι τὸ πλῆρες ἀλλοιοῦσθαι κωλύει. Omittitur οὐδὲν post κἀκεῖνος λέγει in Cod. Lips., verum illa voce sententia carere non potest. Deinde pro γένηται legitur γίγνηται, sed alterum præstat. Cæterum μεταβολὴν ἣν ἀλλοίωσιν jam ex eodem Codice restituit Bekkerus pro vulg. μεταβολὴν ἢ ἀλλ. Bergkius horum verborum satis impeditam sententiam esse opinatus scribendum conjecit : Ἔτι καὶ κατὰ τὴν ἐν τῷ αὐτῷ μένοντος τοῦ πράγματος τόπῳ τοῦ εἴδους μεταβολὴν—κινεῖσθαι τὰ πράγματα vel τῇ μεταβολῇ. At accusativus τὴν μεταβολὴν ad κινεῖσθαι relatus aliorum locorum similitudine abunde defenditur, velut Platonico de Legg. II, 656 : ἡδέα γὰρ τούτων ἕκαστα εἶναί φασι, πονηρὰ δέ, καὶ ἐναντίον ἄλλων, οὓς οἴονται φρονεῖν, αἰσχύνονται μὲν κινεῖσθαι τῷ σώματι τὰ τοιαῦτα κ. τ. λ. Ergo nihil mutandum, quamquam non admodum commoda verborum collocatio est. Res de qua disceptatur, exponitur a Melisso fragm. 17. Cf. Aristot. Phys. Auscult. I, 3 : ὅτι μὲν οὖν παραλογίζεται Μέλισσος δῆλον· οἴεται γὰρ εἰληφέναι, εἰ τὸ γενόμενον ἀρχὴν ἔχει ἅπαν, ὅτι καὶ τὸ μὴ γενόμενον οὐκ ἔχει· εἶτα καὶ τοῦτο ἄτοπον, τὸ παντὸς εἶναι ἀρχὴν πράγματος, καὶ μὴ

ἄλλοι κἀκεῖνος λέγει, οὐδὲν ἐκ τῶν εἰρημένων αὐτῷ κωλύει κινεῖσθαι τὰ πράγματα, ὅταν ἐκ λευκοῦ μέλαν ἢ ἐκ πικροῦ γένηται γλυκύ· οὐδὲν γὰρ τὸ μὴ εἶναι κενὸν ἢ μὴ δέχεσθαι τὸ πλῆρες ἀλλοιοῦσθαι κωλύει. Ὥστε οὔτε ἅπαντα ἀΐδια, οὔθ' ἓν, οὔτ' ἄπειρον ἀνάγκη εἶναι· ἀλλ' οὔτε ἄπειρα πολλά, οὔτε ἓν ὅμοιον, οὔτ' ἀκίνητον οὔτ' εἰ ἓν οὔτ' εἰ πόλλ' ἄττα. Τούτων δὲ κειμένων, καὶ μετακοσμεῖσθαι καὶ ἑτεροιοῦσθαι τὰ ὄντα οὐδὲν
977 κωλύει ἐκ τῶν ὑπ' ἐκείνου εἰρημένων, καὶ ἑνὸς ὄντος τοῦ παντὸς κινήσεως οὔσης, καὶ πλήθει καὶ ὀλιγότητι διαφέροντος, καὶ ἀλλοιουμένου, οὐδενὸς προσγιγνομένου, εἰ δ' ἄρα τινός, οὐ σώματος, καὶ εἰ πολλῶν, συμμισγομένων καὶ διακρινομένων ἀλλήλοις. Τὴν γὰρ μῖξιν οὔτ' ἐπιπρόσθεσιν τοιαύτην εἶναι οὔτε σύνθεσιν εἰκὸς οἵαν λέγει, ὥστε ἢ χωρὶς εὐθὺς εἶναι, ἢ καί, ἀποστρεφθέντων ἐπίπροσθεν ἑτέρου ἑτέρων, φαίνεσθαι χωρὶς ἀλλήλων ταῦτα, ἀλλ' οὕτω συγκεῖσθαι ταχθέντα, ὥστε ὁτιοῦν τοῦ μιγνυμένου παρ' ὁτιοῦν μέρος μεμῖχθαι οὕτως ὡς μὴ ἀναληφθῆναι συγκείμενα, ἀλλὰ μεμιγμένα ἁρμόττειν ὁποιαοῦν τῷ παντὶ μέρη. Ἐπεὶ γὰρ οὐκ ἔστι σῶμα τὸ ἐλάχιστον, ἅπαν ἅπαντι μέρος μέμικται ὁμοίως καὶ τὸ ὅλον.

τοῦ χρόνου καὶ γενέσεως μὴ τῆς ἁπλῆς, ἀλλὰ καὶ ἀλλοιώσεως, ὥσπερ οὐκ ἀθρόας γιγνομένης μεταβολῆς.

35. Ὥστε οὔτε ἅπαντα ἀΐδια οὔθ' ἓν οὔτ' ἄπειρον ἀνάγκη εἶναι, ἀλλ' ἄπειρα πολλά. Οὔτε ἕν θ' ὅμοιον, οὔτ' ἀκίνητον, οὔτ' εἰ ἓν οὔτ' εἰ πόλλ' ἄττα. Ita Bekkerus. In cod. Lips. est οὔθ' ἅπαντα. Quod sequitur οὔτ' ante ἄπειρον cum reliquis libris Lipsiensis servat. Neque tamen reprobanda Beckii opinio, qui illud οὔτ' deleri volebat. Cætera quæ in membrana Lipsiensi ut a Bekkero vulgata sunt leguntur ita emendo : Οὔτ' ἄπειρον ἀνάγκη εἶναι· ἀλλ' οὔτε ἄπειρα πολλά, οὔτε ἓν ὅμοιον, οὔτ' ἀκίνητον οὔτ' εἰ ἓν οὔτ' εἰ πόλλ' ἄττα. Eadem in suo exemplari invenerat Felicianus, cujus hæc sunt verba : « Quamobrem neque omnia a terna, neque unum, neque infinitum esse necesse est. Sed neque infinita multa, neque unum simile, neque immobile sive unum sit sive multa quædam. »

38. Τούτων δὲ κειμένων καὶ μετακοσμεῖσθαι καὶ ἑτεροιοῦσθαι τὰ ὄντα οὐδὲν κωλύει ἐκ τῶν ὑπ' ἐκείνῳ εἰρημένων, καὶ ἑνὸς ὄντος τοῦ παντὸς κινήσεως οὔσης, καὶ πλήθει καὶ ὀλιγότητι διαφέροντος, καὶ ἀλλοιουμένου οὐδενὸς προσγιγνομένου. Εἰ δ' ἄρα τινός, οὐ τοῦ σώματος, καὶ εἰ πολλὰ συμμισγομένων καὶ συνδιακρινομένων ἀλλήλοις. Minus recte hæc a Bekkero distincta sunt. Præterea cod. Lips. præbet : ἑτεροιοῦσθαι τὰ ὄντα οὐδένα κωλύει ἐκ τῶν ὑπ' ἐκείνου εἰρημένων, quibus quidem verbis vitium istud ὑπ' ἐκείνῳ tollitur, sed tamen illud οὐδὲν vulgatæ lectionis servari oportet. Ultima in libro Lipsiensi hoc modo exarantur : συμμισγομένων καὶ διακρινομένων. Beckius post πολλά distinctionis virgulam ponendam putavit et προσγίγνεται vel εἰσί subaudiri voluit. Nobis εἰ πολλῶν i. e. προσγιγνομένων requiri videtur. Sic autem scribimus: Τούτων δὲ κειμένων, καὶ μετακοσμεῖσθαι καὶ ἑτεροιοῦσθαι τὰ ὄντα οὐδὲν κωλύει ἐκ τῶν ὑπ' ἐκείνου εἰρημένων, καὶ ἑνὸς ὄντος τοῦ παντὸς κινήσεως οὔσης, καὶ πλήθει καὶ ὀλιγότητι διαφέροντος, καὶ ἀλλοιουμένου, οὐδενὸς προσγιγνομένου, εἰ δ' ἄρα τινός, οὐ σώματος, καὶ εἰ πολλῶν, συμμισγομένων καὶ διακρινομένων ἀλλήλοις. Felicianus videtur εἰ γάρ τινος legisse; vertit enim extrema : « Nulla re alia accedente, nam si modo quidquam id est, quod accedit, corpus non est, et si multa sint, dum ea inter se simul commiscentur et secernuntur. »

p. 977. a. 4. Τὴν γὰρ μῖξιν οὔτ' ἐπιπρόσθεσιν τοιαύτην εἶναι οὔτε σύνθεσιν εἰκὸς οἵαν λέγειν. Ὥστε ἢ χωρὶς εὐθὺς εἶναι, ἢ καὶ ἀποστρεφθέντος ἐπίπροσθεν ἕτερα ἑτέρων φέρεσθαι χωρὶς ἀλλήλων ταῦτα, ἀλλ' οὕτω συγκεῖσθαι ταχθέντα ὥστε ὁτιοῦν μιγνυμένου παρ' ὁτιοῦν ᾧ μίγνυσθαι μέρος, οὕτως ὡς μὴ ἀναληφθῆναι συγκείμενα, ἀλλὰ μεμιγμένα, μηδ' ὁποιαοῦν αὐτῷ μέρη. Ἐπεὶ γὰρ οὐκ ἔστι σῶμα τὸ ἐλάχιστον, ἅπαν ἅπαντι μέρος μέμικται ὁμοίως καὶ τὸ ὅλον. Locus corruptus ad quem sanandum parum præsidii e cod. Lips. atque e Feliciani interpretatione peti potest. In libro Lipsiensi perperam legitur οὔτ' ἐπὶ πρόσθησιν, quod jam Bekkerus correxit, deinde ἀποστρεφθέντος pro vulgato ἀποστραφέντος permutatione utriusque aoristi non insolita, tum ἕτερα ἑτέρων φαίνεσθαι χωρίς, mox ὥστε ὁτιοῦν τοῦ μιγνυμένου παρ' ὁτιοῦν ὁ (sic) μίγνυσθαι μέρος, præterea μὴ δὲ ποια οὖν αὐτῷ μέρη, denique post ἐλάχιστον id quod Bekkerus recepit ἅπαν ἅπαντι μέρος pro vulgato ἅπαν τι μέρος. Felicianus vertit : « Mixtionem enim neque superadditionem ejusmodi esse neque compositionem, qualem inquit, verisimile est : ut vel statim separata inter se sint, vel in aversione dum alia aliis superoccurrunt, a sese mutuo seorsum ferantur : sed ea quæ mixta sunt, ita esse composita, ut quælibet pars cum qualibet confusa ita sit, ut non composita, sed mixta esse videantur, neque deprehendi qualesnam partes eorum sint possit. Quia enim non est corpus aliquod, quod minimum sit, unaquæque pars simili modo ac totum commixta est. » Quæ partim obscura partim aperte vitiosa sunt. Nam ne de cæteris loquar, extrema illa « *non est corpus aliquod quod minimum sit* » a sensu loci abhorrent. Quis enim ignorat τὸ ἐλάχιστον σῶμα apud philosophos esse minimum vel individuum corpusculum, quod atomi nomine vulgo vocatur. Vide Democr. p. 135. Verba græca sic emendamus : Τὴν γὰρ μῖξιν οὔτ' ἐπιπρόσθεσιν τοιαύτην εἶναι οὔτε σύνθεσιν εἰκὸς οἵαν λέγει, ὥστε ἢ χωρὶς εὐθὺς εἶναι, ἢ καί, ἀποστρεφθέντων ἐπίπροσθεν ἑτέρου ἑτέρων φαίνεσθαι χωρὶς ἀλλήλων ταῦτα, ἀλλ' οὕτω συγκεῖσθαι ταχθέντα, ὥστε ὁτιοῦν τοῦ μιγνυμένου παρ' ὁτιοῦν μέρος μεμῖχθαι οὕτως ὡς μὴ ἀναληφθῆναι συγκείμενα ἀλλὰ μεμιγμένα ἁρμόττειν ὁποιαοῦν τῷ παντὶ μέρη. Ἐπεὶ γὰρ οὐκ ἔστι σῶμα τὸ ἐλάχιστον, ἅπαν ἅπαντι μέρος μέμικται ὁμοίως καὶ τὸ ὅλον. Quorum verborum hæc est sententia : « Nam mixtionem convenit neque additionem esse, neque compositionem qualem ipse dicit, qua vel illico sejuncta esse (ea quæ accedunt, τὰ προσγιγνόμενα) vel aversis ante alia aliis seposita hæc a se invicem apparere statuitur, sed ita ordine esse conjuncta, ut unaquæque mixti particula cuilibet parti admixta sit, eo modo, ut conjunctæ illæ partes non excipiantur deinceps, sed mixta quævis membra universo congruant. Quoniam enim non exstat minimum et individuum corpusculum, unaquæque pars cuilibet mixta est similiter atque totum est mixtum. » Quod initio cum Bekkero posui ἐπιπρόσθεσιν neutiquam mutandum in ἐπιπρόσθησιν, quo scripturæ depravatæ vestigia in cod. Lips. ducunt. Namque ἐπιπρόσθεσις ab ἐπιπροστιθέναι deductum (cf. Dion. Hal. VI, 9) additionem et additamentum designat, quum ἐπιπρόσθησις obstructionem et impeditionem potissimum valeat. Cf. Plutarch. de facie in orb. lun. t. IX p. 684 ed. Reisk. Utrumque vocabulum sæpe a librariis confusum est, ut illo loco, cujus Beckius meminit, apud Plutarch. Consolation. ad Apollon. tom. VI p. 461 ed. Reisk. : ταῦτα δὴ αὐτοῖς πάντα ἐπιπρόσθεσις γίνεται. Reprobata Reiskii conjectura, qui ἐπίπροσθεν γίνεται *impedimento fiunt* scribi volebat, corrige ἐπιπρόσθησις. Cæterum in plerisque lexicis ἐπιπρόσθεσις desideratur.

ΠΕΡΙ ΞΕΝΟΦΑΝΟΥΣ.

ΚΕΦ. γ'.

Ἀδύνατόν φησιν εἶναι, εἴ τι ἔστι, γενέσθαι, τοῦτο λέγων ἐπὶ τοῦ θεοῦ· ἀνάγκη γὰρ ἤτοι ἐξ ὁμοίου ἢ ἐξ ἀνομοίου γενέσθαι τὸ γιγνόμενον. Δυνατὸν δὲ οὐδέτερον· οὔτε γὰρ ὅμοιον ὑφ' ὁμοίου προσήκειν τεκνωθῆναι μᾶλλον ἢ τεκνῶσαι· ταῦτα γὰρ ἅπαντα τοῖς γε ἴσοις καὶ ὁμοίοις οὐχ ὑπάρχειν πρὸς ἄλληλα, οὔτ' ἂν ἐξ ἀνομοίου τἀνόμοιον γενέσθαι. Εἰ γὰρ γίγνοιτο ἐξ ἀσθενεστέρου τὸ ἰσχυρότερον ἢ ἐξ ἐλάττονος τὸ μεῖζον ἢ ἐκ χείρονος τὸ κρεῖττον ἢ τοὐναντίον τὰ χείρω ἐκ τῶν κρειττόνων, τὸ ὂν ἐξ οὐκ ὄντος ἂν γενέσθαι, ὅπερ ἀδύνατον· ἀΐδιον μὲν οὖν διὰ ταῦτα εἶναι τὸν θεόν. Εἰ δ' ἔστιν ὁ θεὸς ἁπάντων κράτιστον, ἕνα φησὶν αὐτὸν προσήκειν εἶναι· εἰ γὰρ δύο ἢ πλείους εἶεν, οὐκ ἂν ἔτι κράτιστον καὶ βέλτιστον αὐτὸν εἶναι πάντων· ἕκαστος γὰρ ὢν τῶν πολλῶν ὁμοίως ἂν τοιοῦτος εἴη. Τοῦτο γὰρ θεὸν καὶ θεοῦ δύναμιν εἶναι, κρατεῖν, ἀλλὰ μὴ

CAPUT TERTIUM.

Secunda libelli pars quæ tertium et quartum caput complectitur rectissime in codice Lipsiensi pariterque in aliis libris quos inspexit Bekkerus, duobus Marcianis, Palatino Vaticano, Urbinate et Parisiensi, Ἀριστοτέλους περὶ Ξενοφάνους inscribitur, quum ineptam in reliquis exemplaribus inscriptionem περὶ Ζήνωνος in fronte gerat.

p. 977. a. 14. Ἀδύνατόν φησιν εἶναι, εἴ τι ἔστι, γενέσθαι, τοῦτο λέγων ἐπὶ τοῦ θεοῦ. ἀνάγκη γὰρ ἤτοι ἐξ ὁμοίων ἢ ἐξ ἀνομοίων γενέσθαι τὸ γενόμενον. Hic cod. Lips. ἤτοι ἐξ ὁμοίου ἢ ἐξ ἀνομοίου γενέσθαι τὸ γενόμενον, id quod et aptius est vulgato et confirmatur Simplicii verbis Comment. in Arist. Phys. fol. 6 a : ἀγένητον δὲ ἐδείκνυεν ἐκ τοῦ δεῖν τὸ γιγνόμενον ἢ ἐξ ὁμοίου ἢ ἐξ ἀνομοίου γίγνεσθαι. Brandisii opinionem, qui prima hujus capitis verba e primo hujus libelli capite temere arcessita putat atque a Xenophanis ratione aliena videri dicit, nequeo comprobare. Neque enim dubitat philosophus sitne aliquid an non sit, sed potius hac sententia esse aliquid contendit ut ea quæ paulo inferius posita est enuntiatione εἰ δ' ἔστιν ὁ θεὸς ἁπάντων κράτιστον κ. τ. λ. Karstenius deleto τι, quemadmodum in Parmenidis dicto ἔστιν ἢ οὐκ ἔστιν, legendum conjicit ἀδύνατόν φησιν, εἴπερ ἔστι, γενέσθαι eo sensu, ut sit τὸ εἰλικρινῶς ὂν γένεσιν ἔχειν, ἀδύνατον. Sed hæc vis in vulgata etiam scriptura inest.

16. Δυνατὸν δὲ οὐδέτερον. οὔτε γὰρ ὅμοιον ὑφ' ὁμοίου προσήκειν τεκνωθῆναι μᾶλλον ἢ τεκνῶσαι (ταὐτὰ γὰρ ἅπαντα τοῖς γε ἴσοις ἢ ὁμοίοις ὑπάρχειν πρὸς ἄλληλα) οὔτ' ἂν ἐξ ἀνομοίου τὸ ἀνόμοιον γενέσθαι. Ita Bekkerus, sed hac ratione locum scribi non posse jam perspexerunt Brandisius in Comm. Eleatt. p. 26 et Karstenius Xenoph. p. 101 e libro Lipsiensi corrigentes τοῖς γε ἴσοις ὁμοίως. Præterea Karstenius conjicit ταὐτὰ γὰρ ἅπαντα (vel ἁπάντη) ἴσως τοῖς ὁμοίοις ὑπάρχειν. At ne hoc quidem accommodatum est, neque id quod volunt viri docti in exemplari Lipsiensi exstat. Ibi enim Beckio teste reperitur ταῦτα γὰρ ἅπαντα τοῖς γε ἴσοις καὶ ὁμοίως, quod Berghius sic emendavit : ταῦτα γὰρ ἅπαντα τοῖς γε ἴσοις καὶ ὁμοίοις οὐχ ὑπάρχειν πρὸς ἄλληλα, i. e. τὸ τεκνῶσαι καὶ τὸ τεκνωθῆναι. Neque aliud est quod Simplicius l. c. refert : ἀλλὰ τὸ μὲν ὅμοιον ἀπαθές φησιν ὑπὸ τοῦ ὁμοίου. Adde Sext. Empir. Hypot. I. 225 : ἐδογμάτιζε δὲ Ξενοφάνης παρὰ τὰς τῶν ἄλλων ἀνθρώπων προλήψεις ἓν εἶναι τὸ πᾶν καὶ τὸν θεὸν συμφυῆ τοῖς πᾶσιν, εἶναι δὲ σφαιροειδῆ καὶ ἀπαθῆ καὶ ἀμετάβλητον καὶ λογικόν. Extrema οὔτ' ἂν ἐξ ἀνομοίου τὸ ἀνόμοιον γενέσθαι pro quibus vulgo male scribitur οὔτ' ἂν ἐξ ἀνομοίου οὔτ' ἀνόμοιον γενέσθαι e cod. Lips. emendasse se dicit Bekkerus. At ibi habetur τἀνόμοιον, quod quum in alio nescio quo exemplari cum præcedenti voce junctim scriptum esset ἀνομοίουτἀνόμοιον, corruptioni locum dedit. De reliquo cum Lipsiensi codice Feliciani interpretatio consentit. Quod Karstenius ait, diligentem scriptionem postulare τὸ ὅμοιον ὑφ' ὁμοίου, ut mox dicitur οὔτ' ἂν ἐξ ἀνομοίου τὸ ἀνόμοιον, per se quidem verum est, sed Aristotelem Xenophanis carmina pedestri oratione interpretantem in omittendo articulo poetæ vestigia sequi apparet. Ultima recte accepit Karstenius περὶ τοῦ ὄντος, sunt igitur perinde interpretanda ac si dicatur οὔτ' ἂν ἐξ ἀνομοίου ἀνόμοιον τὸ ὂν γενέσθαι.

20. Εἰ γὰρ γίγνοιτο ἐξ ἀσθενεστέρου τὸ ἰσχυρότερον ἢ ἐξ ἐλάττονος τὸ μεῖζον ἢ ἐκ χείρονος τὸ κρεῖττον, ἢ τοὐναντίον τὰ χείρω ἐκ τῶν κρειττόνων, τὸ οὐκ ὂν ἐξ ὄντος ἂν γενέσθαι. Pleræque editiones habent τὸ οὐκ ἐξ ὄντος ἂν γενέσθαι. Cod. Lips. τὸ οὐκ ὂν ἐξ ὄντος ἂν γενέσθαι, quod placuit Brandisio Comm. Eleatt, Cousino fragm. phil. et Bekkero. Non male tamen Karstenius scripsit τὸ ὂν ἐξ οὐκ ὄντος propter Simplicii verba l. c. εἰ δὲ ἐξ ἀνομοίου γίγνοιτο, ἔσται τὸ ὂν ἐκ τοῦ μὴ ὄντος. Accedit quod Felicianus videtur eodem modo in suo libro scriptum enisse. Vertit enim : « ex non ente quippiam efficeretur. » Etsi autem intelligi potest quod exhibet liber Lipsiensis, tamen quoniam hic de ortu τοῦ ὄντος quæritur, cum Karstenio τὸ ὂν ἐξ οὐκ ὄντος ponere non dubitavimus.

23. ἀΐδιον μὲν οὖν διὰ ταῦτ' εἶναι. cod. Lips. διὰ ταῦτα εἶναι.

24. In verbis ἕνα φησὶν αὐτὸν προσήκειν εἶναι ultima vox petita est e cod. Lips.; nam in reliquis membranis deest.

25. Pro δύο ἢ ἔτι πλείους εἶεν cod. Lips. omisso ἔτι simpliciter δύο ἢ πλείους, quod præstat, ne in priore etiam membro ponatur vocula, quæ in posteriore οὐκ ἂν ἔτι κράτιστον necessario requiritur. Pro αὐτὸν εἶναι πάντων, quod recte se habet, in cod. L. est αὐτῶν εἶναι πάντων.

26. ἕκαστος γὰρ ἂν θεὸς τῶν πολλῶν ὅμοιος ὢν τοιοῦτος εἴη. Ita plerique omnes libri sensu bono, quem et Felicianus in hunc modum exprimit : « quippe quum unusquisque ex multis deus similis atque idcirco talis foret. » At cod. Lips. præbet ἕκαστος γὰρ ὢν τῶν πολλῶν ὁμοίως ἂν τοιοῦτος εἴη : nam quoniam *esset* unusquisque e multis illis, similiter talis (h. e. κράτιστος) foret. Hanc veram esse scripturam opinor propter Simplicii locum : πλειόνων γὰρ φησιν ὄντων, ὁ μ ο ί ω ς ἀνάγκη ὑπάρχειν πᾶσι τὸ κρατεῖν.

27. τοῦτο γὰρ θεὸν καὶ θεοῦ δύναμιν εἶναι, κρατεῖν, ἀλλὰ μὴ κρατεῖσθαι, καὶ πάντα κρατεῖσθαι εἶναι. Ita Bekkerus Lipsiensem et plerosque alios codd. secutus edidit; nam a Feliciani libro postrema καὶ πάντα κρατεῖσθαι εἶναι, quæ corrupta sunt, abfuerunt. Quamobrem Fullebornius ea deleri volebat. Contra Brandisius καὶ πολλὰ κρατεῖσθαι εἶναι *multa ita se habere ut regantur* legendum suspicatus est, Cousinus auctore Boissonadio correxit καὶ πάντα κρατεῖσθαι ἑνί, *ab uno omnia regi*, Karstenius denique conjecit καὶ πάντων κράτιστον εἶναι, quod unum omnium maxime cum verbis prægressis conciliari potest. Hanc igitur conjecturam depravatæ Aristotelis orationi inserendam duximus.

κρατεῖσθαι, καὶ πάντων κράτιστον εἶναι· ὥστε καθὸ μὴ κρείττων, κατὰ τοσοῦτον οὐκ εἶναι θεόν. Πλειόνων οὖν ὄντων, εἰ μὲν εἶεν τὰ μὲν ἀλλήλων κρείττους τὰ δὲ ἥττους, οὐκ ἂν εἶναι θεούς· πεφυκέναι γὰρ θεὸν μὴ κρατεῖσθαι. Ἴσων δὲ ὄντων, οὐκ ἂν ἔχειν θεὸν φύσιν δεῖν εἶναι κράτιστον· τὸ δὲ ἴσον οὔτε χεῖρον οὔτε βέλτιον εἶναι τοῦ ἴσου. Ὥστε εἴπερ εἴη τε καὶ τοιοῦτος εἴη θεός, ἕνα μόνον εἶναι τὸν θεόν· οὐδὲ γὰρ οὐδὲ πάντα δύνασθαι ἂν ἃ βούλοιτο· οὐ γὰρ ἂν δύνασθαι, πλειόνων ὄντων· ἕνα ἄρα εἶναι μόνον. Ἕνα δ' ὄντα ὅμοιον εἶναι πάντῃ; ὁρᾶν τε καὶ ἀκούειν τάς τε ἄλλας αἰσθήσεις ἔχοντα πάντῃ· ει γαρ μή, κρατεῖν ἂν καὶ κρατεῖσθαι ὑπ' ἀλλήλων τὰ μέρη θεοῦ ὄντα, ὅπερ ἀδύνατον.
Πάντῃ δὲ ὅμοιον ὄντα, σφαιροειδῆ εἶναι· οὐ γὰρ τῇ μὲν b
τῇ δ' οὐ τοιοῦτον εἶναι, ἀλλὰ πάντῃ. Ἀΐδιον δ' ὄντα καὶ ἕνα καὶ σφαιροειδῆ, οὔτ' ἄπειρον εἶναι οὔτε πεπεράνθαι. Ἄπειρον μὲν τὸ μὴ ὂν εἶναι· τοῦτο γὰρ οὔτε ἀρχὴν οὔτε μέσον οὔτε τέλος οὔτε ἄλλο μέρος οὐδὲν ἔχειν· τοιοῦτον δ' εἶναι τὸ ἄπειρον· οἷον δὲ τὸ μὴ ὄν, οὐκ ἂν εἶναι τὸ ὄν, περαίνειν δὲ πρὸς ἄλληλα, εἰ πλείω εἴη. Τὸ δὲ ἓν οὔτε τῷ οὐκ ὄντι οὔτε τοῖς πολλοῖς ὡμοιῶσθαι· ἓν γὰρ οὐκ ἔχει πρὸς ὅ,τι περανεῖ. Τὸ δὴ

---

29. καθὸ μὴ κρείττων, sic Bekkerus e cod. Lips., nam in reliquis male scribitur κρεῖττον.

31. πεφυκέναι γὰρ θεὸν μὴ κρατεῖσθαι. Ita omnes codd. præter Lipsiensem, pro θεὸν invenitur τὸ θεῖον. Hoc autem propterea repudiavimus, quia ubique hoc capite et apud Simplicium legitur θεός.

32. ἴσων δὲ ὄντων, οὐκ ἂν ἔχειν θεὸν φύσιν δεῖν εἶναι κράτιστον. Hæserunt in his verbis viri docti. Ac primum quidem Tiedemanni κρατίστην jure improbarunt Füllebornius et Beckius, quorum posterior δεῖν tanquam inepte additum deleri jussit, hanc sententiæ vim esse ratus : *non posse deum natura præstantissimum esse.* Karstenius nihil mutans sic philosophi præceptum declarat : οὐκ ἂν προσήκειν, θεὸν πεφυκέναι κρατεῖν sive κράτιστον εἶναι, *si plures essent dii inter se æquales, consentaneum fore negat penes deum esse summam potentiam.* At licet δεῖν similiter ut προσήκειν nonnunquam significet *convenire, consentaneum esse*, tamen verborum collocatio huic interpretationi non suffragatur. Itaque sic vertendum : « si plures sint dii inter se æquales, non eam naturam deum esse habiturum, ut necessario potentissimus sit. »

34. ὥστε εἴπερ εἴη τε καὶ τοιοῦτον εἴη θεός. Scribendum videtur τοιοῦτος, ut versu 27, atque hoc Felicianus expressit : « quapropter si est et talis est deus, unum ipsum solum esse. »

35. οὐδὲ γὰρ οὐδὲ πάντα δύνασθαι ἂν ἃ βούλοιτο. οὐδὲ γὰρ ἂν δύνασθαι πλειόνων ὄντων ἕνα εἶναι μόνον. Depravata esse hæc vel repetitum illud atque adeo ter positum οὐδὲ arguit. Karstenius suasit; ut poneretur : ὥστ' εἴπερ ἐστί γε τοιοῦτος, ἕνα μόνον εἶναι τὸν θεόν· οὐδὲ γὰρ οὐδ' ἅπαντα δύνασθαι ἂν ἃ βούλοιτο, πλειόνων ὄντων, ἕνα μόνον. Rectius codex Lipsiensis post βούλοιτο habet : οὐ γὰρ ἂν δύνασθαι, πλειόνων ὄντων· ἕνα ἄρα εἶναι μόνον. Initio duplex οὐδὲ negandi vim auget, quod jam Karstenius adnotavit, qui citat Epicharmum apud Diogenem L. III, 10 : οὐδὲ μὰν οὐδ' αἱ ποτὶ μέτρον κ. τ. λ. et Plat. Phædr. extr. p. 278 E. Sed ita jam frequenter Homerus, velut Il. XVIII, 117 : οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλῆος φύγε Κῆρα, ὅσπερ φίλτατος ἔσκε Διὶ Κρονίωνι ἄνακτι. Omnino quum poetarum magis proprius hic usus sit quam prosæ orationis scriptorum, suspicor Aristotelem magna ex parte Xenophanis verba servasse, quæ forsitan fuerint :

οὐδὲ γὰρ οὐδὲ δύναιτό κε πᾶν τελέειν θεὸς οἶος·
οὐ γὰρ ἔχοι δύναμιν ταύτην πλεόνων ἐν ὁμίλῳ·
οὕτω μοῦνος ἐὼν πάντων κρατέει φρεσὶν ᾗσιν.

37. ἕνα δ' ὄντα ὅμοιον εἶναι πάντῃ, ὁρᾶν τε καὶ ἀκούειν, τάς τε ἄλλας αἰσθήσεις ἔχοντα πάντῃ. εἰ γὰρ μή, κρατεῖν ἂν κ. τ. λ. Ita Bekkerus. Notandum illud vocari πάντῃ ὅμοιον quod sublato partium discrimine unum atque continuum est. Parm. v. 78 : οὐδὲ διαιρετόν ἐστιν, ἐπεὶ πᾶν ἐστιν ὁμοῖον. Ac perperam a Bekkero distinguitur post ἀκούειν. Namque ut recte monet Karstenius verba ὁρᾶν τε καὶ ἀκούειν substantive posita una cum sequenti nomine τάς τε ἄλλας αἰσθήσεις pendent ex ἔχοντα πάντῃ, ut eodem sensu dicatur : ὅρασίν τε καὶ ἀκοὴν τάς τε ἄλλας αἰσθήσεις ἔχοντα πάντῃ.

p. 977 b. 1. πάντῃ δ' ὅμοιον ὄντα σφαιροειδῆ εἶναι· οὐ γὰρ τῇ μὲν τῇ δ' οὐ τοιοῦτον εἶναι, ἀλλὰ πάντῃ. Simplicius l. c. σφαιροειδὲς αὐτὸ διὰ τὸ πανταχόθεν ὅμοιον λέγει. Eandem quam hic legimus sententiam Parmenides exprimit v. 104 seqq. Similiter Aristoteles de Cœlo I, 1 : τὸ δὲ πᾶν .....τέλειον ἀναγκαῖον εἶναι καὶ καθάπερ τοὔνομα σημαίνει, πάντῃ, καὶ μὴ τῇ μὲν τῇ δ' οὔ.

2. ἀΐδιον δ' ὄντα καὶ ἕνα καὶ σφαιροειδῆ, οὔτ' ἄπειρον εἶναι οὔτε πεπεράσθαι. Ita Bekkerus hæc verba vulgavit. Karstenius cum veteribus editionibus πεπερᾶσθαι scripsit. Neutrum ferendum; requiritur enim quod cod. Lipsiensis habet πεπεράνθαι. Nam nullus hic est verbo περᾶν locus, sed solum convenit περαίνειν, ut mirandum sit, homines doctos tale vitium non animadvertisse. Concinit Simplicius l. c. : καὶ οὔτε δὲ ἄπειρον οὔτε πεπερασμένον εἶναι· διότι ἄπειρον μὲν τὸ μὴ ὂν ὡς οὔτε ἀρχὴν ἔχον οὔτε μέσον οὔτε (vulg. μήτε) τέλος, περαίνει δὲ πρὸς ἄλληλα τὰ πλείω. Ultimo vocabulo excepto in reliquis vulgatam lectionem secutus sum, quum initium hujus sententiæ integrius in aliis quam in Lipsiensi libro videatur, ubi legitur : ἀΐδιον δὲ οὕτω καὶ ἕνα καὶ σφαιροειδῆ οὔτε ἄπειρον, οὔτε πεπεράνθαι.

3. ἄπειρον ὃ μὴ ὂν εἶναι Bekkerus, alii ἄπειρον τὸ μὴ εἶναι, cod. Lips. ἄπειρον μὲν ὃ μὴ ὂν εἶναι, sed bene Brandisius correxit ἄπειρον μὲν τὸ μὴ ὂν εἶναι.

4. τοῦτο γὰρ οὔτε μέσον οὔτ' ἀρχὴν καὶ τέλος οὔτ' ἄλλο μέρος οὐδὲν ἔχειν. In his verbis καὶ ante τέλος e correctione in libro Lipsiensi scriptum est; antea fuit οὔτε, quod etiam nunc perspicue apparet, et in cæteris membranis atque apud Simplicium exstat. Quamobrem οὔτε legendum existimo.

6. περαίνειν δὲ πρὸς ἄλληλα, εἰ πλείω εἶεν. Magis attice Cod. Lips. εἰ πλείω εἴη. Si plura sint, ea finibus inter se terminari philosophus dicit, non vero id quod unum sit. Aristot. Phys. III, 4 : ἀεὶ περαίνειν ἀνάγκη ἕτερον πρὸς ἕτερον.

7. τὸ δὲ ἓν οὔτε τῷ οὐκ ὄντι οὔτε τοῖς πολλοῖς ὁμοιοῦσθαι. Rectius Cod. Lips. ὡμοιῶσθαι. Est enim ὁμοιοῦσθαι comparari et assimilari, ὡμοιῶσθαι par vel simile esse. Plat. de Rep. lib. VI p. 498 E : ἄνδρα δὲ ἀρετῇ παρισωμένον καὶ ὡμοιωμένον μέχρι τοῦ δυνατοῦ τελέως, ἔργῳ τε καὶ λόγῳ δυναστεύοντα ἐν πόλει ἑτέρᾳ τοιαύτῃ, οὐ πώποτε ἑωράκασιν οὔτε ἕνα οὔτε πλείους.

8. ἓν γὰρ οὐκ ἔχει πρὸς ὅ, τι περανεῖ. Hæc vulgata est scriptura, quam utique præferendam censemus Lipsiensi πρὸς ὅ, τι περανθείη propter constantem vocabuli usum, quo passivum hac significatione insolens est, et propter verba prægressa περαίνειν δὲ πρὸς ἄλληλα. Brandisius recepit περανθείη, quod si ullo pacto ferri posset, non diceretur

τοιοῦτον ὂν ἕν, ὃν τὸν θεὸν εἶναι λέγει, οὔτε κινεῖσθαι οὔτε ἀκίνητον εἶναι. Ἀκίνητον μὲν γὰρ εἶναι τὸ μὴ ὄν· οὔτε γὰρ ἂν εἰς αὐτὸ ἕτερον, οὔτ' ἐκεῖνο εἰς ἄλλο ἐλθεῖν· κινεῖσθαι δὲ τὰ πλείω ὄντα ἑνός· ἕτερον γὰρ εἰς ἕτερον δεῖν κινεῖσθαι. Εἰς μὲν οὖν τὸ μὴ ὂν οὐδὲν ἂν κινηθῆναι· τὸ γὰρ μὴ ὂν οὐδαμῆ εἶναι. Εἰ δὲ εἰς ἄλληλα μεταβάλλοι, πλείω ἂν αὐτὸ εἶναι ἑνός. Διὰ ταῦτα δὴ κινεῖσθαι μὲν ἂν τὰ δύο ἢ πλείω ἑνός, ἠρεμεῖν δὲ καὶ ἀκίνητον εἶναι τὸ οὐδέν· τὸ δὲ ἓν οὔτε ἠρεμεῖν οὔτε κινεῖσθαι· οὔτε γὰρ τῷ μὴ ὄντι οὔτε τοῖς πολλοῖς ὅμοιον εἶναι. Κατὰ πάντα δὲ οὕτως ἔχειν τὸν θεόν, ἀΐδιόν τε καὶ ἕνα, ὅμοιόν τε καὶ σφαιροειδῆ ὄντα, οὔτε ἄπειρον οὔτε πεπερασμένον, ουτε ἠρεμεῖν οὔτε κινητὸν εἶναι.

ΚΕΦ. δ'.

Πρῶτον μὲν οὖν λαμβάνει καὶ οὗτος τὸ γιγνόμενον γίγνεσθαι ἐξ ὄντος, ὥσπερ ὁ Μέλισσος. Καίτοι τί κωλύει μήτ' ἐξ ὁμοίου μήτ' ἐξ ἀνομοίου τὸ γιγνόμενον γίγνεσθαι, ἀλλ' ἐκ μὴ ὄντος; ἔτι οὐδὲν μᾶλλον ὁ θεὸς ἀγένητος ἢ καὶ τἄλλα πάντα, εἴπερ ἅπαντα ἐξ ὁμοίου ἢ ἀνομοίου γέγονεν, ὅπερ ἀδύνατον. Ὥστε ἢ οὐδέν ἐστι παρὰ τὸν θεὸν, ἢ καὶ τἄλλα ἀΐδια πάντα. Ἔτι κράτιστον τὸν θεὸν λαμβάνει, τοῦτο δυνατώτατον καὶ

---

nisi addito ἄν, ut in illo Æschyleo Prom. v. 885 : οὐδ' ἔχω τίς ἂν γενοίμαν. Karstenius legendum putabat ἓν γὰρ οὐκ ἔχειν πρὸς ὅ, τι περαίνῃ. Sed ut infinitivum ἔχειν non incommodum esse largior, licet a vulgata lectione non sit recedendum, ita περαίνῃ pro περανεῖ neutiquam mihi probatur. Etsi enim fere solemnis est in ejusmodi junctura conjunctivus, ut apud Sophoclem Œd. Col. 318 : οὐκ ἔχω τί φῶ; tamen futurum περανεῖ nihil habet, in quo offendas. Nam in eadem tragœdia (v. 1739) Sophocles : ὅπως μολούμεθ' ἐς δόμους οὐκ ἔχω, et Eurip. Heracl. 440 : ὑμῖν οὐκ ἔχω τί χρήσομαι. Sequentia apud Bekkerum sic scribuntur : τὸ δὲ τοιοῦτον ὂν ἕν, ὃν τὸν θεὸν εἶναι λέγει, οὔτε κινεῖσθαι οὔτε κινητὸν εἶναι. Cod. Lips. suppeditat : τὸ δὴ τοιοῦτον ἓν ὂν τὸν θεὸν εἶναι λέγει, οὔτε κινεῖσθαι οὔτε ἀκίνητον εἶναι. In veteribus editionibus est : τὸ δὴ τοιοῦτον ὂν ἓν ὄν. Hinc nemo dubitabit, quin poni debeat : τὸ δὴ τοιοῦτον ὂν ἕν, ὃν τὸν θεὸν εἶναι λέγει, οὔτε κινεῖσθαι οὔτε ἀκίνητον εἶναι. Cæterum ἀκίνητον jam Tiedemannus conjectura assecutus erat.

11. Pro οὔτε ἐκεῖνο cod. Lips. οὔτ' ἐκεῖνο.

13. εἰς μὲν οὖν τὸ μὴ ὂν οὐδὲν ἂν κινηθῆναι· τὸ γὰρ μὴ ὂν οὐδαμῆ εἶναι. Ita recte Bekkerus cum cod. Lips. Cf. Simplicii locum, quem infra ponemus. Nam in vulgata lectione jure hæsit Karstenius, qui : « melius, inquit, scriptum esset οὐδ' ἂν κινηθῆναι, diligentior vero scribendi ratio postularet hæc ita transponi : εἰ μὲν οὖν μὴ κινηθείη, μηδὲν (i. e. μὴ ὄν) ἂν εἶναι αὐτό. » Idem pro οὐδαμῆ εἶναι corrigendum putat οὐδαμῆ ἰέναι. At his mutationibus licet supersedere.

14. εἰ δὲ εἰς ἄλληλα μεταβάλλοι, πλείω αὐτὸν εἶναι ἑνός. Non liquet, utrum e codd. an e veteribus editionibus Bekkerus sumpserit αὐτόν, quod si recte se haberet, ad deum referri in promtu esset. Sed quoniam Xenophanes deum unum esse, non plures jam supra demonstravit, hic neutrum αὐτὸ flagitatur, quod pertinet ad τὸ ἓν vel τὸ ὄν. Id ipsum Karstenius scripsit, quum in nonnullis editionibus invenisset. Præterea ἂν particulam post πλείω rectius addi idem vir doctus observavit.

16. ἠρεμεῖν δὲ καὶ ἀκίνητον εἶναι τὸ οὐδὲν cod. Lips.; cæteri male ἠρεμεῖν γὰρ ἀκίνητον κ. τ. λ.

17. ἀτρεμεῖν οὔτε κινεῖσθαι omnes codd. Sed mihi cum Karstenio ἀτρεμεῖν in ἠρεμεῖν, quod paullo superius legitur, refingere placet, quia ἀτρεμεῖν licet *quiescendi* notione ab aliis scriptoribus usurpatum sit, tamen non est philosophorum proprium qui τῷ κινεῖσθαι opponunt τὸ ἠρεμεῖν.

20. οὔτε ἠρεμεῖν οὔτε ἀκίνητον εἶναι. Ineptam esse hanc membranarum scripturam dudum Füllebornius viderat οὔτε ἠρεμεῖν οὔτε κινητὸν εἶναι substituendum ratus. Non injuria autem Karstenius ait melius opponi τὸ ἠρεμεῖν τῷ κινεῖσθαι quam τῷ κινητὸν εἶναι, ideoque id quod supra legebatur scribi vult οὔτε κινεῖσθαι οὔτε ἀκίνητον εἶναι. Beckius in codice Lipsiensi illud ἀκίνητον ita exaratum esse testatur, ut dubium sit ἀκίνητον an εὐκίνητον voluerit librarius. Felicianus, qui interpretatur *neque quiescere neque moveri*, videtur κινεῖσθαι legisse. In hac rei ambiguitate ultra Fullebornii conjecturam, quæ proxime ad codicum lectionem accedit, progredi non sum ausus. Quod reliquum est cum eo quod hic tractatur argumento Simplicii verba componamus : παραπλησίως δὲ καὶ κίνησιν ἀφαιρεῖ καὶ τὴν ἠρεμίαν. ἀκίνητον μὲν γὰρ εἶναι τὸ μὴ ὄν· οὔτε γὰρ ἂν εἰς αὐτὸ ἕτερον, οὔτε αὐτὸ πρὸς ἄλλο ἐλθεῖν· κινεῖσθαι δὲ τὰ πλείω τοῦ ἑνός· ἕτερον γὰρ εἰς ἕτερον μεταβάλλειν· ὥστε καὶ ὅταν ἐν ταὐτῷ μένειν λέγῃ καὶ μὴ κινεῖσθαι,

αἰεὶ δ' ἐν ταὐτῷ τε μένειν κινούμενον οὐδὲν
οὐδὲ μετέρχεσθαί μιν ἐπιπρέπει ἄλλοτε ἄλλῃ,

οὐ κατὰ τὴν ἠρεμίαν τὴν ἀντικειμένην τῇ κινήσει μένειν αὐτόν (i. e. τὸν θεόν) φησιν, ἀλλὰ κατὰ τὴν ἀπὸ κινήσεως καὶ ἠρεμίας ἐξῃρημένην.

CAPUT QUARTUM.

p. 977, b. 21 : πρῶτον μὲν οὖν λαμβάνει καὶ οὗτος τὸ γιγνόμενον γίγνεσθαι ἐξ ὄντος, ὥσπερ ὁ Μέλισσος. καίτοι τί κωλύει μήτ' ἐξ ὁμοίου τὸ γιγνόμενον γίγνεσθαι, ἀλλ' ἐκ μὴ ὄντος. Deesse hic aliquid cum ipsa rei natura ostendit, tum Felicianus interpres confirmat, cujus hæc sunt verba : « At enim quid obstat, quin neque ex simili, neque ex dissimili id quod fit, sed ex non ente exsistat? » Statuit Colophonius philosophus, si quid generetur, id aut ex simili aut ex dissimili necessario procreari, neutrum autem fieri posse. Conficitur hoc ex iis quæ cap. 3 leguntur : ἀδύνατόν φησιν εἶναι εἴ τι ἔστι, γενέσθαι, τοῦτο λέγων ἐπὶ τοῦ θεοῦ· ἀνάγκη γὰρ ἤτοι ἐξ ὁμοίου ἢ ἐξ ἀνομοίου γενέσθαι τὸ γιγνόμενον. δυνατὸν δὲ οὐδέτερον. Hinc Karstenius et Bergkius correxerunt : καίτοι τί κωλύει μήτ' ἐξ ὁμοίου μήτ' ἐξ ἀνομοίου τὸ γιγνόμενον γίγνεσθαι, ἀλλ' ἐκ μὴ ὄντος. Nam nihil obstare censet Aristoteles, etiamsi id largiaris, quominus ex nihilo aliquid gignatur. Præterea commodior est verborum collocatio quæ in Lipsiensi codice exstat : πρῶτον μὲν οὖν λαμβάνει τὸ γιγνόμενον καὶ οὗτος ἐξ ὄντος γίγνεσθαι.

24. ὁ θεὸς ἀγέννητος ᾖ e Lipsiensi libro substituisse se dicit Bekkerus pro vulg. ἀγέννητος εἶ, sed in Lipsiensi codice est ἀγένητος ἢ, quam lectionem Felicianus quoque sequitur.

25. εἴπερ ἅπαντα ἐξ ὁμοίου ἢ ἀνομοίου γέγονεν. Sic vulgo; cod. Lips. εἴπερ ἅπαντα ἐξ ὁμοίου ἢ καὶ ἐξ ἀνομοίου γέγονεν.

26. παρὰ τὸν θεὸν exstat in libro Lipsiensi fuitque in codice Feliciani qui recte vertit *præter* deum; in veteribus editionibus habetur περὶ quod ineptum est.

27. ἔτι κράτιστον τὸν θεὸν e Lips. cod. posuit Bekkerus; ante male scribebatur εἴπερ ἅπαντα ἐπικράτιστον τ. θ.

βέλτιστον λέγων. Οὐ δοκεῖ δὲ τοῦτο κατὰ τὸν νόμον, ἀλλὰ πολλὰ κρείττους εἶναι ἀλλήλων οἱ θεοί· οὐκ οὖν ἐκ τοῦ δοκοῦντος εἴληφε ταύτην κατὰ τοῦ θεοῦ τὴν ὁμολογίαν. Τὸ δὲ κράτιστον εἶναι τὸν θεὸν οὐχ οὕτως ὑπολαμβάνων λέγει τις, ὡς πρὸς ἄλλο τι τοιαύτη ἡ τοῦ θεοῦ φύσις, ἀλλὰ πρὸς τὴν αὑτοῦ διάθεσιν, ἐπεὶ τό γε πρὸς ἕτερον οὐδὲν ἂν κωλύοι μὴ τῇ αὑτοῦ ἐπιεικείᾳ καὶ ῥώμῃ ὑπερέχειν, ἀλλὰ διὰ τὴν τῶν ἄλλων ἀσθένειαν. Θέλοι δ' ἂν οὐδεὶς οὕτω τὸν θεὸν φάναι κράτιστον εἶναι, ἀλλ' ὅτι αὐτὸς ἔχει ὡς οἷόν τε ἄριστα, καὶ οὐδὲν ἐλλείπει καὶ εὖ καὶ καλῶς ἔχειν αὐτῷ· ἅμα γὰρ καλῶς ἔχοντι κἀκεῖνο ἂν συμβαίνοι. Οὕτω δὲ διακεῖσθαι καὶ

28. οὐ δοκεῖ δὲ τοῦτο κατὰ τὸν νόμον, ἀλλὰ πολλὰ κρείττους εἶναι ἀλλήλων οἱ θεοί. Karstenius de Xenoph. p. 116 inter ἀλλὰ et πολλὰ inseri vult κατὰ. Fallitur Felicianus hanc enuntiationem ita interpretans : « Id autem ex lege minime videtur, sed in multis præstantiores sese mutuo esse dii dicuntur. » Nam κατὰ νόμον hic non valet *ex lege*, sed *ex vulgari opinione*, cf. Democrit. fragmm. p. 204, 208, deinde ad θεοὶ subaudiendum δοκοῦσι, quod Karstenius jam observavit.

29. οὐκ οὖν ἐκ τοῦ δοκοῦντος εἴληφε ταύτην κατὰ τοῦ θεοῦ τὴν ὁμολογίαν. Ita Bekkerus cum plerisque codd.; Karstenius p. 116 male ταύτην κατὰ τοῦ θεοῦ ὁμολογίαν. At in Lipsiensi reperitur ταύτην τοῦ θεοῦ τὴν ὁμολογίαν, quod repudiandum. Neque enim abesse potest præpositio eo qui hic requiritur sensu, quem in hunc modum exprimit Felicianus : « non igitur ex eo quod videtur hanc de deo consensionem sumsit. » Multi autem apud Platonem, Aristotelem aliosque scriptores loci offenduntur quibus hæc vocula genitivo juncta idem sonat quod περὶ præpositio ad patrium casum relata. Plat. Conviv. p. 193 C : μὴ τοίνυν κατ' ἀνθρώπων σκόπει μόνον τοῦτο, ἀλλὰ καὶ κατὰ ζώων πάντων καὶ φυτῶν. Aristot. de Anima lib. I cap. 1 : τάχ' ἂν τῳ δόξειε μία τις εἶναι μέθοδος κατὰ πάντων.

31. Τό τε κράτιστον εἶναι τὸν θεὸν οὐχ οὕτως ὑπολαμβάνων λέγεται ὡς πρὸς ἄλλο τι τοιαύτη ἡ τοῦ θεοῦ φύσις, ἀλλὰ πρὸς τὴν αὐτοῦ διάθεσιν, ἐπεί τοί γε πρὸς ἕτερον οὐδὲν ἂν κωλύοι μὴ τῇ αὐτοῦ ἐπιεικείᾳ καὶ ῥώμῃ ὑπερέχειν, ἀλλὰ διὰ τὴν τῶν ἄλλων ἀσθένειαν· θέλοι δ' ἂν οὐδεὶς οὕτω τὸν θεὸν φάναι κράτιστον εἶναι, ἀλλ' ὅτι αὐτὸς ἔχει ὡς οἷόν τε ἄριστα, καὶ οὐδὲν ἐκλείπει καὶ εὖ καὶ καλῶς ἔχειν αὐτῷ· ἅμα γὰρ ἴσως ἔχοντι κἀκεῖνο ἂν συμβαίη. Hic nonnulla Bekkerus e cod. Lipsiensi emendavit, alia vero quæ probanda non sunt recepit, ut ἐπεί τοί γε, cujus loco olim ἐπεὶ τοῦ γὰρ vel ἐπεὶ γὰρ τοῦ scribebatur. Felicianus vertit : « Accedit quod deum esse præstantissimum non eo sensu dicitur, ut erga aliud quippiam hujusmodi sit dei natura, sed quantum tantummodo ad suam ipsius affectionem attinet : nam si ad alterum spectemus, quid prohibeat, deum non sua ipsius æquitate et fortitudine, sed ex aliorum imbecillitate excellere? At deum ita esse præstantissimum intelligit nemo, sed quia ipse quam optime fieri potest, affectus est, nihilque ei quominus bene et recte sese habeat deest, quippe quum ita sese habenti simul illud etiam eveniat necesse sit. » Ex qua interpretatione quid ipse in suo exemplari invenerit, manifesto apparet. Bergkius corrigi vult τὸ δὲ κράτιστον εἶναι τὸν θεὸν οὐχ οὕτως ὑπολαμβάνων λέγει, ὡς πρὸς ἄλλο τι τοιαύτη ἡ τοῦ θεοῦ φύσις, ἀλλὰ πρὸς τὴν αὐτοῦ διάθεσιν· ἐπεὶ τό γε πρὸς ἕτερον οὐδὲν ἂν κωλύοι μὴ τῇ αὐτοῦ ἐπιεικείᾳ καὶ ῥώμῃ ὑπερέχειν, ἀλλὰ διὰ τὴν τῶν ἄλλων ἀσθένειαν, θέλοι δ' ἂν οὐδεὶς οὕτω τὸν θεὸν φάναι κράτιστον εἶναι, ἀλλ' ὅτι αὐτὸς ἔχει ὡς οἷόν τε ἄριστα καὶ οὐδὲν ἐλλείπει καὶ εὖ καὶ καλῶς ἔχειν αὐτόν· ἀλλὰ γὰρ ἴσως ἔχοντι κἀκεῖνο ἂν συμβαίνοι. Quod initio scripsit δὲ, elegantiorem efficit orationem, etsi τε fortasse tolerandum in scriptore qui incise membratimque loquens prægressæ sententiæ similem annectit, ut non male Felicianus hanc transitionem verbis *accedit quod* reddiderit. Deinde vero ὑπολαμβάνων λέγει non convenit huic loco, quia Aristoteles jam non Xenophanis judicium commemorat, sed quid vulgo homines hac de re sentiant et quid ipse judicet significare vult. Quapropter Karstenius conjeceral ὑπολαμβάνεται ; possis etiam ὑπολαμβάνων λέγει τις suspicari. Sed bene Bergkius τό γε πρὸς ἕτερον posuit, ubi e superioribus repetendum τοιαύτην τοῦ θεοῦ εἶναι φύσιν. Karstenius legi jusserat : εἰ γὰρ τοῦτο (scil. λέγοιτο) πρὸς ἕτερον, quod non placet. Præterea e cod. Lipsiensi ἐλλείπει Bergkius pro ἐκλείπει restituit, neque tamen in sequentibus αὐτῷ quod ex ἐλλείπει aptum est satis certa conjectura in αὐτόν mutavit, quum ille dativus licet paulo remotior ab eo unde pendet verbo similibus exemplis excusari queat. Quod autem Karstenius post ἐλλείπει exarari voluit μὴ εὖ καὶ καλῶς pro καὶ εὖ καὶ καλῶς, id a sententia abhorret. In extremis vox συμβαίνοι ducta est e cod. Lipsiensi ad quam scripturam proxime accedit quod e duobus libris Bekkerus enotavit qui mendose συμβαίνει exhibent. Reliqua non expedivit Bergkius; nam ἀλλὰ γὰρ ἴσως ἔχοντι ferri nequit. Est autem, si sequens enuntiatum adjunxeris, hæc philosophi argumentatio : Deum potentissimum et optimum dici par est non aliorum habita ratione, sed ipsius per se spectata natura. Etenim si alios tantum superaret, posset quidem non propter ipsius virtutem præstare, sed ob illorum imbecillitatem excellere. At hoc a deo alienum esse patet, quem ideo potentissimum et optimum dicimus, quia suæ naturæ convenienter quam optime affecto nulla res ad bene beateque vivendum deest. Nam si beatus est, optimum quoque et potentissimum esse convenit. Neque vero quidquam obstat, quominus, etiamsi plures sint, cuncti eo statu fruantur, ut omnes quam optime sint affecti, et quum reliqua omnia superent, invicem tamen sibi non præstent. Ultima Brandisius p. 79 non multo aliter interpretatur : *cætera quidem omnia regentes, non vero se invicem.* Jam vero quod Bergkius censet, verba esse in eam sententiam scripta, ut salva aliorum felicitate deus felix esse dicatur, id frustra hic quæras. Porro ἴσως ἔχοντι exponit εὖ καὶ καλῶς ἔχοντι ἴσως ἄλλοις, quod si recte se haberet, supervacanea esset sequens enuntiatio. Paulo rectius Karstenius ita scripsit : ἅμα γὰρ ἴσως (i. e. nimirum) τοῦτ' (τὸ εὖ καὶ καλῶς) ἔχοντι κἀκεῖνο (τὸ κράτιστον εἶναι) ἂν συμβαίη, sed multo simplicior est Feliciani lectio, ad quam Brandisius Commentt. Eleatt. p. 79 se applicavit ἅμα γὰρ οὕτως ἔχοντι. Quum autem illud οὕτως nihil sit hoc loco nisi εὖ καὶ καλῶς, forsitan in ἴσως vel οὕτως ipsum καλῶς latuerit, quod in verborum ordinem recipere non dubitavi. Itaque locum sic distinguo : Τὸ δὲ κράτιστον εἶναι τὸν θεὸν οὐχ οὕτως ὑπολαμβάνων λέγει τις, ὡς πρὸς ἄλλο τι τοιαύτη ἡ τοῦ θεοῦ φύσις, ἀλλὰ πρὸς τὴν αὑτοῦ διάθεσιν, ἐπεὶ τό γε πρὸς ἕτερον οὐδὲν ἂν κωλύοι μὴ τῇ αὑτοῦ ἐπιεικείᾳ καὶ ῥώμῃ ὑπερέχειν, ἀλλὰ διὰ τὴν τῶν ἄλλων ἀσθένειαν. Θέλοι δ' ἂν οὐδεὶς οὕτω τὸν θεὸν φάναι κράτιστον εἶναι, ἀλλ' ὅτι αὐτὸς ἔχει ὡς οἷόν τε ἄριστα, καὶ οὐδὲν ἐλλείπει καὶ εὖ καὶ καλῶς ἔχειν αὐτῷ· ἅμα γὰρ καλῶς ἔχοντι κἀκεῖνο ἂν συμβαίνοι.

39. οὕτω δὲ διακεῖσθαι καὶ πλείους αὐτοὺς ὄντας οὐδὲν κωλύει, ἅπαντας ὡς οἷόν τε ἄριστα διακειμένους, καὶ κρατίστους τῶν ἄλλων, οὐχ αὑτῶν ὄντας. ἔστι δ', ὡς ἔοικε, καὶ ἄλλα. Ita Bekkerus, qui veterum editionum ὡς οἴονται e cod. Lips. ac fortasse ex aliis quoque libris tacite correxit in ὡς οἷόν τε. Sed in Lipsiensi legitur præterea οὐδὲ ἂν

πλείους αὐτοὺς ὄντας οὐδὲν ἂν κωλύοι, ἅπαντας ὡς οἷόν
978 τε ἄριστα διακειμένους, καὶ κρατίστους τῶν ἄλλων, οὐχ αὐτῶν ὄντας· ἔστι δ', ὡς ἔοικε, καὶ ἄλλα. Κράτιστον γὰρ εἶναι τὸν θεόν φησι, τοῦτο δέ τινων εἶναι ἀνάγκη, ἕνα δὲ ὄντα πάντῃ ὁρᾶν καὶ ἀκούειν οὐδὲν προσήκει. Οὐ γὰρ εἰ μὴ καὶ τῇδ' ὁρᾷ, χεῖρον ὁρᾷ, ἀλλὰ ταύτῃ οὐχ ὁρᾷ. Ἀλλ' ἴσως τοῦτο βούλεται τὸ πάντῃ αἰσθάνεσθαι, ὅτι οὕτως ἂν βέλτιστα ἔχοι, ὅμοιος ὢν πάντῃ. Ἔτι τοιοῦτος ὢν διὰ τί σφαιροειδὴς ἂν εἴη, ἀλλ' οὐχ ἑτέραν τινὰ μᾶλλον ἔχων ἰδέαν, ὅτι πάντῃ ἀκούει καὶ πάντῃ κρατεῖ; ὥσπερ γὰρ ὅταν λέγωμεν τὸ ψιμύθιον ὅτι πάντῃ ἐστὶ λευκόν, οὐδὲν ἄλλο σημαίνομεν ἢ ὅτι ἐν

κωλύῃ, quod mutavimus in κωλύοι. Pro κρατίστους Karstenius p. 116 κρείττους substituit, in quo illud mirandum, quod vir doctissimus non memor fuit Thucydidei exempli (lib. I, 1) ἐλπίσας μέγαν τε ἔσεσθαι καὶ ἀξιολογώτατον τῶν προγεγενημένων aliorumque locorum, quibus superlativus non multum discrepat a comparativo. Nihil igitur hic emendandum. Deinde in eo peccavit Karstenius quod τῶν ἄλλων pro masculino accepit, quasi referretur ad deos. Vertit enim : « neque ratio obstat quominus, etiamsi plures sint, cuncti ea conditione fruantur, ut omnes quam optime sint affecti, et alius quidem alio excellentior, sua autem quisque natura præstantissimus sit. » At eam explicationem non esse veram apparet ex iis quæ subjunguntur : ἔστι δ', ὡς ἔοικε, καὶ ἄλλα. Quamobrem ipse hæc aliter supra interpretatus sum. Postremo monendum ambiguam esse in Lipsiensi exemplari scripturam, quum Beckius nesciverit, utrum ἔστι an ἔτι exaraverit librarius.

p. 978, a 2. κράτιστον γὰρ εἶναι τὸν θεόν φησι, τοῦτο δὲ τινι εἶναι ἀνάγκη, ἕνα τὰ πάντα ὁρᾶν καὶ ἀκούειν οὐδὲν προσήκει· οὐ γὰρ εἰ μὴ καὶ τῇδ' ὁρᾷ, χεῖρον ὁρᾷ ταύτῃ, ἀλλ' οὐχ ὁρᾷ. Sic edidit hæc Bekkerus, quæ partim obscura sunt, partim inepta. Ac primum quidem injuria sprevit duorum quos contulit codicum lectionem δέ τινων pro δέ τινι præbentium. Ea enim verissima est scriptura codicum Palatini et Vaticani ac præterea exemplaris Lipsiensis, ubi exstat τιν adjecta, non apostropho, ut ait Olearius, sed nota qua ων designatur. Nam quum Xenophanes deum potentissimum ac præstantissimum vocat, hoc ita dici contendit Aristoteles, ut simul necessario quorundam (aliorum) ratio habeatur, τοῦτο δέ τινων εἶναι ἀνάγκη, siquidem summa rei alicujus præstantia ex aliarum demum ejusmodi rerum comparatione perspicitur. Si igitur deus præstantissimus est, vel præstantissimus deorum vel præstantissima rerum sit necesse est. Cf. Xenophanis fragm. 1 : εἷς θεὸς ἔν τε θεοῖσι καὶ ἀνθρώποισι μέγιστος. Contra alterum illud τοῦτο δέ τινι εἶναι ἀνάγκη, *hoc autem alicui esse oportet*, cum per se ita frigidum et jejunum est ut Aristoteli in mentem venire non potuerit, tum omnibus quæ hic afferuntur argumentis repugnat. Quæ subsequuntur ἕνα τὰ πάντα ὁρᾶν καὶ ἀκούειν οὐδὲν προσήκει, pro quibus Lipsiensis liber ἕνα τὸν τὰ πάντα κ. τ. λ. exhibet, neque integra sunt, neque Xenophanis rationi consentanea. Nimirum is de deo (fragm. 2) hoc prædicaverat :

οὖλος ὁρᾷ, οὖλος δὲ νοεῖ, οὖλος δέ τ' ἀκούει.

112. Καλὸν μὲν τὸν ἀδικέοντα κωλύειν· εἰ δὲ μή, μὴ ξυναδικέειν.

(Democrat. n. 4.)

113. Χαλεπὸν μιμέεσθαι μὲν τοὺς κακούς, μὴ ἐθέλειν δὲ τοὺς ἀγαθούς.

(Ibid. n. 44.)

114. Ἀγαθὸν ἢ εἶναι χρεὼν ἢ μιμέεσθαι.

(Stob. Flor. XXXVII, 23.)

115. Πλέονες ἐξ ἀσκήσιος ἀγαθοὶ γίνονται ἢ ἀπὸ φύσιος.

(Stob. Flor. XXIX, 66.)

116. Ἁμαρτίης αἰτίη ἡ ἀμαθίη τοῦ κρέσσονος.

(Democrat. Orell. n. 49.)

117. Μὴ διὰ φόβον, ἀλλὰ διὰ τὸ δέον χρεὼν ἀπέχεσθαι ἁμαρτημάτων.

(Anton. et Max. p. 921.)

118. Ὁ μὲν εὔθυμος εἰς ἔργα ἐπιφερόμενος δίκαια καὶ νόμιμα, καὶ ὕπαρ καὶ ὄναρ χαίρει τε καὶ ἔρρω-

---

98. Malum, etiamsi solus sis, ne dicas neve facias; disce autem te ipsum multo magis quam alios revereri.

99. Sermo operis umbra.

100. Ne magis alios homines revereare quam te ipsum; neve magis delicta committas, si nemo resciturus sit, quam si omnes homines: sed te ipsum maxime verearis et hanc animo tuo legem constituas, ut nihil absurdum in se admittat.

101. Primum se ipsum vereri debet, quisquis turpia perpetrat.

102. Factorum turpium pœnitentia vitæ salus est.

103. Multi pessima quæque facientes optimas orationes conficiunt.

104. Neque pulchre dictum malum facinus obscurat, neque res præclare gesta verbis contumeliosis corrumpitur.

105. Virtutis operibus, non verbis studendum est.

106. Subdoli homines sunt et specie tantum boni qui verbo omnia, re ipsa nihil præstant.

107. Soli diis grati sunt qui injurias oderunt.

108. Justitia est ea facere, quæ fieri oportet; injustitia autem facienda non facere, sed declinare.

109. Bonum est non solum ab injuria, sed etiam a voluntate lædendi abstinere.

110. Inimicus est non solum qui injuriam infert, sed et qui de inferenda cogitat.

111. Justitiæ gloria, quam quis consequitur, animo fiduciam et terroris vacuitatem conciliat; injustitiæ autem fuga calamitatis terminus est.

112. Hominem inique agentem impedire honestum est: id si fieri nequit, saltem non adjuvanda ejus iniquitas.

113. Malum est imitari improbos, bonos autem nolle æmulari.

114. Bonum aut esse aut bonos imitari oportet.

115. Plures exercitatione quam natura boni fiunt.

116. Eorum quæ meliora sunt ignoratio causa peccandi est.

117. Non metu, sed officii causa peccatis abstinendum.

118. Qui alacri animo ad justa et legitima opera se accingit, et vigilans et somnians gaudet et valet et curis

σται καὶ ἀνακηδής ἐστι· ὃς δ' ἂν δίκης ἀλογέῃ καὶ τὰ χρηέοντα μὴ ἔρδῃ, τούτῳ πάντα τὰ τοιάδε ἀτερπέα ἐστί, ὅταν τευ ἀναμνησθῇ, καὶ δέδοικε καὶ ἑωυτὸν κακίζει.

(Stob. Ecl. eth. II, 9, 3 p. 408.)

119. Ἔνιοι θνητῆς φύσιος διάλυσιν οὐκ εἰδότες ἄνθρωποι, ξυνειδήσι δὲ τῆς ἐν τῷ βίῳ κακοπραγμοσύνης τὸν τῆς βιοτῆς χρόνον ἐν ταραχῇσι καὶ φόβοισι ταλαιπωρέουσι, ψεύδεα περὶ τοῦ μετὰ τὴν τελευτὴν μυθοπλαστέοντες χρόνου.

(Stob. Flor. CXX, 20.)

Περὶ ἐπαίνου καὶ ψόγου.

120. Ἐστὶ ῥάδιον μὲν ἐπαινέειν ἃ μὴ χρή, καὶ ψέγειν, ἑκάτερον δὲ πονηροῦ τινος ἤθεος.

(Stob. Flor. II, 37.)

121. Μεγάλα βλάπτουσι τοὺς ἀξυνέτους οἱ ἐπαινέοντες.

(Democrat. Orell. n. 81.)

122. Εὐλογέειν ἐπὶ καλοῖσι ἔργμασι καλόν· τὸ γὰρ ἐπὶ φλαύροισι κιβδήλου καὶ ἀπατεῶνος.

(Democrat. Orell. n. 28.)

123. Μωμεομένων φλαύρων ὁ ἀγαθὸς οὐ ποιέεται λόγον.

(Stob. Flor. XXXVIII, 46.)

Περὶ παῤῥησίης.

124. Οἰκήϊον ἐλευθερίης παῤῥησίη· κίνδυνος δὲ ἡ τοῦ καιροῦ διάγνωσις.

(Stob. Flor. XIII, 40.)

125. Ἀληθομυθεύειν χρεὼν ὅπου λώϊον.

(Stob. Flor. XII, 13.)

126. Ὅρκους, τοὺς ποιέονται ἐν ἀνάγκῃσι ἐόντες, οὐ τηρέουσι οἱ φλαῦροι, ἐπὴν διαφύγωσι.

(Stob. Flor. XXVIII, 9.)

Περὶ παιδείας.

127. Κτηνέων μὲν εὐγένεια ἡ τοῦ σκήνεος εὐσθένεια, ἀνθρώπων δὲ ἡ τοῦ ἤθεος εὐτροπίη.

(Stob. Flor. LXXXVI, 18.)

128. Ἀνθρώποισι ἁρμόδιον ψυχῆς μᾶλλον ἢ σώματος ποιέεσθαι λόγον· ψυχὴ μὲν γὰρ τελεωτάτη σκήνεος μοχθηρίην ὀρθοῖ, σκήνεος δὲ ἰσχὺς ἄνευ λογισμοῦ ψυχὴν οὐδέν τι ἀμείνω τίθησι.

(Stob. Flor. I, 39.)

129. Σώματος κάλλος ζωῶδες, εἰ μὴ νόος ὑπείη.

(Democrat. Orell. n. 71.)

130. Φύσεως μὲν γὰρ ἀρετὴν διαφθείρει ῥαθυμία, φαυλότητα δὲ ἐπανορθοῖ διδαχή· καὶ τὰ μὲν ῥᾴδια τοὺς ἀμελοῦντας φεύγει, τὰ δὲ χαλεπὰ ταῖς ἐπιμελείαις ἁλίσκεται.

(Anton. p. 377.)

131. Οὔτε τέχνη οὔτε σοφίη ἐφικτόν, ἢν μὴ μάθῃ τις.

(Democrat. ap. Orell. n. 24.)

132. Ἡ παιδεία εὐτυχέουσι μέν ἐστι κόσμος, ἀτυχέουσι δὲ καταφύγιον.

(Cod. Flor. Stob. Gaisf. IV p. 405.)

133. Ἡ φύσις καὶ ἡ διδαχὴ παραπλήσιόν ἐστι· καὶ γὰρ ἡ διδαχὴ μεταῤῥυσμοῖ τὸν ἄνθρωπον, μεταῤῥυσμοῦσα δὲ φυσιοποιέει.

(Cod. Flor. Stob. Gaisf. IV p. 406.)

---

vacuus est: qui autem nec justitiam curat, neque ea quæ fieri debent facit, huic omnia molesta sunt, quotiescunque rei alicujus (olim factæ) recordatur; ac metuit et se ipsum incusat.

119. Homines nonnulli naturæ mortalis dissolutionem ignorantes propter conscientiam vitæ male actæ omne dum vivunt tempus inter perturbationes metumque misere transigunt, mendacia de tempore mortem secuturo confingentes.

De laude et vituperatione.

120. Facile quidem est laudare, quæ non sunt laudanda, et vituperare, quæ non sunt vituperanda, sed utrumque mali est ingenii.

121. Qui stultos laudant, magno eos damno afficiunt.

122. Recte facta collaudare honestum est; nam mala facinora laudibus efferre subdoli est hominis et deceptoris.

123. Vir bonus improborum reprehensiones nihili facit.

De sermonis libertate.

124. Propria libertatis est libera oratio; sed opportuni temporis cognitio periculum habet.

125. Vera dicenda sunt, ubi id præstat.

126. Sacramenta, quæ dicunt in angustiis quum versantur, non servant mali homines, postquam e periculo evaserunt.

De doctrina.

127. Jumentorum nobilitas in corporis robore, hominum vero in morum bonitate sita est.

128. Decet homines animi magis quam corporis habere rationem; ut enim quisque perfectissimus animus est, ita maxime malum miserumque corpus erigit, corporis vero robur rationis expers animum nihilo reddit meliorem.

129. Corporis pulchritudo, nisi mens subsit, belluarum est.

130. Naturæ præstantiam corrumpit incuria, pravitatem corrigit doctrina: et facilia negligentibus elabuntur, difficilia vero studio diligentiaque percipiuntur.

131. Neque ars neque scientia nisi discendo acquiritur.

132. Doctrina fortunatis quidem ornamentum est, infortunatis autem perfugium.

133. Similis est naturæ doctrina; etenim doctrina transformat hominem transformandoque aliam ei addit naturam.

134. Πάντων κάκιστον ἡ εὐπετείη παιδεῦσαι τὴν νεότητα· αὕτη γάρ ἐστι, ἣ τίκτει τὰς ἡδονὰς ταύτας, ἐκ τῶν ἡ κακότης γίνεται.

(Cod. Flor. Stob. Gaisf. IV p. 405.)

135. Κρέσσων ἐπ' ἀρετὴν φανέεται προτροπῇ χρώμενος καὶ λόγου πειθοῖ ἤπερ νόμῳ καὶ ἀνάγκῃ. Λάθρῃ μὲν γὰρ ἁμαρτέειν εἰκὸς τὸν εἰργμένον ἀδικίης ὑπὸ νόμου, τὸν δὲ ἐς τὸ δέον ἠγμένον πειθοῖ οὐκ εἰκὸς οὔτε λάθρῃ οὔτε φανερῶς ἔρδειν τι πλημμελές· διόπερ ξυνέσι τε καὶ ἐπιστήμῃ ὀρθοπραγέων τις ἀνδρήϊος ἅμα καὶ εὐθύγνωμος γίνεται.

(Ibid.)

136. Κρέσσονές εἰσι αἱ τῶν πεπαιδευμένων ἐλπίδες ἢ ὁ τῶν ἀμαθέων πλοῦτος.

(Ibid. p. 408.)

137. Οἱ ἀξύνετοι δυστυχέοντες σωφρονέουσι.

(Democrat. Orell. n. 20.)

138. Νηπίοισι οὐ λόγος ἀλλὰ ξυμφορὴ γίνεται διδάσκαλος.

(Ibid. n. 41.)

139. Ἔστι που νέου ξύνεσις καὶ γερόντων ἀξυνεσίη· χρόνος γὰρ οὐ διδάσκει φρονέειν ἀλλ' ὡραίη τροφὴ καὶ φύσις.

(Cod. Flor. Stob. IV p. 407.)

140. Πολλοὶ πολυμαθέες νόον οὐκ ἔχουσι.

(Stob. Flor. IV, 83.)

141. Πολυνοίην, οὐ πολυμαθίην ἀσκέειν χρή.

(Democrat. ap. Orell. n. 30.)

142. Μὴ πάντα ἐπίστασθαι προθύμεο, μὴ πάντων ἀμαθὴς γένῃ.

(Stob. Ecl. eth. II p. 13.)

143. Ὁ ἀντιλογεόμενος καὶ πολλὰ λεσχηνευόμενος ἀφυὴς εἰς μάθησιν τῶν χρή.

(Cod. Flor. Stob. IV p. 407.)

Περὶ εὐνοίης καὶ κακονοίης.

144. Πλεονεξίη τὸ πάντα λέγειν, μηδὲν δὲ ἀκούειν ἐθέλειν.

(Stob. Flor. XXXVI, 24.)

145. Ἐριδαντέων δὲ, κατὰ Δημόκριτον, καὶ ἱμαντελικτέων λόγους ἀφετέον.

(Plutarch. Sympos. I, 1 p. 614. E.)

146. Οἱ φιλομεμφέες εἰς φιλίην μὴ εὐφυέες.

(Democrat. Orell. n. 76.)

147. Φιλονεικίη πᾶσα ἀνόητος· τὸ γὰρ κατὰ τοῦ δυσμενέος βλαβερὸν θεωρεῦσα, τὸ ἴδιον ξυμφέρον οὐ βλέπει.

(Stob. Flor. XX, 62.)

148. Ἡ τῶν ἀγαθῶν ἔρις ὠφελεῖ τὸν ζηλοῦντα, μὴ βλάπτουσα τὸν ζηλούμενον.

(Anton. p. 408.)

149. Μεγαλοψυχίη τὸ φέρειν πραέως πλημμελείην.

(Stob. Flor. CVIII, 69. Democrat. Orell. n. 12.)

150. Φόβος κολακείην ἐργάζεται, εὐνοίην δὲ οὐκ ἔχει.

(Stob. Flor. XLVIII, 13.)

151. Πολλοὶ δοκέοντες φίλοι εἶναι οὐκ εἰσί, καὶ οὐ δοκέοντες εἰσί.

(Democrat. Orell. n. 63.)

---

134. Nihil pejus est levitate in pueris educandis: hæc enim gignit eas voluptates, e quibus vitia oriuntur.

135. Promptior ad virtutem apparebit qui adhortatione verbisque ad persuadendum accommodatis, quam qui lege et necessitate impellitur. Etenim clam peccare eum qui (sola) lege a maleficio avocatur, probabile est: at qui persuasione ad officium ducitur, eum neque clam neque palam verisimile est quidquam mali committere; quapropter qui cum prudentia rerumque peritia recte agit simul animosus et ad sententiam suam libere profitendam proclivis evadit.

136. Doctorum hominum spes indoctorum divitiis sunt potiores.

137. Stulti rebus adversis conflictantes sapiunt.

138. Non ratio, sed adversa fortuna stultorum magistra est.

139. Est etiam in adolescentibus (interdum) sapientia atque in senibus insipientia; neque enim tempus prudentiam docet, sed matura institutio et natura.

140. Multi eruditione varia instructi sana mente omnino carent.

141. Non multijugæ eruditioni studendum, sed mens multiplicis plena sapientiæ expetenda est.

142. Noli omnium rerum scientiam appetere, ne omnia ignores.

143. Homo rixosus et loquax natura minime aptus est ad ea discenda quæ usus postulat.

De benevolentia et malevolentia.

144. Est quædam fraudulenta aviditas, omnia dicere, nihil audire velle.

145. Vitandi sunt, ut ait Democritus, sermones rixatorum hominumque contorta verba captiose dicentium.

146. Homines qui libenter alios reprehendunt ad amicitiam natura minime sunt apti.

147. Contentio omnis insana est; nam dum id spectat, ut noceat adversario, propriam utilitatem non videt.

148. Bonorum certamen prodest æmulanti, non nocet ei, cui æmuleris.

149. Magni animi est humaniter ferre, si quid (ab aliis) peccatum fuerit.

150. Metus adulationem parit, sed benevolentiæ expers est.

151. Multi, quum videantur esse amici, non sunt, suntque multi, qui non videntur.

152. Φίλοι οὐ πάντες οἱ ξυγγενέες, ἀλλ' οἱ ξυμφωνέοντες περὶ τοῦ ξυμφέροντος.
(Democrat. Orell. n. 73.)

153. Ὁμοφροσύνη φιλίην τίκτει.
(Cod. Flor. Stob. Gaisf. IV p. 384.)

154. Ἡ μὲν μάχαιρα τέμνει, ἡ δὲ διαβολὴ χωρίζει φίλους.
(Anton. et Max. p. 258.)

155. Ὥτινι τὴν χάριν καταθήσῃ, θᾶττον τὴν χάριν δίδου· ἡ γὰρ βραδυτὴς λυμαίνεται τὴν δόσιν.
(Anton. et Max. p. 278.)

156. Δυνάμενος χαρίζεσθαι μὴ βράδυνε, ἀλλὰ δίδου, ἐπιστάμενος μὴ εἶναι τὰ πράγματα μόνιμα.
(Anton. et Max. p. 278.)

157. Μικρὰ διδόναι βούλου μᾶλλον, ἢ μεγάλα ἐγγυᾶν, ὅ τε γὰρ κίνδυνος ἄπεστι καὶ ὁ λαβὼν ἔργων, οὐ λόγου χρείαν ἔχει.
(Anton. et Max. p. 278.)

158. Μικραὶ χάριτες ἐν καιρῷ μέγισται τοῖσι λαμβάνουσι.
(Democrat. Orell. n. 60.)

159. Χάριτας δέχεσθαι χρεὼν προσκοπευόμενον κρέσσονας αὐτέων ἀμοιβὰς ἀποδοῦναι.
(Democrat. Orell. n. 58.)

160. Χαριστικὸς οὐχ ὁ βλέπων πρὸς τὴν ἀμοιβήν, ἀλλ' ὁ εὖ δρᾶν προῃρημένος.
(Ibid. n. 62.)

161. Οὐδ' ὑπ' ἑνὸς φιλέεσθαι δοκέει μοι ὁ φιλέων οὐδένα.
(Democrat. Orell. 69.)

162. Ζῆν οὐκ ἄξιος, ὅτῳ μηδείς ἐστι χρηστὸς φίλος.
(Democrat. Orell. n. 65.)

163. Ἑνὸς φιλίη ξυνετοῦ κρέσσων ἀξυνέτων ἁπάντων.
(Democrat. Orell. n. 64.)

164. Ἐν εὐτυχίῃ φίλον εὑρέειν εὔπορον, ἐν δὲ δυστυχίῃ πάντων ἀπορώτατον.
(Democrat. Orell. n. 72.)

165. Ἐκτρέπονται πολλοὶ τοὺς φίλους, ἐπὴν ἐξ εὐπορίης εἰς πενίην μεταπέσωσι.
(Democrates ap. Orell. n. 67.)

166. Ὅτεῳ μηδὲ ἀμύνουσι ἐπὶ πολλὸν οἱ πειραθέντες φίλοι, δύστροπος.
(Democrat. Orell. n. 66.)

167. Ἄξιον ἀνθρώπους ἐόντας ἐπ' ἀνθρώπων ξυμφορῇσι μὴ γελᾶν, ἀλλ' ὀλοφύρεσθαι.
(Democrat. Orell. n. 74.)

168. Οἷσι ἡδονὴν ἔχουσι αἱ τῶν πέλας ξυμφοραί, οὐ ξυνιᾶσι μὲν ὡς τὰ τῆς τύχης κοινὰ πᾶσι, ἀπορέουσι δὲ οἰκηίης χαρᾶς.
(Stob. Flor. CXII, 10.)

169. Μὴ πᾶσι, ἀλλὰ τοῖσι δοκίμοισι πιστεύειν· τὸ μὲν γὰρ εὔηθες, τὸ δὲ σωφρονέοντος.
(Democrat. Orell. n. 32.)

170. Τὸν φαῦλον παραφυλάττειν δέει, μὴ καιροῦ λάβηται.
(Democrat. Orell. n. 53.)

171. Δόκιμος ἀνὴρ καὶ ἀδόκιμος οὐκ ἐκ τῶν πρήσσει μόνον, ἀλλὰ καὶ ἐκ τῶν βούλεται.
(Ibid. n. 33.)

172. Χαριζόμενος προσκέπτεο τὸν λαμβάνοντα, μὴ κακὸν ἀντ' ἀγαθοῦ κίβδηλος ἐὼν ἀποδῷ.
(Ibid. n. 59.)

---

152. Amici sunt, non quicunque agnati, sed qui de commodis tuis tecum consentiunt.

153. Consensio amicitiam parit.

154. Gladius quidem secat, calumnia autem separat amicos.

155. Cuicunque benefacturus es, statim apud eum beneficium colloca; tarditas enim corrumpit munus.

156. Si bene facere potes, ne cuncteris, sed largire, sciens non esse res ullas diuturnas.

157. Parva potius largiaris, quam magna promittas. Illud enim periculo vacat, et qui accipit, re, non verbis indiget.

158. Parva beneficia tempestive collata accipientibus fiunt maxima.

159. Accipienda sunt beneficia eo consilio jam antea inito, ut majores aliquando gratias referamus.

160. Beneficus est, non qui remunerationem spectat, sed qui sua sponte beneficium facit.

161. A nemine amari existimo eum qui neminem amat.

162. Indignus est qui vivat, cui nullus est amicus benevolus.

163. Unius prudentis hominis amicitia stultorum omnium amicitiæ est præferenda.

164. In rebus secundis amicum invenire facile est, in adversis omnium difficillimum.

165. Multi amicos devitant, quando ex ampla fortuna in paupertatem inciderunt.

166. Cui ne amici quidem diu probati opem ferunt, is morosus est homo et difficilis.

167. Homines quum simus, humanas calamitates nos non irridere, sed deplorare convenit.

168. Quibus aliorum res adversæ voluptati sunt, illi non intelligunt fortunæ casus omnibus esse communes, et proprio gaudio carent.

169. Non omnibus, sed spectatis fidendum : illud enim stulti, hoc prudentis est.

170. Improbum observare nos oportet, ne (nocendi) occasionem arripiat.

171. Vir probus aut improbus non ex operibus tantum, sed etiam ex voluntate spectatur.

172. Vide, cui beneficium des, ne forte, si subdolus fuerit, malum pro bono tibi reddat.

173. Δημόκριτος ἰδών τινα προχείρως πᾶσι χαριζόμενον καὶ ἀνεξετάστως ὑπηρετούμενον· Κακῶς, εἶπεν, ἀπόλοιο, ὅτι τὰς Χάριτας παρθένους οὔσας, πόρνας ἐποίησας.
(Anton. et Max. p. 277.)

174. Μὴ ὕποπτος πρὸς ἅπαντας, ἀλλ' εὐλαβὴς γίνευ καὶ ἀσφαλής.
(Democrat. Orell. n. 57.)

Περὶ γυναικῶν, ἔτι περὶ γάμου καὶ παιδοποιίας.

175. Γυνὴ πολλὰ ἀνδρὸς ὀξυτέρη πρὸς κακοφραδμοσύνην.
(Stob. Flor. LXXIII, 52.)

176. Κόσμος ὀλιγομυθίη γυναικί· καλὸν δὲ καὶ κόσμου λιτότης.
(Stob. Flor. LXXIV, 38.)

177. Γυνὴ μὴ ἀσκεέτω λόγον· δεινὸν γάρ.
(Democrat. Orell. n. 77.)

178. Δημόκριτος θεασάμενός τινα πολλὰ μέν, ἀπαίδευτα δὲ διαλεγόμενον, Οὗτος, ἔφη, οὐ λέγειν μοι δοκεῖ δυνατός, ἀλλὰ σιωπᾶν ἀδύνατος.
(Anton. et Max. p. 388.)

179. Ὑπὸ γυναικὸς ἄρχεσθαι, ὕβρις καὶ ἀνανδρίη ἐσχάτη. (Democrat. Orell. n. 78.)

180. Δημοκρίτῳ ἔφη τις· διὰ τί μέγας ὢν μικρὰν ἔγημας γυναῖκα; κἀκεῖνος εἶπε, Τοῦ κακοῦ ἐκλογὴν ποιούμενος τὸ ἐλάχιστον ἐξελεξάμην.
(Anton. p. 609.)

181. Ἔνιοι πολίων μὲν δεσπόζουσι, γυναιξὶ δὲ δουλεύουσι.
(Stob. Flor. VI, 11.)

182. Νοῦσος οἴκου καὶ βίου γίνεται ὅκωσπερ καὶ σκήνεος.
(Stob. Flor. CIV, 21.)

183. Δημόκριτος ἔφη, ὡς ὁ γαμβροῦ μὲν ἐπιτυχὼν εὗρεν υἱόν, ὁ δὲ ἀποτυχὼν ἀπώλεσε καὶ θυγατέρα.
(Stob. Flor. LXX, 18. Anton. et Max. p. 819.)

184. Ἀνθρώποισι τῶν ἀναγκαίων δοκέει εἶναι, παῖδας κτήσασθαι ἀπὸ φύσιος καὶ καταστάσιός τινος ἀρχαίης. Δῆλον δὲ καὶ τοῖσι ἄλλοισι ζώοισι. Πάντα γὰρ ἔκγονα κτᾶται κατὰ φύσιν ἐπωφελείης γε οὐδεμιῆς εἵνεκα, ἀλλ' ὅταν γένηται, ταλαιπωρέει καὶ τρέφει ἕκαστον ὡς δύναται, καὶ ὑπερδέδοικε μέχρι σμικρῆς, καὶ ἤν τι πάθῃ ἀνιᾶται. Ἡ μὲν φύσις τοιαύτη πάντων ἐστὶ ὅσσα ψυχὴν ἔχει· τῷ δὲ δὴ ἀνθρώπῳ νόμιμον ἤδη πεποίηται, ὥστε καὶ ἐπαύρεσίν τινα γίγνεσθαι ἀπὸ τοῦ ἐκγόνου.
(Stob. Flor. LXXVI, 17.)

185. Οὐ δοκέει μοι χρῆναι παῖδας κτᾶσθαι· ἐνορέω γὰρ ἐν παίδων κτήσι πολλοὺς μὲν καὶ μεγάλους κινδύνους, πολλὰς δὲ λύπας, ὀλίγα δὲ τὰ εὐθηνέοντα καὶ ταῦτα λεπτά τε καὶ ἀσθενέα.
(Stob. Flor. LXXVI, 15.)

186. Δημόκριτος γάμον καὶ παιδοποιίαν παραιτεῖται διὰ τὰς πολλὰς ἐξ αὐτῶν ἀηδίας τε καὶ ἀφολκὰς ἀπὸ τῶν ἀναγκαιοτέρων.
(Clem. Alex. Strom. II p. 421.)

187. Τεκνοτροφίη σφαλερόν· τὴν μὲν γὰρ ἐπιτυχίην

---

173. Democritus quum videret quendam quibuslibet prompte largientem et temere suppeditantem: Male, inquit, pereas, quia Gratias virgines, meretrices effecisti.

174. Ne in cunctos suspiciosus, sed providus et cautus sis.

De mulieribus, præterea de matrimonio et liberis procreandis.

175. Mulier multo est promptior quam vir ad astutiam et malignitatem.

176. Parcus sermo mulierem ornat, et ipsius ornatus parcitas ei decora est.

177. Mulier dicendi facultatem ne exerceat; res enim periculosa est.

178. Democritus quum animadvertisset quendam multa imperite disputantem: Hic, inquit, non dicendi peritus mihi videtur, sed omnino tacendi imperitus.

179. Mulieris imperio parere contumelia et ignavia extrema est.

180. Quum Democritum quidam percontaretur, cur, quum magnus esset, parvam duxisset uxorem: Ego, inquit, in malo eligendo, quod minimum erat, elegi.

181. Nonnulli urbibus quidem dominantur, uxoribus autem serviunt.

182. Quemadmodum corporis, sic et familiæ vitæque morbi quidam inveniuntur.

183. Qui bonum nactus est generum, inquit Democritus, is repperit filium, qui malum, is et filiam perdidit.

184. Necessaria hominibus liberorum videtur procreatio naturæ instinctu pariter et antiquissima institutione, ut in cæteris quoque animalibus est manifestum. Omnia enim, naturam secuta ducem, sobolem sibi, vel nulla utilitatis spe proposita, parant : fœtum autem, simul atque editus est, non sine labore educat et nutrit, prout potest unumquodvis, et tantisper dum durat tenera ejus ætas, curam ejus gerit, et dolet si quid patiatur. Talis omnium est indoles, quæ animam habent; inter homines autem hoc tanquam vitæ institutum ita jam inveteravit, ut utilitatem etiam e progenie sua percipiant.

185. Non probo liberorum procreationem. Nam in ipsorum possessione multa magnaque pericula inesse video et molestias plurimas, exiguam vero felicitatem eamque tenuem et exilem.

186. Democritus matrimonium liberorumque procreationem rejicit propterea quod multæ inde oriantur molestiæ et quod hac ratione a rebus magis necessariis avocemur.

187. Liberorum educatio lubrica res est. Nam si bene

ἀγῶνος μεστὴν καὶ φροντίδος κέκτηται· τὴν δὲ ἀποτυχίην ἀνυπέρθετον ἑτέρην ὀδύνην.

(Stob. Flor. LXXVI, 13.)

188. Ὅτεῳ χρήματά ἐστι, παῖδα ποιήσασθαι ἐκ τῶν φίλων ἐμοὶ δοκέει ἄμεινον εἶναι· καὶ τῷ μὲν παῖς ἔσται τοιοῦτος, οἷον ἂν βούληται· ἔστι γὰρ ἐκλέξασθαι οἷον ἐθέλει, καὶ ὃς ἂν δοκέῃ ἐπιτήδειος εἶναι καὶ μάλιστα κατὰ φύσιν ἕπηται. Καὶ τοῦτο τοσοῦτον διαφέρει, ὅσον ἐνταῦθα μὲν ἔστι τὸν παῖδα λαβέειν καταθύμιον ἐκ πολλῶν τῶν ἂν δέῃ· ἢν δέ τις ποιέηται ἀπὸ ἑωυτοῦ, πολλοὶ ἔνεισι κίνδυνοι· ἀνάγκη γάρ, ὃς ἂν γένηται, τούτῳ χρέεσθαι.

(Stob. Flor. LXXVI, 16.)

Περὶ νόμων καὶ πολιτηΐης.

189. Νόμῳ καὶ ἄρχοντι καὶ σοφωτέρῳ εἴκειν κόσμιον.

(Stob. Flor. V, 23.)

190. Τελευτᾷ γὰρ εἰς κακοδοξίην κακὴν ὁ παρεκτεινόμενος τῷ κρέσσονι.

(Stob. Flor. XXII, 42.)

191. Φύσι τὸ ἄρχειν οἰκήϊον τῷ κρέσσονι.

(Stob. Flor. XLVII, 19.)

192. Χαλεπὸν ἄρχεσθαι ὑπὸ χερείονος.

(Democrates ap. Orell. n. 15.)

193. Κρέσσον ἄρχεσθαι τοῖσι ἀνοήτοισι, ἢ ἄρχειν.

(Stob. Flor. XLIV, 14.)

194. Δίκης καὶ ἀρετῆς μεγίστην μετέχει μοῖραν ὁ τιμὰς ἀξίας τάμνων.

(Stob. Flor. XLVI, 45.)

195. Ἀλλ' οἵγε πρὸς ἔπαινον καὶ δόξαν οὕτως ἔχοντες, ἆρ' οὐχ ὁμολογοῦσι μεγάλας ἡδονὰς προΐεσθαι, δι' ἀσθένειαν ἢ μαλακίαν φεύγοντες ἀρχὰς ἢ πολιτείας καὶ φιλίας βασιλέων, ἀφ' ὧν τὰ μεγάλα καλὰ εἰς τὸν βίον γίνεσθαι ἔφη Δημόκριτος.

(Plutarch. opp. moral. p. 1100, vol. X p. 525 ed. Reisk.)

196. Οὐκ ἂν ἐκώλυον οἱ νόμοι ζῆν ἕκαστον κατ' ἰδίην ἐξουσίην, εἰ μὴ ἕτερος ἕτερον ἐλυμαίνετο· φθόνος γὰρ στάσιος ἀρχὴν ἀπεργάζεται.

(Stob. Flor. XXXVIII, 57. Anton. et Max. p. 408.)

197. Ὁ νόμος βούλεται μὲν εὐεργετέειν βίον ἀνθρώπων· δύναται δέ, ὅταν αὐτοὶ βούλωνται πάσχειν· τοῖσι γὰρ πειθομένοισι τὴν ἰδίην ἀρετὴν ἐνδείκνυται.

(Stob. Flor. XLIII, 33.)

198. Ταῖς τῶν καιρῶν μεταβολαῖς καὶ οἱ σφόδρα δυνατοὶ τῶν ἀσθενεστέρων ἐνδεεῖς γίνονται.

(Anton. et Max. p. 806.)

199. Ἀπὸ ὁμονοίης τὰ μεγάλα ἔργα καὶ τῇσι πόλισι τοὺς πολέμους δυνατὸν κατεργάζεσθαι, ἄλλως δ' οὔ.

(Stob. Flor. XLIII, 40.)

200. Στάσις ἐμφύλιος ἐς ἑκάτερα κακόν· καὶ γὰρ νικέουσι καὶ ἡσσωμένοισι ὁμοίη φθορή.

(Stob. Flor. XLIII, 34.)

201. Φρονήσιος ἔργον, μέλλουσαν ἀδικίην φυλάξασθαι, ἀναλγησίης δέ, τὴν γενομένην μὴ ἀμύνασθαι.

(Stob. Flor. III, 51.)

202. Ἀδικεομένοισι τιμωρέειν κατὰ δύναμιν χρὴ καὶ μὴ παριέναι· τὸ μὲν γὰρ τοιοῦτον δίκαιον καὶ ἀγαθόν, τὸ δὲ μὴ τοιοῦτον ἄδικον καὶ κακόν.

---

cedat, multum ærumnæ et curarum habet, si male, alios dolores inevitabiles parit.

188. Qui divitiis affluit, is melius mihi videtur facturus, si amici alicujus filium sibi adoptat. Atque huic tum filius erit, qualem voluerit. Licet enim eligere, qualem desideret et qui idoneus maximeque natura ad obedientiam propensus videatur. Discrimen autem in hoc positum est, quod adoptanti licet filium ex illa, qua (ad eligendum) opus est multitudine, ex animi sententia sumere, gignenti multa imminent pericula, quum talem, qualis natus sit, habere necesse sit.

De legibus ac de civitate.

189. Decet nos legi et imperanti et sapientiori cedere.

190. Subit infamiam qui cum superiore contendit.

191. Imperare natura proprium est præstantiori.

192. Deteriori parere durum est.

193. Insipientes aliis parere præstat, quam imperare.

194. Justitiæ et virtutis maximam partem habet qui honores tribuit honore dignis.

195. Cæterum qui hoc modo sunt erga laudem et gloriam affecti, nonne fatentur se magnas dimittere voluptates, dum ob imbecillitatem vel mollitiem fugiunt magistratus, reipublicæ gubernationem, amicitias regum : a quibus rebus magna bona in vitam humanam redundare dixit Democritus.

196. Leges non prohiberent singulos pro arbitrio suo vivere, nisi alter ad injuriam alteri inferendam esset proclivis. Etenim invidia seditionis parit initium.

197. Lex hominum vitam beneficiis ornare vult, id autem præstare potest, si ipsi ea accipere voluerint : obedientibus enim vim et virtutem suam ostendit.

198. Temporum mutationibus fit, ut etiam valde potentes infirmiorum auxilio indigeant.

199. Concordia cum aliæ res magnæ geri, tum a civitatibus bella confici possunt ; secus, haudquaquam.

200. Seditio domestica utrique parti nocet ; nam et vincentes et victos eadem pessundat pernicies.

201. Prudentiæ est futuram injuriam præcavere, indolentiæ vero illatam non ulcisci.

202. Injuriam patientes pro viribus sunt defendendi et minime negligendi : hoc enim justum et bonum est, contrarium vero injustum et malum.

(Stob. Flor. XLVI, 43.)

203. Καὶ οἱ φυγῆς ἄξια ἔρδουσι, ἢ δεσμῶν ἢ ποινῆς ἄξιοι, καταψηφιστέον καὶ μὴ ἀπολύειν· ὃς δ' ἂν παρὰ νόμον ἀπολύῃ, κέρδεϊ ὁρίζων ἢ ἡδονῇ, ἀδικέει· καί οἱ τοῦτο ἐγκάρδιον ἀνάγκη εἶναι.

(Stob. Flor. XLVI, 44.)

204. Τῶν ἡμαρτημένων ἄνθρωποι μεμνέαται μᾶλλον ἢ τῶν εὖ πεποιημένων. Καὶ γὰρ δίκαιον οὕτως· ὥσπερ τὰς παρακαταθήκας ἀποδιδόντα οὐ χρὴ ἐπαινέεσθαι, τὸν δὲ μὴ ἀποδιδόντα κακῶς ἀκούειν καὶ πάσχειν, οὕτω καὶ τὸν ἄρχοντα. Οὐ γὰρ ἐπὶ τουτέῳ ᾑρέθη ὡς κακῶς ποιήσων, ἀλλ' ὡς εὖ.

(Stob. Flor. XLVI, 47.)

205. Οὐδεμίῃ μηχανῇ τῷ νῦν κατεστεῶτι ῥυσμῷ μὴ οὐκ ἀδικέειν τοὺς ἄρχοντας, ἢν καὶ πάνυ ἀγαθοὶ ἔωσι· οὐδενὶ γὰρ ἄλλῳ ἔοικε ἢ ἑωυτῷ τὸν αὐτὸν ἐπ' ἑτέροισι γίνεσθαι. Δέει δέ κως οὕτω καὶ ταῦτα κοσμηθῆναι, ὅκως ὁ μηδὲν ἀδικέων, ἢν καὶ πάνυ ἐτάζῃ τοὺς ἀδικέοντας, μὴ ὑπ' ἐκείνοισι γενέσθαι, ἀλλά τις ἢ θεσμὸς ἤ τι ἄλλο ἀμυνέει τῷ τὰ δίκαια ποιεῦντι.

(Stob. Flor. XLVI, 48.)

206. Κατὰ δὲ ζώων ἔστι ὧν φόνον καὶ μὴ φόνον ὧδε ἔχει· τὰ ἀδικέοντα καὶ θέλοντα ἀδικέειν ἀθῷος ὁ κτείνων, καὶ πρὸς εὐεστοῦν τοῦτο ἔρδειν μᾶλλον ἢ μή.

(Stob. Flor. XLIV, 16.)

207. Κτείνειν χρὴ τὰ πημαίνοντα παρὰ δίκην πάντα περὶ παντός· καὶ ταῦτα ὁ ποιέων εὐθυμίης καὶ δίκης καὶ θάρσεος καὶ κτήσιος ἐν παντὶ κόσμῳ μέζω μοῖραν μετέξει.

(Stob. Flor. XLIV, 17.)

208. Ὅκωσπερ περὶ κιναδέων τε καὶ ἑρπετέων γεγράφαται τῶν πολεμίων, οὕτω καὶ κατὰ ἀνθρώπων δοκέει μοι χρεὼν εἶναι ποιέειν· κατὰ νόμους τοὺς πατρίους κτείνειν πολέμιον ἐν παντὶ κόσμῳ, ἐν ᾧ μὴ νόμος ἀπείργει· νόμος δὲ ἀπείργει, ἱρὰ ἑκάστοισι ἐπιχώρια καὶ σπονδαὶ καὶ ὅρκοι.

(Stob. Flor. XLIV, 18.)

209. Κιξάλλην καὶ λῃστὴν πάντα κτείνων τις ἀθῷος ἂν εἴη, καὶ αὐτοχειρίῃ καὶ κελεύων καὶ ψήφῳ.

(Stob. Flor. XLIV, 19.)

210. Οἰκέτῃσι, ὡς μέρεσι τοῦ σκήνεος, χρῶ ἄλλῳ πρὸς ἄλλο.

(Stob. Flor. XLII, 45.)

211. Ἡ ἐν δημοκρατίῃ πενίη τῆς παρὰ τοῖσι δυνατοῖσι καλεομένης εὐδαιμονίης τοσοῦτόν ἐστι αἱρετωτέρη, ὁκόσον ἐλευθερίη δουλείης.

(Stob. Flor. XLIII, 42.)

212. Τὰ κατὰ τὴν πόλιν χρεὼν τῶν λοιπῶν μέγιστα ἡγέεσθαι, ὅκως ἄξεται εὖ, μήτε φιλονεικέοντα παρὰ τὸ ἐπιεικές, μήτε ἰσχὺν ἑωυτῷ περιτιθέμενον παρὰ τὸ χρηστὸν τὸ τοῦ ξυνοῦ. Πόλις γὰρ εὖ ἀγομένη μεγίστη ὄρθωσίς ἐστι· καὶ ἐν τούτῳ πάντα ἔνι, καὶ τούτου σωζομένου πάντα σώζεται, καὶ τούτου φθειρομένου τὰ πάντα διαφθείρεται.

---

203. Damnandi neque absolvendi sunt, qui aliquid dignum exsilio committunt, aut qui vinculis aliave pœna digni sunt. Qui vero legum auctoritate contemta (ejusmodi homines) absolvit, lucri aut voluptatis gratia decernens, injuste agit, atque hanc agendi rationem ei cordi esse necesse est.

204. Homines (i. e. cives) male quam bene factorum magis sunt memores, atque ita fieri par est. Ut qui depositum reddit, laudari non debet, at reprehendi et puniri qui non reddit : ita de magistratu quoque judicandum est. Neque enim ea lege ut male faciat, sed ut bene faciat eligitur.

205. In præsenti rerum statu fieri non potest, quin magistratus etiam valde boni (interdum) inique agant; neque enim ulli alii nisi sibi ipsi similis est hæc rerum facies et conditio, qua iidem (homines perpetuo) aliis atque aliis (magistratibus) parent. Convenit etiam ita fere hæc (de quibus loquor) institui, ut qui nulla in re injustum se præbet, etiamsi severe de injuriarum auctoribus quærat, illis ne pareat (postea), sed ut vel lex vel aliud quid magistratum justitia insignem ab illorum injuria defendat.

206. De animalium quorundam cæde permissa ac non permissa sic se res habet. Ea quæ injuriam faciunt aut facere volunt, quisquis occiderit, innocens erit, immo ne salus nostra periclitetur, occidi ea præstat, quam non occidi.

207. Interficienda sunt omni de causa, quæcunque præter fas damnum apportant; quod qui facit, is et tranquillitatis et juris et animi intrepidi et in omnibus ornamentis plus possessionum habebit.

208. Ut de feris et serpentibus nobis inimicis scriptum est, sic etiam adversus homines faciendum mihi videtur : ut hostis ubivis gentium secundum patrias leges occidatur, quatenus nulla lex obstet. Aliquando enim lex prohibet et sua cujusque regionis sacra (templa), fœdera et sacramenta.

209. Furem et latronem quemvis occidens aliquis aut manu sua, aut jussu suffragiove, innocens habendus est.

210. Servis, ut partibus corporis, alio ad aliud utere.

211. Paupertas in populari imperio tanto potior est felicitate, quam inter potentes hoc nomine appellant, quanto antestat servituti libertas.

212. Negotia publica civitatis omnium existimari oportet maxima, ut ipsa civitas bene gubernetur, neque præter æquum contendi, neque privatam potentiam adversus publicum bonum comparari. Nam bene temperata civitas felicissima est rerum constitutio. In hac insunt omnia, hac salva cuncta servantur, hac pereunte nil non pessum it.

(Stob. Flor. XLIII, 43.)

213. Τοῖσι χρηστοῖσι οὐ ξυμφέρον ἀμελέοντας τοῖσι ἑωυτῶν ἄλλα πρήσσειν· τὰ γὰρ ἴδια κακῶς ἂν ἔσχεν. Εἰ δὲ ἀμελέοιτο τῶν δημοσίων τι, κακῶς ἀκούειν γίνεται, καὶ ἢν μηδὲν μήτε κλέπτῃ μήτε ἀδικέῃ· ἐπεὶ καὶ ἀμελέοντι (οὐκ ἧσσον) ἢ ἀδικέοντι κίνδυνος κακῶς ἀκούειν καὶ δὴ καὶ παθέειν τι. Ἀνάγκη δὴ ἁμαρτάνειν, ξυγγινώσκεσθαι δὲ τοὺς ἀνθρώπους οὐκ εὐπετές.

(Stob. Flor. XLIII, 44.)

214. Οἱ κακοὶ ἰόντες ἐς τὰς τιμάς, ὁκόσῳ ἂν μᾶλλον ἀνάξιοι ἐόντες ἴωσι, τοσούτῳ μᾶλλον ἀνακηδέες γίνονται καὶ ἀφροσύνης καὶ θράσεος πίμπλανται.

(Stob. Flor. XLIII, 45.)

215. Ὅταν οἱ δυνάμενοι τοῖσι μὴ ἔχουσι καὶ προτελέειν τολμέωσι καὶ ὑπουργέειν καὶ χαρίζεσθαι, ἐν τούτῳ ἤδη καὶ τὸ οἰκτείρειν ἔνεστι, καὶ μὴ ἐρήμους εἶναι καὶ τὸ ἑταίρους γίνεσθαι καὶ τὸ ἀμύνειν ἀλλήλοισι καὶ τοὺς πολιήτας ὁμονόους εἶναι καὶ ἄλλα ἀγαθά, ὅσσα οὐδεὶς ἂν δύναιτο καταλέξαι.

(Stob. Flor. XLIII, 46.)

Περὶ γήραος.

216. Ἰσχὺς καὶ εὐμορφίη νεότητος ἀγαθά, γῆρας δὲ σωφροσύνης ἄνθος.

(Stob. Flor. CXV, 19; Max. p. 856.)

217. Γέρων εὔχαρις ὁ αἱμύλος καὶ σπουδαιόμυθος.

(Democrat. Orell. n. 70.)

218. Ὁ γέρων νέος ἐγένετο, ὁ δὲ νέος ἄδηλον εἰ ἐς γῆρας ἀπίξεται· τὸ τέλειον ὦν ἀγαθὸν τοῦ μέλλοντός τε καὶ ἀδήλου κρέσσον.

(Stob. Flor. CXV, 21.)

219. Γῆρας ὁλόκληρός ἐστι πήρωσις· πάντ' ἔχει καὶ πᾶσι ἐνδέει.

(Stob. Flor. CXVI, 41.)

220. Ὁ αὐτὸς ἰδὼν νεανίαν φιλοπονοῦντα ἔφη· Κάλλιστον ὄψον τῷ γήρατι ἀρτύεις.

(Anton. et Max. pag. 377.)

Πάρεργον.

221. Ἐρωτικὴν μέμψιν ἡ ἀγαπωμένη λύει.

(Stob. Flor. LXIII, 33.)

222. Ἰσχυρὸν ἐς πειθὼ λόγος γίνεται.

(Stob. Flor. LXXXI, 11.)

223. Ἰσχυρότερος ἐς πειθὼ λόγος πολλαχῇ γίνεται χρυσοῦ.

(Democrat. ap. Orell. n. 17.)

224. Ὁ ἀδικέων τοῦ ἀδικεομένου κακοδαιμονέστερος.

(Democrat. ap. Orell. n. 11.)

225. Ἀνδρὶ σοφῷ πᾶσα γῆ βατή· ψυχῆς γὰρ ἀγαθῆς πατρὶς ὁ ξύμπας κόσμος.

(Stob. Flor. XL, 7.)

226. Τὰ καλὰ γνωρίζουσι καὶ ζηλοῦσι οἱ εὐφυέες πρὸς αὐτά.

(Democrat. ap. Orell. n. 22.)

227. Προβουλεύεσθαι κρέσσον πρὸ τῶν πρηξίων ἢ μετανοέειν.

---

213. Bonis non expedit, rebus suis neglectis, alias agere : propriæ enim (interim) male se haberent. Si quid autem publicum negligatur, infamia accedit, etsi quis neque furtum neque injuriam ullam faciat. Etenim negligenti non minus quam injuriam inferenti periculum est cum male audiendi, tum etiam patiendi. Fieri profecto non potest, quin peccetur, peccatorum autem veniam ut impetrent homines, non facile fieri potest.

214. Improbi si honores petunt, quo fuerint indigniores, hoc et negligentiores (adepto magistratu) fiunt imprudentiaque magis et audacia replentur.

215. Ubi potentes ad sublevandos tenuioris fortunæ homines sumptus facere sustinent eisque operam navare et gratificari, ibi misericordiæ locus est, singuli cives non dissociati ac deserti sunt, sed mutua societas, defensio et concordia nascuntur atque alia bona tot tantaque, ut nemo verbis exprimere possit.

De senectute.

216. Robur et pulchritudo juventutis bona sunt, senectus autem temperantiæ prudentiæque flos est.

217. Gratus est senex qui scite jocari potest et seria loqui.

218. Senex fuit juvenis aliquando : num vero juvenis futurus sit olim senex, incertum est. Perfectum igitur bonum futuro atque incerto præstantius est.

219. Senectus omnium est sensuum hebetatio : omnia habet atque omnibus aliquid deest.

220. Idem Democritus conspicatus juvenem industrium et laboris amantem : Pulcherrimum, inquit, senectutis condis obsonium.

Additamentum.

221. Amatorium crimen diluit ipsa quæ amatur.

222. Plurimum ad persuasionem sermo valet.

223. Ad persuadendum sæpenumero plus oratio, quam aurum valet.

224. Infelicior est, injuriam qui facit, quam qui accipit.

225. Quælibet terra sapienti viro pervia est : namque animi fortis universus mundus patria est.

226. Homines natura ad honestatem facti et agnoscunt, quæ honesta sunt, et iis operam dant.

227. Præstat consilium præcedere facta, quam pœnitentiam subsequi.

(Democrat. ap. Orell. n. 31.)

228. Ἡ τῶν ξυγγενέων ἔχθρη τῆς τῶν ὀθνείων χαλεπωτέρη μάλα.

(Democrat. ap. Orell. n. 56.)

229. Ὁ αὐτὸς (Δημόκριτος) ἔφη, οὐ καλὸν πεπαιδευμένον ἀπαιδεύτοις διαλέγεσθαι, ὥσπερ οὐδὲ νήφοντα μεθύουσιν.

(Anton. et Max. p. 704.)

230. Ὁ αὐτὸς τὸν φθόνον εἶπεν ἕλκος εἶναι τῆς ἀληθείας.

(Anton. et Max. p. 408.)

231. Τιμαὶ παρὰ τοῖσι εὐφρονέουσι μέγα δύνανται, οἳ ξυνιᾶσι τιμώμενοι.

(Pseudodemocrat. n. 61.)

232. Βέλτερον ὑπ' ἑτέρου ἢ ὑπ' ἑωυτοῦ ἐπαινέεσθαι.

(Pseudodemocrat. n. 82.)

233. Ἢν μὴ γνωρίζῃς τοὺς ἐπαίνους, κολακεύεσθαι ἡγέο.

(Pseudodemocrat. n. 83.)

234. Φαύλων ὁμιλίη ξυνεχὴς ἕξιν κακίης αὔξει.

(Cod. Flor. Stob. Gaisf. IV p. 408.)

235. Ἑκουσίως μὴ πονέειν παῖδες ἀνιέντες, οὔτε γράμματα μάθοιεν, οὔτε μουσικήν, οὔτε ἀγωνίην, οὐδ' ὅπερ μάλιστα τὴν ἀρετὴν ξυνέχει, τὸ αἰδέεσθαι· μάλα γὰρ ἐκ τούτων φιλέει γίνεσθαι ἡ αἰδώς.

(Ibid. p. 403.)

236. Τὰ μὲν καλὰ χρήματα τοῖσι πόνοισι ἡ μάθησις ἐξεργάζεται, τὰ δ' αἰσχρὰ ἄνευ πόνων αὐτόματα καρποῦται· καὶ γὰρ ὡς τὸν οὐκ ἐθέλοντα πολλάκις ἐξέργει τοιοῦτον εἶναι· οὕτω μεγάλης πρήξιος ὁ ἀμαθὴς σπανίως πρωτουργός τε καὶ ποιητής ἐστι.

(Ibid. p. 406.)

237. Τίμιον ὀλίγη σοφίη ὑπὲρ δόξαν ἀφροσύνης μεγάλης.

(Pseudodemocrat. n. 86.)

238. Ἀνθρώποισι πᾶσι σεβαστά ἐστι τὸ ἀγαθὸν καὶ ἀληθές· ἡδὺ δὲ ἄλλῳ ἄλλο.

(Pseudodemocrat. n. 34.)

239. Τήν γε ἀληθινὴν τιμὴν καὶ χάριν ἱδρυμένην ἐν εὐνοίᾳ καὶ διαθέσει τῶν μεμνημένων οὐχ ὑπερόψεται πολιτικὸς ἀνήρ, οὐδέ γε δόξαν ἀτιμάσει φεύγων τὸ τοῖς πέλας ἁνδάνειν, ὡς ἠξίου Δημόκριτος.

(Plutarch. reip. ger. præc. p. 821, vol. IX p. 266 ed. Reisk.)

240. Ἐν ξυνῷ ἰχθύϊ ἄκανθαι οὐκ ἔνεισιν, ὥς φησιν ὁ Δημόκριτος.

(Plutarch. convival. disput. lib. II, 10 pag. 643, vol. VIII pag. 549 ed. Reisk.)

241. Ἦμος δὲ στεροπῆς ἀπεπτοίησεν ὀνείρους ὁ ἥλιος ἀνασχών, καὶ καθάπερ εἰς ταὐτὸ συμμίξας ἐπέστρεψε καὶ συνώρμησε τῷ φωτὶ τὰς πράξεις καὶ τὰς νοήσεις τὰς ἁπάντων, ὥς φησι Δημόκριτος, νέα ἐφ' ἡμέρῃ στρέφοντες ἄνθρωποι, τὴν πρὸς ἀλλήλους ὁρμὴν καθάπερ ἀρτύματα συντόνως ποθοῦντες, ἄλλος ἀλλαχόθεν ἐπὶ τὰς πράξεις ἀνίστανται.

(Plutarch. de occulte viv. p. 1129, vol. X pag. 642 seq. ed. Reisk.)

242. Χρὴ τὴν μὲν εὐσέβειαν φανερῶς ἐνδείκνυσθαι, τῆς δὲ ἀληθείας θαῤῥούντως προΐστασθαι.

(Anton. pag. 235.)

243. Ξείνοισι μεταδίδου καὶ τοῖσι δεομένοισι ἐκ τῶν

---

228. Consanguineorum inimicitiæ multo asperiores sunt externis.

229. Idem (Democritus) dixit, neque doctum decere cum indoctis, neque sobrium cum ebriis loqui.

230. Idem invidiam veritatis ulcus esse dicebat.

231. Honores plurimum valent apud prudentes atque benevolos, qui eos sibi collatos esse intelligunt.

232. Ab alio quam a se ipso laudari præstat.

233. Si laudes in te ipso non agnoveris, palpum tibi obtrudi existimes.

234. Continuum improborum commercium vitiorum consuetudinem paullatim affert.

235. Pueri qui voluntariis laboribus totos se dare non possunt, illi neque litteras didicerint, neque musicam, neque (cum æqualibus honeste) certare, neque, quod maxime virtutem continet, alios revereri; nam ex his rebus pudor nasci inprimis solet.

236. Res honestas laboribus disciplina perficit, turpes autem nullius laboris nativi sunt fructus : nam ut nolentem (disciplina) sæpe cogit, ut (qualem se præbet) talis sit (homo), ita omnis disciplinæ expers raro est præclari facinoris auctor.

237. Nonnihil sapientiæ pluris faciendum est, quam speciosa quidem, sed falsa magnæ dementiæ opinio.

238. Apud omnes quidem homines in honore sunt bonum ac verum : gratum tamen alii aliud.

239. Certe verum honorem gratiamque innixam benevolentia animique memorum affectione non despiciet vir, qui in administranda republica versatur, neque gloriam contemnet, fugiens aliorum approbationem, ut volebat Democritus.

240. In communi pisce non insunt spinæ, ut dicit Democritus.

241. Verum ubi sol oriens fulgentia somnia abegit, et tanquam in unum commiscens convertit et excitavit una cum luce omnium actiones cogitationesque : tunc, ut ait Democritus, nova statim ab initio diei animo volventes homines, mutuos conatus velut condimenta quædam vehementer appetentes, alius aliunde ad res agendas sese conferunt.

242. Pietas palam declaranda, veritas autem forti animo defendenda est.

243. Peregrinis impertire et egentibus ex iis quæ ad-

ἐόντων· ὁ γὰρ μὴ διδοὺς δεομένῳ οὐδὲ αὐτὸς λήψεται δεόμενος.

(Anton. et Max. p. 725.)

244. Τάχος καὶ ἔπειξις ἀπέστω τοῦ ἐσθίειν· κυνῶδες γὰρ τοῦτο καὶ θηρίῳ μᾶλλον ἢ ἀνθρώπῳ πρέπον.

(Anton. et Max. pag. 299.)

245. Ποθητὸς εἶναι μᾶλλον ἢ φοβερὸς κατὰ τὸν βίον προαιροῦ, ὃν γὰρ πάντες φοβοῦνται, πάντας φοβεῖται.

(Anton. p. 517; Max. p. 542.)

246. Τὸν ἄρχοντα δεῖ ἔχειν πρὸς μὲν τοὺς καιροὺς λογισμόν, πρὸς δὲ τοὺς ἐναντίους τόλμαν, πρὸς δὲ τοὺς ὑποτεταγμένους εὔνοιαν.

(Anton. p. 517; Max. p. 542.

247. Δεῖ τὸν ἑτέρων μέλλοντα ἄρξειν αὐτὸν ἑαυτοῦ πρῶτον ἄρχειν.

(Maxim. p. 542.)

248. Ἡδὺ μηδὲν ἀποδέχεσθαι, ἢν μὴ ξυμφέρῃ.

(Pseudodemocrat. ap. Orell. n. 39.)

249. Ὁ κόσμος σκηνή, ὁ βίος πάροδος· ἦλθες, εἶδες, ἀπῆλθες.

(Pseudodemocrat. ap. Orell. n. 84.)

250. Θείου νόου τὸ αἰεὶ διαλογίζεσθαι καλόν.

(Pseudodemocrat n. 79.)

---

sunt: qui enim indigenti non dederit, ne ipse quidem, si quando egeat, accipiet.

244. Celeritas et festinatio absint a comedendo. Hoc enim caninum est, et belluæ convenit magis quam homini.

245. Id specta, ut alii magis te desiderent in vita quam metuant: quem enim omnes metuunt, idem omnes metuit.

246. Principem in rerum opportunitatibus uti decet ratione, adversus hostes audacia, benevolentia autem erga subjectos.

247. Qui aliis imperaturus est, debet ipse sibi prius imperare.

248. Nihil jucundum admittendum est, nisi idem sit utile.

249. Mundus scena, vita transitus: venisti, vidisti, abiisti.

250. Animi divini est, semper aliquid bonum cogitare.

B. ΦΥΣΙΚΑ ΑΠΟΣΠΑΣΜΑΤΙΑ.

FRAGMENTA PHYSICA.

1. Δημόκριτος δὲ ὅτι μὲν ἀναιρεῖ τὰ φαινόμενα ταῖς αἰσθήσεσι, καὶ τούτων λέγει μηδὲν φαίνεσθαι κατὰ ἀλήθειαν, ἀλλὰ μόνον κατὰ δόξαν· ἀληθὲς δὲ ἐν τοῖς οὖσιν ὑπάρχειν τὸ ἀτόμους εἶναι καὶ κενόν. Νόμῳ γάρ, φησί, γλυκύ, καὶ νόμῳ πικρόν, νόμῳ θερμόν, νόμῳ ψυχρόν, νόμῳ χροιή· ἐτεῇ δὲ ἄτομα καὶ κενόν. Ἅπερ νομίζεται μὲν εἶναι καὶ δοξάζεται τὰ αἰσθητά, οὐκ ἔστι δὲ κατὰ ἀλήθειαν ταῦτα· ἀλλὰ τὰ ἄτομα μόνον καὶ κενόν. Ἐν δὲ τοῖς Κρατυντηρίοις καίπερ ὑπεσχημένος ταῖς αἰσθήσεσι τὸ κράτος τῆς πίστεως ἀναθεῖναι, οὐδὲν ἧττον εὑρίσκεται τούτων καταδικάζων. Φησὶ γάρ· Ἡμέες δὲ τῷ μὲν ἐόντι οὐδὲν ἀτρεκὲς ξυνίεμεν, μεταπῖπτον δὲ κατά τε σώματος διαθιγήν, καὶ τῶν ἐπεισιόντων, καὶ τῶν ἀντιστηριζόντων. Καὶ πάλιν φησί· ἐτεῇ μέν νυν, ὅτι οἷον ἕκαστόν ἐστιν, ἢ οὐκ ἔστιν, οὐ ξυνίεμεν, πολλαχῇ δεδήλωται. Ἐν δὲ τῷ περὶ ἰδεῶν, γινώσκειν τε χρή, φησί, ἄνθρωπον τῷδε τῷ κανόνι, ὅτι ἐτεῆς ἀπήλλακται. Καὶ πάλιν· Δηλοῖ μὲν δὴ καὶ οὗτος ὁ λόγος, ὅτι ἐτεῇ οὐδὲν ἴδμεν περὶ οὐδενός· ἀλλ' ἐπιῤῥυσμίη ἑκάστοισι ἡ δόξις. Καὶ ἔτι· Καίτοι δῆλον ἔσται, ὅτι ἐτεῇ οἷον ἕκαστον, γινώσκειν, ἐν ἀπόρῳ ἐστί. Καὶ δὴ ἐν μὲν τούτοις πᾶσαν σχεδὸν κινεῖ κατάληψιν, καὶ μόνον ἐξαιρέτως καθάπτεται τῶν αἰσθήσεων. Ἐν δὲ τοῖς Κανόσι δύο φησὶν εἶναι γνώσεις, τὴν μὲν διὰ τῶν αἰσθήσεων, τὴν δὲ διὰ τῆς διανοίας· ὧν τὴν μὲν διὰ τῆς διανοίας γνησίην κατάγει, προσμαρτυρῶν αὐτῇ τὸ πιστὸν εἰς ἀληθείας κρίσιν· τὴν δὲ διὰ τῶν αἰσθήσεων σκοτίην ὀνομάζει, ἀφαιρούμενος αὐτῆς τὸ πρὸς διάγνωσιν τοῦ ἀληθοῦς ἀπλανές. Λέγει δὲ κατὰ λέξιν· Γνώμης δὲ δύο εἰσὶν ἰδέαι· ἡ μὲν γνησίη, ἡ δὲ σκοτίη· καὶ σκοτίης μὲν τάδε ξύμπαντα, ὄψις, ἀκοή, ὀδμή, γεῦσις, ψαῦσις· ἡ δὲ γνησίη ἀποκεκριμένη δὲ ταύτης. Εἶτα προκρίνων τῆς σκοτίης τὴν γνησίην ἐπιφέρει λέγων· Ὅταν ἡ σκοτίη μηκέτι δύνηται μήτε ὁρῆν ἐπ' ἔλαττον, μήτε ἀκούειν, μήτε ὀδμᾶσθαι, μήτε γεύεσθαι, μήτε ἐν τῇ ψαύσει αἰσθάνεσθαι, ἀλλ' ἐπὶ λεπτότερον. Οὐκοῦν καὶ κατὰ τοῦτον ὁ λόγος ἐστὶ κριτήριον, ὃν γνησίην γνώμην καλεῖ.

(Sextus Empiricus adv. Mathem. (Logic.) lib. VII § 135—139. pag. 399 seqq. ed. Fabric.)

2. Παλαιὰ γάρ τις, ὡς προεῖπον, ἄνωθεν παρὰ τοῖς φυσικοῖς κυλίεται δόξα περὶ τοῦ τὰ ὅμοια ὁμοίων εἶναι γνωριστικά· καὶ ταύτης ἔδοξε μὲν καὶ Δημό-

1. Democritus autem quum ea tollat, quæ apparent sensibus, ex iis etiam dicit nihil vere apparere, sed solum ex opinione, verum autem esse in iis quæ sunt, quatenus individua sint et inane. *Opinione enim et instituto*, inquit, *est dulce et amarum, opinione calidum et frigidum, opinione color : vere autem individua et inane. Quæ igitur esse existimantur et putantur sensilia, ea non sunt revera. Sola autem sunt individua et inane.* In Libris probativis itidem, quamvis pollicitus, se sensibus vim conciliaturum fidemque facturum, nihilominus invenitur eos condemnare. Ait enim : *Nos re ipsa quidem nihil veri intelligimus, sed id tantum percipimus, quod mutatur pro positura corporis eorumque quæ nobis incidunt et obsistunt.* Et alibi ait : *Nos vere quidem qualis sit unaquæque res, vel non sit, nequaquam intelligere, plurimis locis est declaratum.* In libro autem de imaginibus ait : *Oportet hominem hac regula scire, se a vero longe abesse.* Et alio loco : *Ostendit quidem hæc quoque ratio, de nulla re quidquam nos vere scire, sed esse singulis opinionem, prout quemque res extrinsecus allata affecerit.* Et alio etiam loco : *Quamquam erit evidens, dubium esse, num, quale sit unumquidque, sciamus.* Atque in his quidem omnem fere rejicit comprehensionem, licet modo sensus præcipue testes adhibeat. In Regulis autem duas perhibet esse cognitiones, alteram per sensus, alteram per cogitationem : ex quibus cognitionem quæ per cogitationem fit, genuinam ducit, fide dignum veritatis judicium suo testimonio ipsi tribuens; cognitionem autem per sensus comparari solitam obscuram vocat, in vero discernendo erroris vacuitatem ei eripiens. Dicit autem ad verbum : *Cognitionis dux sunt species, altera genuina, altera obscura; et obscuræ quidem hæc sunt omnia, visus, auditus, olfactus, gustus, tactus; genuina autem illa est, quæ ab hac est secreta.* Deinde genuinam obscuræ præferens subjungit hæc : *Quando obscura non amplius potest in rebus justo minoribus neque videre, neque audire, neque odorari, neque gustare, neque tactu sentire, sed ad subtilius* (confugiendum). Est igitur ex Democriti quoque sententia ratio rerum arbitra, quam appellat genuinam cognitionem.

2. Nam vetus quædam, ut prius dixi, et jam pridem recepta inter physicos versatur opinio, similia similibus cognosci; atque ejus quidem visus est etiam Democritus

κριτος κεκομικέναι τὰς παραμυθίας· ἔδοξε δὲ καὶ Πλάτων αὐτῆς ἐν Τιμαίῳ παρεψαυκέναι· ἀλλ' ὁ μὲν Δημόκριτος ἐπί τε τῶν ἐμψύχων καὶ ἀψύχων ἵστησι τὸν λόγον. Καὶ γὰρ ζῶα, φησίν, ὁμογενέσι ζώοισι ξυναγελάζεται, ὡς περιστεραὶ περιστερῇσι, καὶ γέρανοι γεράνοισι, καὶ ἐπὶ τῶν ἄλλων ἀλόγων. Ὡσαύτως δὲ καὶ περὶ τῶν ἀψύχων· κατάπερ ὁρῆν πάρεστι ἐπί τε τῶν κοσκινευομένων σπερμάτων, καὶ ἐπὶ τῶν παρὰ τῇσι κυματωγῇσι ψηφίδων· ὅκου μὲν γὰρ κατὰ τὸν τοῦ κοσκίνου δῖνον διακριτικῶς φακοὶ μετὰ φακῶν τάσσονται καὶ κριθαὶ μετὰ κριθέων καὶ πυροὶ μετὰ πυρῶν· ὅκου δὲ κατὰ τὴν τοῦ κύματος κίνησιν αἱ μὲν ἐπιμήκεες ψηφῖδες εἰς τὸν αὐτὸν τόπον τῇσι ἐπιμήκεσι ὠθέονται, αἱ δὲ περιφερέες τῇσι περιφερέσι· ὡς ἂν ξυναγωγόν τι ἐχούσης τῶν πρηγμάτων τῆς ἐν τούτοισι ὁμοιότητος. Ἀλλ' ὁ μὲν Δημόκριτος οὕτως.

(Sext. Empiric. adv. Mathem. lib. VII § 116 et 117, pag. 395 ed. Fabric.)

3. Δημόκριτος δὲ εἴδωλά τινά φησιν ἐμπελάζειν τοῖς ἀνθρώποις, καὶ τούτων τὰ μὲν εἶναι ἀγαθοποιά, τὰ δὲ κακοποιά· ἔνθεν καὶ εὔχεται εὐλόγχων τυχεῖν εἰδώλων. Εἶναι δὲ ταῦτα μεγάλα τε καὶ ὑπερφυῆ καὶ δύσφθαρτα μέν, οὐκ ἄφθαρτα δέ. Προσημαίνειν τε τὰ μέλλοντα τοῖς ἀνθρώποις θεωρούμενα καὶ φωνὰς ἀφιέντα· ὅθεν τούτων αὐτῶν φαντασίαν λαβόντες οἱ παλαιοὶ ὑπενόησαν εἶναι θεόν, μηδενὸς ἄλλου παρὰ ταῦτα ὄντος θεοῦ τοῦ ἄφθαρτον φύσιν ἔχοντος.

(Sextus Empiricus adv. Mathem. lib. IX § 19, pag. 552 seqq. ed. Fabric.)

4. Εἰσὶ δὲ οἱ ἀπὸ τῶν γιγνομένων κατὰ τὸν κόσμον παραδόξων ὑπονοήσαντες εἰς ἔννοιαν ἡμᾶς ἐληλυθέναι θεῶν. Ἀφ' ἧς φαίνεται εἶναι δόξης καὶ ὁ Δημόκριτος. Ὁρέοντες γάρ, φησί, τὰ ἐν τοῖσι μετεώροισι παθήματα οἱ παλαιοὶ τῶν ἀνθρώπων, κατάπερ βροντὰς καὶ ἀστραπάς, κεραυνούς τε καὶ ἄστρων συνόδους, ἡλίου τε καὶ σελήνης ἐκλείψιας, ἐδειματέοντο, θεοὺς οἰόμενοι τούτων αἰτίους εἶναι.

(Sextus Empir. adv. Math. lib. IX § 24 p. 554 ed. Fabr.)

5. Δημόκριτος δὲ τὰς ποιότητας ἐκβαλών, ἵνα φησί· Νόμῳ ψυχρόν, νόμῳ θερμόν, ἐτεῇ δὲ ἄτομα καὶ κενόν. Καὶ πάλιν· Ἐτεῇ δὲ οὐδὲν ἴδμεν· ἐν βυθῷ γὰρ ἡ ἀληθείη.

(Diog. Laert. in vit. Pyrrhon. lib. IX § 72.)

6. Ἀλλὰ καὶ Δημόκριτος ἐν οἷς φησι δίνη ἀπὸ παντὸς ἀποκρίνεσθαι παντοίων εἰδέων (πῶς δὲ καὶ ὑπὸ τίνος αἰτίας μὴ λέγει), ἔοικεν ἀπὸ ταὐτομάτου καὶ τύχης γεννᾷν αὐτά.

(Simplicius ad Aristot. Phys. fol. 73 b.)

7. Καὶ ὡς Δημόκριτός φησιν, ἦν ὁμοῦ πάντα δυνάμι, ἐνεργείῃ δ' οὔ.

(Aristot. Metaph. lib. XII cap. 2 pag. 1069 ed. Bekker.)

8. Οἷς οὐδ' ὄναρ ἐντυχὼν ὁ Κολώτης, ἐσφάλη περὶ

---

aliquas probabiles afferre rationes. Visus est et Plato eam tetigisse in Timæo. Sed Democritus de animatis et inanimis ea quæ dicit statuit. *Animantia enim*, inquit, *simul congregantur cum ejusdem generis animantibus, ut columbæ cum columbis et grues cum gruibus, atque idem in aliis brutis valet. Idem quoque de inanimis dicendum; ut licet videre in seminibus quæ cribrantur et in lapillis per littora sparsis, quum pro cribri circumactione separatim lens cum lente collocetur, hordeum cum hordeo et triticum cum tritico, ex undarum autem motione oblongi quidem calculi pellantur ad eundem locum ad quem oblongi, teretes vero ad quem teretes, utpote rerum in his similitudine habente vim quandam congregandi.* Sed sic quidem Democritus.

3. Democritus autem ait quædam simulacra appropinquare hominibus, et ex iis alia quidem benefica esse, alia vero malefica; hinc etiam optat, ut bona sibi simulacra occurrant. Ea autem esse magna et ingentia, et difficulter quidem interire, non esse tamen interitui non obnoxia. Significare præterea hominibus futura, quum aspectabilia sint et vocem emittant. Unde perceptam horum visionem antiqui deos esse existimarunt, quum præter hæc non sit alius deus qui habeat naturam interitus expertem.

4. Sunt autem qui ex rebus admirabilibus, quæ in mundo fiunt, suspicati sint nos pervenisse ad notionem deorum. In qua opinione videtur etiam esse Democritus. *Videntes enim*, inquit, *veteres quæ in sublimi accidunt, ut tonitrua et fulgura, et fulmina, et astrorum coitus, solisque et lunæ defectiones, perterrebantur, rati deos esse eorum auctores.*

5. Democritus exclusis qualitatibus, ubi ait: *opinione frigidum, opinione calidum, re vera autem individua et inane.* Et alibi: *Re vera nihil scimus; in profundo enim veritas latet.*

6. Sed Democritus quoque dicens *vertigine ab atomorum variarum universitate* (quasdam) *segregari* (quomodo vero et qua causa, non dicit), videtur forte et casu res procreare.

7. Atque ut Democritus ait, *simul omnia potentia erant, actu vero minime.*

8. Quæ quum ne per somnum quidem vidisset Colotes,

λέξιν τοῦ ἀνδρός, ἐν ᾗ διορίζεται, μὴ μᾶλλον τὸ δέν, ἢ τὸ μηδὲν εἶναι· δὲν μὲν ὀνομάζων τὸ σῶμα, μηδὲν δὲ τὸ κενόν, ὡς καὶ τούτου φύσιν τινὰ καὶ ὑπόστασιν ἰδίαν ἔχοντος.

(Plutarch. adv. Colot. pag. 1108. vol. X pag. 561 ed. Reisk.)

9. Δημόκριτος δὲ ὁ τῇ Διὸς φωνῇ παρεικαζόμενος καὶ λέγων τάδε περὶ τῶν ξυμπάντων ἐπεχείρησε μὲν τὴν ἐπίνοιαν ἐκθέσθαι, πλεῖον δὲ ἰδιωτικῆς ἀποφάσεως οὐδὲν ἴσχυσεν, εἰπών· Ἄνθρωπός ἐστι, ὃ πάντες ἴδμεν.

(Sextus Empiric. adv. Math. lib. VII § 265 p. 423 seqq. ed. Fabric.)

10. Ὁ γὰρ ὀμφαλὸς πρῶτον ἐν μήτρησι, ὥς φησι Δημόκριτος, ἀγκυρηβόλιον σάλου καὶ πλάνης ἐμφύεται, πεῖσμα καὶ κλῆμα τῷ γινομένῳ καρπῷ καὶ μέλλοντι.

(Plutarch. de Amore prolis pag. 495 [vol. VII pag. 928 ed. Reisk.])

11. Τὸ κεραύνιον πῦρ ἀκριβείᾳ καὶ λεπτότητι θαυμαστόν ἐστιν, αὐτόθεν περὶ τὴν γένεσιν ἐκ καθαρᾶς καὶ ἁγνῆς ἔχον οὐσίας, καὶ πᾶν, εἴ τι συμμίγνυται νοτερόν, ἢ γεῶδες αὐτῷ, τῆς περὶ τὴν κίνησιν ὀξύτητος ἀποσειομένης καὶ διακαθαιρούσης. Διόβλητον μὲν οὐδέν, ὥς φησι Δημόκριτος, ὃ μὴ τὸ παρ' αἰθρίης στέγει σέλας. Τὰ μὲν οὖν πυκνὰ τῶν σωμάτων, χαλκός, ἄργυρος, χρυσὸς ἀποστέγει καὶ φθείρεται, καὶ τήκεται πάσχοντα τῷ προσμάχεσθαι καὶ ἀντερείδειν· τῶν δ' ἀραιῶν καὶ πολυπόρων καὶ χαλώντων ὑπὸ μανότητος ἀψαυστὶ διεκθεῖ, καθάπερ ἱματίων καὶ ξύλων αὔων.

(Plutarch. Conviv. disp. lib. IV p. 665)

Περὶ αἰσθήσεων.

12. Δημόκριτος δὲ περὶ μὲν αἰσθήσεως οὐ διορίζει, πότερα τοῖς ἐναντίοις ἢ τοῖς ὁμοίοις ἐστίν· ᾗ μὲν γὰρ τῷ ἀλλοιοῦσθαι ποιεῖ τὸ αἰσθάνεσθαι, δόξειεν ἂν τοῖς διαφόροις· οὐ γὰρ ἀλλοιοῦται τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου. Πάλιν δὲ τὸ μὲν αἰσθάνεσθαι καὶ ἁπλῶς τὸ ἀλλοιοῦσθαι τῷ πάσχειν· ἀδύνατον δέ, φησί, τὸ μὴ ταὐτὰ πάσχειν, καὶ ἕτερα ὄντα ποιεῖν ἕτερα, ἀλλὰ ταὐτόν τι πάσχειν τοῖς ὁμοίοις. Διὸ περὶ μὲν τούτων ἀμφοτέρως ἔστιν ὑπολαμβάνειν.

(Theophrast. lib. Περὶ αἰσθήσεως καὶ αἰσθητῶν 49.)

13. Περὶ ἑκάστης δ' ἤδη αὐτῶν ἐν μέρει πειρᾶται λέγειν. Ὁρᾶν μὲν οὖν ποιεῖ τῇ ἐμφάσει· ταύτην δ' ἰδίως λέγει· τὴν γὰρ ἔμφασιν οὐκ εὐθὺς ἐν τῇ κόρῃ γίνεσθαι, ἀλλὰ τὸν ἀέρα τὸν μεταξὺ τῆς ὄψεως καὶ τοῦ ὁρωμένου τυποῦσθαι, συστελλόμενον ὑπὸ τοῦ ὁρωμένου καὶ τοῦ ὁρῶντος· ἅπαντος γὰρ ἀεὶ γίνεσθαί τινα ἀποῤῥοήν· ἔπειτα τοῦτον στερεὸν ὄντα καὶ ἀλλόχρων ἐμφαίνεσθαι τοῖς ὄμμασιν ὑγροῖς· καὶ τὸ μὲν πυκνὸν οὐ δέχεσθαι, τὸ δ' ὑγρὸν διϊέναι. Διὸ καὶ τοὺς ὑγροὺς τῶν σκληρῶν ὀφθαλμῶν ἀμείνους εἶναι πρὸς τὸ ὁρᾶν, εἰ ὁ μὲν ἔξω χιτὼν ὡς λεπτότατος καὶ πυκνότατος εἴη, τὰ δ' ἐντὸς ὡς μάλιστα σομφὰ καὶ κενὰ πυκνῆς καὶ ἰσχυρᾶς σαρκός, ἔτι δὲ ἰκμάδος παχείας τε καὶ λιπαρᾶς, καὶ αἱ φλέβες κατὰ τοὺς ὀφθαλμοὺς

---

lapsus est in verbis ejus, quibus definit, non magis δὲν esse quam μηδέν; δὲν nominans corpus, μηδὲν inane, quasi hoc quoque suam quandam naturam et substantiam habeat.

9. Democritus autem, qui Jovis voci assimilatur atque *hæc de universis disserit*, conatus quidem est exponere notionem, sed de ea nihil amplius potuit pronunciare quam imperitum vulgus, dicens: *Homo est quod omnes scimus.*

10. Primum enim in utero umbilicus nascitur, ut ait Democritus, tanquam ancora, qua fœtus adversus fluctuationes nitatur, et tanquam retinaculum ac pedamentum conceptæ sobolis.

11. Fulminis ignis mirabili est subtilitate et tenuitate, quam statim a prima origine habet ex pura et sincera substantia: et quidquid ei humidum aut terrestre admiscetur, id sui motus celeritate excutit atque expurgat. Nihil igitur fulmine, ut ait Democritus, quod non fulmen e cœlo missum impediat atque retineat. Quare corpora densa, ut æs, argentum, aurum, fulmen retardant, corrumpunturque et liquescunt eo, quod repugnant atque resistunt. At per rara multisque foraminibus hiantia ob laxitatem eorum sine tactu discurrit fulmen, ut per vestes et arida ligna.

De sensibus.

12. Democritus de sensu non definit, utrum contrariis an similibus fiat. Quatenus enim sensum mutatione fieri dicit, videatur diversis, quum similia similibus non mutentur. Rursus autem nos sentire omninoque mutari contendit dum patiamur, dissimilia vero pati et diversa quidem diversa facere posse negat, sed simile aliquid similibus pati. Quapropter hæc utroque modo intelligi licet.

13. De singulis autem sensibus deinceps dicere conatur. Videre nos ait imaginum illapsu quem peculiariter describit; imaginem enim non statim in pupillam illabi, sed aerem inter oculum et illud quod cernitur, medium, contractum ab illo quod cernitur et qui cernit, formari; ab omni enim re fieri semper effluvium quoddam; deinde hunc aerem solidum et discolorem oculis humidis ut imaginem illabi, ita ut densum non accipiat, humidum peragret. Idcirco humidos oculos duris meliores esse ad videndum, si membrana externa quam tenuissima et solidissima sit, interna autem quam maxime fungosa et inania carne solida et valida, atque humore crasso et ni-

εὐθεῖαι καὶ ἄνικμοι, καὶ ὁμοιοσχημονοῖεν τοῖς ἀποτυπουμένοις. Τὰ γὰρ ὁμόφυλα μάλιστα ἕκαστον γνωρίζειν.

(Theophrastus ibid. 50.)

14. Πρῶτον μὲν οὖν ἄτοπος ἡ ἀποτύπωσις ἡ ἐν τῷ ἀέρι· δεῖ γὰρ ἔχειν πυκνότητα καὶ μὴ θρύπτεσθαι τὸ πυκνούμενον, ὥσπερ καὶ αὐτὸς λέγει παραβάλλων, τοιαύτην εἶναι τὴν ἐντύπωσιν, οἷον εἰ ἐκμάξειας εἰς κηρόν. Ἔπειτα μᾶλλον ἐν ὕδατι τυποῦσθαι δυνατόν, ὅσῳ πυκνότερον· ἧττον δὲ ὁρᾶσθαι. Καίτοι προσῆκε μᾶλλον. Ὅλως δὲ ἀποῤῥοὴν ποιοῦντα τῆς μορφῆς, ὥσπερ ἐν τοῖς περὶ τῶν εἰδῶν, τί δεῖ τὴν ἀποτύπωσιν ποιεῖν; αὐτὰ γὰρ ἐμφαίνεται τὰ εἴδωλα.

(Theophrastus ibid. 51.)

15. Ἀλλ' ἴσως τὴν ἔμφασιν ὁ ἥλιος ποιεῖ, τὸ φῶς ὥσπερ ἐπιφέρων ἐπὶ τὴν ὄψιν, καθάπερ ἔοικε βούλεσθαι λέγειν· ἐπεὶ τό γε τὸν ἥλιον ἀπωθοῦντα ἀφ' ἑαυτοῦ καὶ ἀποπλαττόμενον πυκνοῦν τὸν ἀέρα, καθάπερ φησίν, ἄτοπον· διακρίνειν γὰρ πέφυκε μᾶλλον.

(Theophrastus ibid. 54.)

16. Τὴν δ' ἀκοὴν παραπλησίως ποιεῖ τοῖς ἄλλοις· εἰς γὰρ τὸ κενὸν ἐμπίπτοντα τὸν ἀέρα κίνησιν ἐμποιεῖν, πλὴν ὅτι κατὰ πᾶν μὲν ὁμοίως τὸ σῶμα εἰσιέναι, μάλιστα δὲ καὶ πλεῖστον διὰ τῶν ὤτων, ὅτι διὰ πλείστου τε κενοῦ διέρχεται καὶ ἥκιστα διαμίμνει· διὸ καὶ κατὰ μὲν τὸ ἄλλο σῶμα οὐκ αἰσθάνεσθαι, ταύτῃ δὲ μόνον. Ὅταν δὲ ἐντὸς γένηται, σκίδνασθαι διατάχους· τὴν γὰρ φωνὴν εἶναι θρυπτομένου τοῦ ἀέρος καὶ μετὰ βίας εἰσιόντος.

(Theophrast. ibid. 55.)

17. Ὥσπερ οὖν ἐκτὸς ποιεῖ τῇ ἁφῇ τὴν αἴσθησιν, οὕτω τῇ ἀκοῇ ἐντός. Ὀξύτατον δ' ἀκούειν, εἰ ὁ μὲν ἔξω χιτὼν εἴη πυκνός, τὰ δὲ φλέβια κενὰ καὶ ὡς μάλιστα ἄνικμα καὶ εὔτρητα κατά τε τὸ ἄλλο σῶμα καὶ τὴν κεφαλὴν καὶ τὰς ἀκοάς· ἔτι δὲ τὰ ὀστᾶ πυκνὰ καὶ ὁ ἐγκέφαλος εὔκρατος, καὶ τὸ περὶ αὐτὸν ὡς ξηρότατον· ἀθρόον γὰρ ἂν οὕτως εἰσιέναι τὴν φωνήν, ἅτε διὰ πολλοῦ κενοῦ καὶ ἀνίκμου καὶ εὐτρήτου εἰσιοῦσαν, καὶ ταχὺ σκίδνασθαι καὶ ὁμαλῶς κατὰ τὸ σῶμα, καὶ οὐδὲ ἐκπίπτειν ἔξω.

(Theophrastus ibid. 56.)

18. Τὸ μὲν οὖν σαφῶς ἀφορίζειν ὁμοίως ἔχει τοῖς ἄλλοις, ἄτοπον δὲ καὶ ἄδηλον κατὰ πᾶν τὸ σῶμα τὸν ψόφον εἰσιέναι, καὶ ὅταν εἰσέλθῃ διὰ τῆς ἀκοῆς, διαχεῖσθαι κατὰ πᾶν, ὥσπερ οὐ ταῖς ἀκοαῖς ἀλλ' ὅλῳ τῷ σώματι τὴν αἴσθησιν οὖσαν. Οὐ γάρ, εἰ καὶ συμπάσχει τι τῇ ἀκοῇ, διὰ τοῦτο καὶ αἰσθάνεται. Πάσαις γὰρ τοῦτό γε ὁμοίως ποιεῖ· καὶ οὐ μόνον ταῖς αἰσθήσεσιν, ἀλλὰ καὶ τῇ ψυχῇ. Καὶ περὶ μὲν ὄψεως καὶ ἀκοῆς οὕτως ἀποδίδωσι· τὰς δ' ἄλλας αἰσθήσεις σχεδὸν ὁμοίας ποιεῖ τοῖς πλείστοις.

(Theophrastus ibid. 57.)

---

tido, venæ denique ad oculos pertinentes rectæ humorisque expertes et similes figura imaginibus conformatis sint. Sui enim generis res maxime quidque cognoscere.

14. Ac primum quidem inepta est imaginis in aere conformatio; nam quod densatum est servare oportet hanc densitatem, neque conteri, quemadmodum ipse dicit comparatione proposita, tali modo fieri informationem, quali in cera aliquid imprimas. Deinde eo facilius simulacrum in aqua imprimi potest, quo densior est; difficilius autem cerni. At oportebat facilius. Omnino eum qui formæ effluvium statuit, ut in libro de imaginibus, quid opus est imaginis conformationem ponere? Ipsa enim simulacra illabuntur.

15. Sed fortasse illapsum sol efficit, lucem quasi oculo afferens, ut Democritus videtur dicere voluisse; quum, quod ait, solem repellentem a sese effingendo densare aerem absurdum sit; ea enim solis natura est, ut aerem potius discernat.

16. Auditum vero similiter atque cæteri (philosophi) definit: aere enim in vacuum irruente motum effici, sed (quod Democriti proprium est) aerem per totum corpus similiter penetrare, maxime autem per aures, quoniam hic per plurimum vacuum pervadat et minime permaneat; ideo in reliquis corporis partibus (sonum) non sentiri, sed solis in auribus. Ubi autem ad interna pervenerit, celeriter dimanare; esse (i. e. oriri) enim vocem aere contrito et per vim ingrediente.

17. Eodem igitur modo quo extrinsecus tactu sensum fieri statuit, ita intus auditu. Acutissime audiri, si membrana externa densa, venæ inanes et quam maxime sine humore et bene tum ad reliquum corpus tum ad caput auresque perforatæ, ossa autem firma et cerebrum bene mixtum, et quod circumdet, quam siccissimum sit. Ita enim vocem plenam intrare, per multum vacuum et humore carens et bene perforatum progressam, citoque dimanare æquabiliter per corpus serpendo, neque excidere.

18. Democritus igitur in iis quæ perspicue definit similia profert ac cæteri (philosophi), ineptum vero atque obscurum est (quod ait) per totum corpus penetrare sonum et ubi per aurem intraverit, per totum corpus diffundi, quasi tum non solæ aures, sed universum corpus sentiat. Nam si quid etiam una cum auribus afficitur, ideo tamen non et ipsum sentit. Enimvero omnibus (sensibus) hoc similiter ascribit, neque his tantum, sed etiam animæ. De visu quidem et auditu ita statuit; cæteros sensus similiter definit ac plerique.

19. Περὶ δὲ τοῦ φρονεῖν ἐπὶ τοσοῦτον εἴρηκεν, ὅτι γίνεται, συμμέτρως ἐχούσης τῆς ψυχῆς μετὰ τὴν κίνησιν· ἐὰν δὲ περίθερμός τις ἢ περίψυχρος γένηται, μεταλλάττειν φησί. Διότι καὶ τοὺς παλαιοὺς καλῶς τοῦθ' ὑπολαβεῖν, ὅτι ἐστὶν ἀλλοφρονεῖν. Ὥστε φανερόν, ὅτι τῇ κράσει τοῦ σώματος ποιεῖ τὸ φρονεῖν· ὅπερ ἴσως αὐτῷ καὶ κατὰ λόγον ἐστί, σῶμα ποιοῦντι τὴν ψυχήν.

(Theophrastus ibid. 58.)

20. Ἀλλὰ περὶ μὲν τούτων ἔοικε συνηκολουθηκέναι τοῖς ποιοῦσιν ὅλως τὸ φρονεῖν κατὰ τὴν ἀλλοίωσιν· ἥπερ ἐστὶν ἀρχαιοτάτη δόξα. Πάντες γὰρ οἱ παλαιοὶ καὶ οἱ ποιηταὶ καὶ σοφοὶ κατὰ τὴν διάθεσιν ἀποδιδόασι τὸ φρονεῖν.

(Theophrastus ibid. 72.)

21. Βαρὺ μὲν οὖν καὶ κοῦφον τῷ μεγέθει διαιρεῖ Δημόκριτος. Εἰ γὰρ διακριθείη ἓν ἕκαστον τῶν ἀμίκτων (εἰ καὶ κατὰ σχῆμα διαφέρει) σταθμοῦ ἂν ἐπὶ μεγέθει τὴν φύσιν ἔχειν· οὐ μὴν ἀλλ' ἔν γε τοῖς μικτοῖς κουφότερον ἂν εἶναι τὸ πλέον ἔχον κενόν, βαρύτερον δὲ τὸ ἔλαττον.

(Theophrastus ibid. 61.)

22. Ἐν ἐνίοις μὲν οὕτως εἴρηκεν· ἐν ἄλλοις δὲ κοῦφον εἶναί φησιν ἁπλῶς τὸ λεπτόν. Παραπλησίως δὲ καὶ περὶ σκληροῦ καὶ μαλακοῦ· σκληρὸν μὲν γὰρ εἶναι τὸ πυκνόν, μαλακὸν δὲ τὸ μανόν, καὶ τὸ μᾶλλόν τε καὶ ἧττον καὶ μάλιστα κατὰ λόγον. Διαφέρειν δ' ἔτι τὴν θέσιν καὶ τὴν ἐναπόληψιν τῶν κενῶν τοῦ σκληροῦ καὶ μαλακοῦ καὶ τοῦ βαρέος καὶ κούφου. Διὸ σκληρότερον μὲν εἶναι σίδηρον, βαρύτερον δὲ μόλυβδον· τὸν μὲν γὰρ σίδηρον ἀνωμάλως συγκεῖσθαι, καὶ τὸ κενὸν ἔχειν πολλαχῆ, καὶ κατὰ μεγάλα πεπυκνῶσθαι, καὶ κατὰ ἔνια ἁπλῶς πλέον ἔχειν κενόν· τὸν δὲ μόλυβδον ἔλαττον ἔχοντα κενὸν ὁμαλῶς συγκεῖσθαι, κατὰ πᾶν ὁμοίως μανόν· διὸ βαρύτερον μέν, μαλακώτερον δ' εἶναι τοῦ σιδήρου.

(Theophr. ibid. 62.)

23. Περὶ μὲν οὖν βαρέος καὶ κούφου καὶ σκληροῦ καὶ μαλακοῦ ἐν τούτοις ἀφορίζει· τῶν δ' ἄλλων αἰσθητῶν οὐδενὸς εἶναι φύσιν, ἀλλὰ πάντα πάθη τῆς αἰσθήσεως ἀλλοιουμένης, ἐξ ἧς γίνεσθαι τὴν φαντασίαν. Οὐδὲ γὰρ τοῦ ψυχροῦ καὶ τοῦ θερμοῦ φύσιν ὑπάρχειν, ἀλλὰ τὸ σχῆμα μεταπῖπτον ἐργάζεσθαι καὶ τὴν ἡμετέραν ἀλλοίωσιν· ὅ, τι γὰρ ἂν ἄθρουν ᾖ, τοῦτ' ἐνισχύειν ἑκάστῳ, τὸ δ' εἰς μικρὰ διανενεμημένον ἀναίσθητον εἶναι. Σημεῖον δέ, ὡς οὐκ εἰσὶ φύσει, τὸ μὴ ταὐτὰ πᾶσι φαίνεσθαι τοῖς ζώοις, ἀλλ' ὃ ἡμῖν γλυκύ, τοῦτ' ἄλλοις πικρόν, καὶ ἑτέροις ὀξύ, καὶ ἄλλοις δριμύ, τοῖς δὲ στρυφνόν· καὶ τὰ ἄλλα δὲ ὡσαύτως. Ἔτι δ' αὐτοὺς μεταβάλλειν τὴν κρίσιν κατὰ τὰ πάθη καὶ τὰς ἡλικίας· ᾗ καὶ φανερόν, ὡς ἡ διάθεσις αἰτία τῆς φαντασίας. Ἁπλῶς μὲν οὖν περὶ τῶν αἰσθητῶν οὕτως δεῖν ὑπολαμβάνειν. Οὐ μὴν ἀλλ' ὥσπερ καὶ τὰ ἄλλα, καὶ ταῦτα ἀνατίθησι τοῖς σχήμασι· πλὴν οὐχ ἁπάντων ἀποδίδωσι τὰς μορφάς, ἀλλὰ μᾶλλον τῶν χυλῶν καὶ τῶν χρωμάτων· καὶ τούτων ἀκριβέστερον διορίζει τὰ περὶ τοὺς χυλούς, ἀναφέρων τὴν φαντασίαν πρὸς ἄνθρωπον.

---

19. De sana mente ita loquitur, sapere nos, si anima post motum convenienter et apte se habeat; si quis autem admodum calidus frigidusve fiat, mentem perturbari dicit. Quare priscos præclare intellexisse, hanc esse mentis alienationem. Unde patet, Democrito sanam mentem corporis mixtione constare, id quod fortasse ipsius rationi convenit, qui animam corpus esse censeat.

20. Sed in his rebus illos videtur secutus esse, qui sanam mentem e mutatione pendere volunt, quæ vetustissima est opinio. Omnes enim prisci et poetæ et sapientes pro corporis affectione nos sapere decernunt.

21. Grave igitur et leve magnitudine distinguit Democritus. Si enim (eorum quæ non sunt mixta) unumquidque discernatur (etiamsi formâ differat), gravitatis naturam in magnitudine sitam esse (docet); sed inter mixta levius esse, quod plus vacui habeat, gravius, quod minus.

22. Ita quidem in nonnullis locis dixit; in aliis tamen leve esse simpliciter dicit tenue. Pariter quoque de duro et molli; quippe durum esse densum, molle contra rarum, et magis minusve (durum et molle) omnino pro rata parte (densum et rarum). Differre porro situm et injectum vacuorum spatiorum duri et mollis, gravis et levis. Itaque durius esse ferrum, gravius plumbum. Ferrum enim inæqualiter compositum esse, multisque in locis vacuum habere, et multis quidem in partibus densatum esse, et in nonnullis prorsus plus habere vacui. Plumbum vero, cui minus vacui insit, æqualiter compositum et per omnes partes similiter rarum esse. Ideo plumbum gravius quidem, sed tamen mollius esse ferro.

23. De gravi igitur et levi et duro et molli talia his locis definit; cæterorum vero sensilium nullius naturam, sed omnia affectiones sensus commutati, ex quo imaginatio oriatur, esse. Neque enim vere esse frigidi et calidi naturam, sed formam quo tempore ipsa transmutetur, nostram quoque mutationem efficere; scilicet quod plurimum sit, hoc in quoque valere, quod autem in exiguas particulas distributum sit, non esse sensile. At (hæc sensilia) natura sua non esse, inde patere, quod illa non eadem omnibus animalibus appareant, sed quod nobis quidem dulce, hoc aliis amarum, rursus aliis acutum, nonnullis acre, quibusdam austerum et reliqua eodem modo. Nos quoque ipsos sententiam mutare secundum affectiones vitæque ætates; unde corporis statum rei illius imaginariæ causam esse liqueat. Ita igitur prorsus de sensilibus esse existimandum. Enimvero sicut cætera, ita et hæc ad formas revocat, non tamen omnium figuras recenset, sed magis saporum et colorum, ex quibus rursus accuratius definit sapores, perceptionem imaginariam homini tribuens.

(Theophrastus ibid. 63 et 64.)

Περὶ χυλῶν.

24. Τὸ μὲν σχῆμα καθ' αὑτό ἐστι, τὸ δὲ γλυκὺ καὶ ὅλως τὸ αἰσθητὸν πρὸς ἄλλο καὶ ἐν ἄλλοις.

(Theophrast. ibid. 69.)

25. Δημόκριτος δὲ σχῆμα περιτιθεὶς ἑκάστῳ, γλυκὺν μὲν τὸν στρογγύλον καὶ εὐμεγέθη ποιεῖ· στρυφνὸν δὲ τὸν μεγαλόσχημον, τραχύν τε καὶ πολυγώνιον καὶ ἀπεριφερῆ· ὀξὺν δὲ κατὰ τοὔνομα τὸν ὀξὺν τῷ ὄγκῳ καὶ γωνιοειδῆ καὶ καμπύλον καὶ λεπτὸν καὶ ἀπεριφερῆ· δριμὺν δὲ τὸν περιφερῆ καὶ λεπτὸν καὶ γωνιοειδῆ καὶ καμπύλον· ἁλμυρὸν δὲ τὸν γωνιοειδῆ καὶ εὐμεγέθη καὶ σκολιὸν καὶ ἰσοσκελῆ· πικρὸν δὲ τὸν περιφερῆ καὶ λεῖον, ἔχοντα σκαληνίαν, μέγεθος δὲ μικρόν· λιπαρὸν δὲ τὸν λεπτὸν καὶ στρογγύλον καὶ μικρόν.

(Theophrast. de Caus. plant. VI, 6.)

26. Ἄτοπον δὲ κἀκεῖνο ὃ κατὰ τὰ σχήματα λέγουσιν, ὅτι ἡ τῶν ὁμοίων διαφορὰ ἡ κατὰ μικρότητα καὶ μέγεθος τείνει εἰς τὸ μὴ τὴν αὐτὴν ἔχειν δύναμιν· οὐ γὰρ ἐπὶ τῆς μορφῆς, ἀλλ' ἐπὶ τῶν ὄγκων ποιοῦσι τὰς δυνάμεις, ἃς εἰ μὲν κατὰ πάντα διαβασανίσαντες ἁπλῶς τὸ μᾶλλον καὶ τὸ ἧττον ἐκάλουν, καλῶς ἂν τοῦτο ἀπέδωκαν· τὸ δὲ εἰς τὸ μὴ ταὐτὸ δύνασθαι μηδὲ ποιεῖν οὐκ εὔλογον, ἐπεὶ ἐν τοῖς σχήμασιν αἱ δυνάμεις.

(Theophrast. de Caus. plant. VI, 2.)

27. Τὸν μὲν οὖν ὀξὺν εἶναι τῷ σχήματι γωνιοειδῆ τε καὶ πολυκαμπῆ καὶ μικρὸν καὶ λεπτόν· διὰ γὰρ τὴν δριμύτητα ταχὺ καὶ πάντῃ διαδύνεσθαι· τραχὺν δ' ὄντα καὶ γωνιοειδῆ συνάγειν καὶ συσπᾶν· διὸ καὶ θερμαίνειν τὸ σῶμα, κενότητας ἐμποιοῦντα· μάλιστα γὰρ θερμαίνεσθαι τὸ πλεῖστον ἔχον κενόν. Τὸν δὲ γλυκὺν ἐκ περιφερῶν συγκεῖσθαι σχημάτων οὐκ ἄγαν μικρῶν· διὸ καὶ διαχεῖν ὅλως τὸ σῶμα, καὶ οὐ βιαίως καὶ οὐ ταχὺ πάντα περαίνειν· τοὺς δ' ἄλλους χυλοὺς ταράττειν, ὅτι διαδύνων πλανᾷ τὰ ἄλλα καὶ ὑγραίνει· ὑγραινόμενα δὲ καὶ ἐκ τῆς τάξεως κινούμενα συρρεῖν εἰς τὴν κοιλίαν· ταύτην γὰρ εὐπορώτατον εἶναι διὰ τὸ πλεῖστον εἶναι κενόν.

(Theophrast. de Sensu et sensil. 65.)

28. Τὸν δὲ στρυφνὸν ἐκ μεγάλων σχημάτων καὶ πολυγωνίων καὶ περιφερὲς ἥκιστ' ἐχόντων· ταῦτα γὰρ ὅταν εἰς τὰ σώματα ἔλθῃ, ἐπιτυφλοῦν ἐμπλάττοντα τὰ φλέβια καὶ κωλύειν συρρεῖν· διὸ καὶ τὰς κοιλίας ἱστάναι. Τὸν δὲ πικρὸν ἐκ μικρῶν καὶ λείων καὶ περιφερῶν· τὴν περιφέρειαν εἰληχότα καὶ καμπὰς ἔχουσαν· διὸ καὶ γλίσχρον εἶναι καὶ κολλώδη. Τὸν δ' ἁλμυρὸν ἐκ μεγάλων καὶ οὐ περιφερῶν, ἀλλ' ἐπ' ἐνίων μὲν σκαληνῶν· διὸ οὐδὲ πολυκαμπῶν. Βούλεται δὲ σκαληνὰ λέγειν, ἅπερ παράλλαξιν ἔχει πρὸς ἄλληλα καὶ συμπλοκήν. Μεγάλων μέν, ὅτι ἡ ἁλμυρὶς ἐπιπολάζει· μικρὰ

De saporibus.

24. Figura quidem per se constat, dulcia vero omninoque sensilia non constant, nisi quatenus ad alia referuntur atque in aliis sunt.

25. Democritus suam cuique sapori figuram tribuens *dulcem* facit teretem magnisque constantem atomis; *austerum* vero figuræ magnitudine conspicuum, asperum, angulosum, non rotundum; nomine autem *acutum* molis quoque forma acutum et angularem et curvum et tenuem et rotunditate carentem; *acrem* porro rotundum et tenuem et angularem et curvum; *salsum* praeterea angularem atque e magnis atomis compositum et tortuosum et æquis cruribus insignem; *amarum* autem rotundum et lævem et inæqualem et exigua magnitudine præditum; *pinguem* denique tenuem et teretem et parvum.

26. Ineptum vero et illud est, quod figurarum habita ratione dicunt, similium discrepantiam in parvitate et magnitudine sitam ejusmodi esse, ut non eandem vim eundemque effectum habeant. Neque enim figura (solum), sed quantitate (diversum) effectum fieri statuunt, quem si omnibus consideratis simpliciter majus et minus vocarent, recte decernerent; sed (hanc similitudinem) non ad eadem efficienda valere neque eadem perficere, absurde dicunt, quum vis et effectus e figura pendeat.

27. Namque *acutum* saporem esse forma angularem, flexuosum, parvum et tenuem, et propter acritudinem celeriter et ubique perlabi; ut asperum vero et angularem, cogere et contrahere eo modo, ut corpus calefaciat, inanitates injiciendo: quod enim plurimum vacui habeat, maxime calefieri. *Dulcem* autem e rotundis figuris nec nimis parvis constare, ideoque corpus plane perfundere, neque vehementer nec celeriter omnia permeare; cæterum dulcem perturbare cæteros sapores, quoniam perlabens reliqua dispergat et madefaciat, madefacta autem et disturbata in ventrem confluere, qui maxime vacuus facillime excipere possit.

28. *Austerum* vero e magnis figuris et angulosis et minime rotundis compositum esse, quæ si in corpora veniant, venas excæcent et obstruant et impediant, quominus conjunctim (per artus) fluat (sanguis), ita ut alvum astringant. *Amarum* autem e parvis et lævibus et rotundis, tali nimirum rotunditate accepta, quæ flexus quoque habeat; ideo tenacem esse et glutinosum. *Salsum* vero e magnis nec rotundis, sed aliqua parte inæqualibus, et hanc ob rem non flexuosis. Intelligit autem inæqualia quæ variationem nexumque inter se habeant. E magnis quidem, quoniam salsilago (inde redundans, corpori) innatet; parvas enim particulas circumdantibus pulsas cum universo corpore commisceri. E non rotun-

γὰρ ὄντα, καὶ τυπτόμενα τοῖς περιέχουσι, μίγνυσθαι ἂν τῷ παντί· οὐ περιφερῶν δέ, ὅτι τὸ μὲν ἁλμυρὸν τραχύ, τὸ δὲ περιφερὲς λεῖον· σκαληνῶν δὲ διὰ τὸ μὴ περιπλάττεσθαι· διὸ ψαφαρὸν εἶναι.

(Theophrastus ibid. 66.)

29. Τὸν δὲ δριμὺν μικρὸν καὶ περιφερῆ καὶ γωνιοειδῆ, σκαληνὸν δὲ οὐκ ἔχειν· τὸν μὲν γὰρ δριμὺν πολυγώνιον ποιεῖν τῇ τραχύτητι, θερμαίνειν καὶ διαχεῖν διὰ τὸ μικρὸν εἶναι καὶ περιφερῆ καὶ γωνιοειδῆ· καὶ γὰρ τὸ γωνιοειδὲς εἶναι τοιοῦτον. Ὡσαύτως δὲ καὶ τὰς ἄλλας ἑκάστου δυνάμεις ἀποδίδωσιν, ἀνάγων εἰς τὰ σχήματα· ἁπάντων δὲ τῶν σχημάτων οὐδὲν ἀκέραιον εἶναι καὶ ἀμιγὲς τοῖς ἄλλοις, ἀλλ' ἐν ἑκάστῳ (χυλῷ) πολλὰ εἶναι καὶ τὸν αὐτὸν ἔχειν λείου καὶ τραχέος καὶ περιφεροῦς καὶ ὀξέος καὶ τῶν λοιπῶν· ὃ δ' ἂν ἐνῇ πλεῖστον, τοῦτο μάλιστα ἐνισχύειν πρός τε τὴν αἴσθησιν καὶ τὴν δύναμιν. Ἔτι δὲ εἰς ὁποίαν ἕξιν ἂν εἰσέλθῃ, διαφέρειν οὐκ ὀλίγον· καὶ διὰ τοῦτο τὸ αὐτὸ τἀναντία, καὶ τἀναντία τὸ αὐτὸ πάθος ποιεῖν ἐνίοτε.

(Theophrastus ibid. 67.)

Περὶ χρωμάτων.

30. Δημόκριτος φύσιν μὲν μηδὲν εἶναι χρῶμα, τὰ μὲν γὰρ στοιχεῖα ἄποια, τά τε μεστὰ καὶ τὸ κενόν· τὰ δ' ἐξ αὐτῶν συγκρίματα κεχρῶσθαι διαταγῇ τε καὶ ῥυθμῷ καὶ προτροπῇ, ὧν ἡ μέν ἐστι τάξις, ἡ δὲ σχῆμα, ἡ δὲ θέσις· παρὰ ταῦτα γὰρ αἱ φαντασίαι. Τούτων δὲ τῶν πρὸς τὴν φαντασίαν χρωμάτων τέτταρες αἱ διαφοραί, λευκοῦ, μέλανος, ἐρυθροῦ, χλωροῦ.

(Stobæus Eclog. phys. lib. I cap. 17 pag. 364 seqq. ed. Heer.)

31. Διὸ μᾶλλον εὔλογον, σώματα εἶναι ἀδιαίρετα—— ὅπερ ποιεῖ Δημόκριτος· διὸ καὶ χροιὴν οὔ φησιν εἶναι, τροπῇ γὰρ χρωματίζεσθαι.

(Aristoteles de Gener. et corr. I, 2.)

32. Τῶν δὲ χρωμάτων ἁπλᾶ μὲν λέγει τέτταρα· λευκὸν μὲν οὖν εἶναι τὸ λεῖον· ὃ γὰρ ἂν μὴ τραχύ, μηδ' ἐπισκιάζῃ μηδὲ δυσδίοδόν τι, τοιοῦτον πᾶν λαμπρὸν εἶναι. Δεῖ δὲ καὶ εὐθύτρυπα καὶ διαυγῆ τὰ λαμπρὰ εἶναι. Τὰ μὲν οὖν σκληρὰ τῶν λευκῶν ἐκ τοιούτων σχημάτων συγκεῖσθαι, οἷον ἡ ἐντὸς πλὰξ τῶν κογχυλίων· ταῦτα γὰρ ἂν ἄσκια καὶ εὐαγῆ καὶ εὐθύπορα εἶναι· τὰ δὲ ψαθυρὰ καὶ εὔθρυπτα ἐκ περιφερῶν μὲν λοξῶν δὲ τῇ θέσει πρὸς ἄλληλα, καὶ τὰς δύο συζεύξεις, τήν θ' ὅλην τάξιν ἔχειν ὅτι μάλιστα ὁμοίαν. Τοιούτων δ' ὄντων, ψαθυρὰ μὲν εἶναι, διότι κατὰ μικρὸν ἡ σύναψις· εὔθρυπτα δέ, ὅτι ὁμοίως κεῖνται· ἄσκια δέ, διότι λεῖα καὶ πλατέα· λευκότερα δὲ τῷ τὰ σχήματα τὰ εἰρημένα καὶ ἀκριβέστερα καὶ ἀμιγέστερα εἶναι, καὶ τὴν τάξιν καὶ τὴν θέσιν πρὸς ἄλληλα ἔχειν μᾶλλον τὴν εἰρημένην.

(Theophrastus de Sensu et sensil. § 73.)

33. Τὸ μὲν οὖν λευκὸν ἐκ τοιούτων εἶναι σχημάτων. Τὸ δὲ μέλαν ἐκ τῶν ἐναντίων, ἐκ τραχέων καὶ σκαληνῶν καὶ ἀνομοίων· οὕτω γὰρ ἂν σκιάζειν καὶ οὐκ εὐθεῖς εἶναι τοὺς πόρους οὐδ' εὐδιόδους. Ἔτι

---

dis vero, quia salsum asperum, rotundum autem glabrum sit. Ex inæqualibus denique, quod (aliis saporibus) non obruatur ideoque durus sit.

29. Postremo *acrem* saporem parvum et rotundum et angularem, sed non inæqualem : acrem enim asperitate sua angulosum quid efficere, calefacere et perfundere, quoniam parvus et rotundus et angularis sit omneque angulare ita se habeat. Pari autem modo reliquas cujusque vires exponit, ad figuras referens; verum omnium figurarum nullam esse sinceram atque a cæterarum admixtione liberam, sed in unoquoque (sapore) multas esse, eundemque habere (figuram) glabri et asperi et rotundi et acuti et reliquorum, quæ autem maxima insit, hanc maxime ad sensum efficiendum vimque ostendendam valere. Præterea in quem (corporis) habitum incidat sapor, multum interesse, ideoque fieri, ut eadem (corporis nostri) affectio contraria, et contraria eandem affectionem nonnunquam exhibeant.

De coloribus.

30. Democritus nihil per se colorem esse dixit, nam elementa quidem, plenum et inane, nullam qualitatem habere, quæ autem ex his componantur, ordinatione, forma et collocatione, id est ordine, figura et situ colorari; inde enim fieri perceptiones (visa). Colorum autem visu perceptorum quattuor esse genera inter se diversa : album, nigrum, rubrum, viridem colorem.

31. Quapropter magis consentaneum fuerit, corpora esse individua—quod Democritus statuit; quocirca et colorem non dicit esse, collocatione enim colorari.

32. Colorum quattuor genera simplicia esse dicit; atque album quidem esse læve : quod enim neque asperum sit, neque obumbret, neque difficulter sit pervium, id omne candidum esse. Candida vero et recte perforata et translucida esse oportere. Alborum igitur dura e talibus constare figuris, qualis sit concharum crusta interna; hæc enim esse vacua umbræ et pellucida et recte perforata; friabilia autem et fragilia e rotundis quidem, sed situ, quem habeant inter se, obliquis (composita esse), ac duas conjunctiones totumque ordinem quam simillimum habere. Itaque friabilia esse, quia brevi intervallo sese tangant, fragilia autem, quia similem habeant situm, porro umbræ vacua, quia lævia sint et lata, albiora denique, quando figuræ supra memoratæ et accuratiores et minus mixtæ sint, ordinemque et situm, de quo locuti sumus, magis invicem habeant.

33. Album igitur colorem e talibus constare figuris. Nigrum vero e contrariis, ex asperis et inæqualibus et dissimilibus : ita enim illum obumbrare, neque recta esse ejus foramina nec facilia transitu. Effluvia etiam lenta et

δὲ τὰς ἀποῤῥοὰς νωθεῖς καὶ ταραχώδεις· διαφέρειν γάρ τι καὶ τὴν ἀποῤῥοήν, τῷ ποιὰν εἶναι πρὸς τὴν φαντασίαν, ἣν γίνεσθαι διὰ τὴν ἐναπόληψιν τοῦ ἀέρος ἀλλοίαν.

(Theophrastus ibid. 74.)

34. Πρῶτον μὲν οὖν τὸ πλείους ἀποδοῦναι τὰς ἀρχάς, ἔχει τινὰ ἀπορίαν· οἱ γὰρ ἄλλοι τὸ λευκὸν καὶ τὸ μέλαν, ὡς τούτων ἁπλῶν ὄντων μόνων. Ἔπειτα τὸ μὴ πᾶσι τοῖς λευκοῖς μίαν ποιῆσαι τὴν μορφήν, ἀλλ' ἑτέραν τοῖς σκληροῖς καὶ τοῖς ψαθυροῖς· οὐ γὰρ εἰκὸς ἄλλην αἰτίαν εἶναι τοῖς διαφόροις κατὰ τὴν ἀφήν· οὐδ' ἂν ἔτι τὸ σχῆμα αἴτιον εἶναι τῆς διαφορᾶς, ἀλλὰ μᾶλλον τὴν θέσιν. Ἐνδέχεται γὰρ καὶ τὰ περιφερῆ καὶ ἁπλῶς πάντα ἐπισκιάζειν ἑαυτοῖς· σημεῖον δέ· καὶ γὰρ αὐτὸς ταύτην φέρει τὴν πίστιν, ὅσα τῶν λείων μέλανα φαίνεται. Διὰ γὰρ τὴν σύμφυσιν καὶ τὴν τάξιν, ὡς τὴν αὐτὴν ἔχοντα τῷ μέλανι, φαίνεσθαι τοιαῦτα· καὶ πάλιν ὅσα λευκὰ τῶν τραχέων· ἐκ μεγάλων γὰρ εἶναι ταῦτα, καὶ τὰς συνδέσεις οὐ περιφερεῖς, ἀλλὰ προκρόσσας καὶ τῶν σχημάτων τὰς μορφὰς μιγνυμένας, ὥσπερ ἀναβαθμίδας τὰ πρὸ τῶν τειχῶν ἔχει χώματα· τοιοῦτον γὰρ ὄν, ἄσκιον εἶναι, καὶ οὐ κωλύεσθαι τὸ λαμπρόν.

(Theophrastus ibid. 79.)

35. Ἐρυθρὸν δ' ἐξ οἵωνπερ τὸ θερμόν, πλὴν ἐκ μειζόνων. Ἐὰν γὰρ αἱ συγκρίσεις ὦσι μείζους ὁμοίων ὄντων τῶν σχημάτων, μᾶλλον ἐρυθρὸν εἶναι. Σημεῖον δ', ὅτι ἐκ τοιούτων τὸ ἐρυθρόν· ἡμᾶς τε γὰρ θερμαινομένους ἐρυθραίνεσθαι, καὶ τὰ ἄλλα τὰ πυρούμενα, μέχρις ἂν οὗ ἔχῃ τὸ τοῦ πυροειδοῦς. Ἐρυθρότερα δὲ τὰ ἐκ μεγάλων ὄντα σχημάτων, οἷον τὴν φλόγα καὶ τὸν ἄνθρακα τῶν χλωρῶν ξύλων ἢ τῶν αὔων, καὶ τὸν σίδηρον δὲ καὶ τὰ ἄλλα τὰ πυρούμενα· λαμπρότατα μὲν γὰρ εἶναι τὰ πλεῖστον ἔχοντα καὶ λεπτότατον πῦρ, ἐρυθρότερα δὲ τὰ παχύτερον καὶ ἔλαττον. Διὸ καὶ ἧττον εἶναι θερμὰ τὰ ἐρυθρότερα· θερμὸν γὰρ τὸ λεπτόν. Τὸ δὲ χλωρὸν ἐκ μὲν τοῦ στερεοῦ καὶ τοῦ κενοῦ συνεστάναι, ἐκ μεγάλων δ' ἀμφοῖν. Τῇ δὲ θέσει καὶ τῇ τάξει αὐτῶν τὴν χρόαν γίγνεσθαι.

(Theophrast. ibid. 75.)

36. Ἄτοπον δὲ καὶ τὸ τῶν χλωρῶν μὴ ἀποδοῦναι μορφήν, ἀλλὰ μόνον ἐκ τοῦ στερεοῦ καὶ τοῦ κενοῦ ποιεῖν.

(Theophrastus ibid. 82.)

37. Τὰ μὲν οὖν ἁπλᾶ χρώματα τούτοις κεχρῆσθαι τοῖς σχήμασιν· ἕκαστον δὲ καθαρώτερον, ὅσῳ ἂν ἐξ ἀμιγεστέρων ᾖ. Τὰ δὲ ἄλλα κατὰ τὴν τούτων μῖξιν· οἷον τὸ μὲν χρυσοειδὲς καὶ τὸ τοῦ χαλκοῦ καὶ πᾶν τὸ τοιοῦτον ἐκ τοῦ λευκοῦ καὶ τοῦ ἐρυθροῦ· τὸ μὲν γὰρ λαμπρὸν ἔχειν ἐκ τοῦ λευκοῦ, τὸ δὲ ὑπέρυθρον ἀπὸ τοῦ ἐρυθροῦ· πίπτειν γὰρ εἰς τὰ κενὰ τοῦ λευκοῦ τῇ μίξει τὸ ἐρυθρόν. Ἐὰν δὲ προστεθῇ τούτοις τὸ χλωρόν, γίγνεσθαι τὸ κάλλιστον χρῶμα· δεῖν δὲ μικρὰς τοῦ χλωροῦ τὰς συγ-

---

turbida; differre enim aliquatenus et effluvia eo modo quo natura sua ad perceptionem referantur, quæ aeris injectu commutetur.

34. Ac primum quidem quod plura principia enumerantur, id dubitationem quandam habet; reliqui enim album et nigrum solos esse simplices colores volunt. Deinde quod non omnibus albis eadem forma tribuitur, sed alia duris, alia friabilibus; neque enim consentaneum, iis quæ (colore) differant, aliam esse differentiæ causam e tactu profectam, neque figuram esse hujus differentiæ causam, sed magis situm. Quippe et rotunda omninoque omnia se ipsa obumbrare possunt : cui rei indicio sunt, quæ ipse Democritus ad fidem faciendam affert, quæcunque inter lævia nigra videntur. Ob concretionem enim et ordinem eundem, quem nigra habeant, (ait) talia apparere; et præterea quæcunque inter aspera videntur alba : hæc enim e magnis constare, eorumque nexus non rotundos esse, sed prominentes, figurarumque conformationem mixtione fieri, quemadmodum aggesta ante muros terra gradus contineat; propter hanc naturam colorem umbræ vacuum esse, neque impediri candidum.

35. Rubrum autem ex iisdem quidem compositum esse, e quibus calidum, sed tamen e majoribus. Quanto enim in figurarum æqualitate majores sint particulæ, e quibus concreverunt, tanto rubriorem esse colorem. Signo autem esse, e talibus rubrum quoque constare, quod calefacti rubeamus, itemque reliqua omnia igni calentia, quamdiu igneam speciem præ se ferant. Quæ vero rubriora sint, e magnis coaluisse figuris, ut flammam et carbonem lignorum viridium vel aridorum et ferrum et cætera quæ in igne ponantur : candidissima enim esse, quæ plurimum ignem et tenuissimum habeant, rubriora vero quæ crassiorem et minorem. Ideo fieri, ut rubriora minus calida sint; calidum enim tenue. Viridem denique colorem e solido quidem et vacuo, utroque autem magno conflari. Cæterum situ et ordine eorum ipsum colorem nasci.

36. Inepte etiam agit, quod viridis coloris formam non exponit, sed tantum e solido et vacuo eum componi dicit.

37. Simplices igitur colores his esse figuris, sed ut quisque e minime mixtis conflatus sit, ita esse purissimum. Reliquos pro (varia) horum mixtione oriri, ut auro similem et æris colorem cæterosque hujusmodi ex albo et rubro : eos enim candidum retinere ex albo, subrubrum ex rubro, quum in partes albi vacuas rubrum mixtione incidat. Quibus si viride admisceatur, pulcherrimum nasci colorem : oportere autem exiguas viridis particulas

κρίσεις εἶναι· μεγάλας γὰρ οὐχ οἷόν τε, συγκειμένων οὕτω τοῦ λευκοῦ καὶ τοῦ ἐρυθροῦ. Διαφόρους δ' ἔσεσθαι τὰς χρόας, τῷ πλέον καὶ ἔλαττον λαμβάνειν.

(Theophrastus ibid. 76.)

38. Τὸ δὲ πορφυροῦν ἐκ λευκοῦ καὶ μέλανος καὶ ἐρυθροῦ· πλείστην μὲν μοῖραν ἔχοντος τοῦ ἐρυθροῦ, μικρὰν δὲ τοῦ μέλανος, μέσην δὲ τοῦ λευκοῦ. Διὸ καὶ ἡδὺ φαίνεσθαι πρὸς τὴν αἴσθησιν. Ὅτι μὲν οὖν τὸ μέλαν καὶ τὸ ἐρυθρὸν αὐτῷ ἐνυπάρχει, φανερὸν εἶναι τῇ ὄψει· διότι δὲ τὸ λευκόν, τὸ λαμπρὸν καὶ διαυγὲς σημαίνειν· ταῦτα γὰρ ποιεῖν τὸ λευκόν. Τὴν δ' ἰσάτιν ἐκ μέλανος σφόδρα καὶ χλωροῦ· πλείω δὲ μοῖραν ἔχειν τοῦ μέλανος. Τὸ δὲ πράσινον ἐκ πορφυροῦ καὶ τῆς ἰσάτιδος, ἢ ἐκ χλωροῦ καὶ πορφυροειδοῦς**** τὸ γὰρ θεῖον εἶναι τοιοῦτον καὶ μετέχειν τοῦ λαμπροῦ. Τὸ δὲ κυανοῦν ἐξ ἰσάτιδος καὶ πυρώδους, σχημάτων δὲ περιφερῶν καὶ βελονοειδῶν, ὅπως τὸ στιλβὸν τῷ μέλανι ἐνῇ.

(Theophrastus ibid. 77.)

39. Τὸ δὲ καρύϊνον ἐκ χλωροῦ καὶ κυανοειδοῦς· ἐὰν δὲ χλωρὸν πλέον μιχθῇ, φλογοειδὲς γίγνεσθαι· τὸ γὰρ κατάσκιον καὶ μελανόχρων ἐξείργεσθαι. Σχεδὸν δὲ καὶ τὸ ἐρυθρὸν τῷ λευκῷ μιχθὲν χλωρὸν ποιεῖν εὐαγὲς καὶ οὐ μέλαν· διὸ καὶ τὰ φυόμενα χλωρὰ τὸ πρῶτον εἶναι πρὸ τοῦ θερμανθῆναι καὶ διαχεῖσθαι. Καὶ πλήθει μὲν τοσοῦτον ἐπιμεμίχθαι χρωμάτων, ἄπειρα δὲ εἶναι τὰ χρώματα καὶ τοὺς χυλοὺς κατὰ τὰς μίξεις, ἐάν τις τὰ μὲν ἀφαιρῇ, τὰ δὲ προστιθῇ, καὶ τῶν μὲν ἔλαττον μίσγῃ, τῶν δὲ πλέον· οὐθὲν γὰρ ὅμοιον ἔσεσθαι θάτερον θατέρῳ.

(Theophrastus ibid. 78.)

Περὶ ὀσμῆς.

40. Περὶ δὲ ὀσμῆς προσαφορίζει [σχεδὸν ὁμοίως τοῖς πλείστοις· οὐδὲν γὰρ ἴδιον] εἴρηκέ γε, πλὴν τοσοῦτον, ὅτι τὸ λεπτὸν ἀποῤῥέον ἀπὸ τῶν παχέων ποιεῖ τὴν ὀδμήν· ποῖον δέ τι τὴν φύσιν ὂν ὑπὸ τίνος πάσχει, οὐκέτι προσέθηκεν· ὅπερ ἴσως ἦν κυριώτατον.

(Theophrastus ibid. 82.)

41. Οὐδὲν χρῆμα μάτην γίνεται, ἀλλὰ πάντα ἐκ λόγου τε καὶ ὑπ' ἀνάγκης.

(Stob. Ecl. phys. p. 160.)

---

esse, quæ adjungantur; neque enim fieri posse, ut magnæ accedant conjunctis ita rubro et albo. Quippe diversos fore colores majoribus minoribusve partibus adjectis.

38. Purpureum ex albo et nigro et rubro compositum esse, maximam partem rubro obtinente, exiguam nigro, mediam albo. Quare evenire, ut sensui jucundus sit color. Nigrum quidem et rubrum eo contineri videntibus esse perspicuum, album vero inesse, splendido et translucido significari, quippe quæ albo efficiantur. Glasti colorem ex multo nigro et viridi constare, ita tamen, ut major in eo nigri pars sit. Porraceum e purpureo et glasti colore, vel e viridi et purpureo; **** sulphur enim talis coloris et candidi particeps esse. Cæruleum autem e glasti et ignis colore, figuris rotundis et acui similibus eadem ratione, qua (fiat, ut) lucidum nigro insit.

39. Nucibus similem colorem e viridi et cæruleo; sin autem plus viridis admisceatur, flammeum nasci, quum opacum et nigrum removeatur. Rubrum vero cum albo mixtum fere viride efficere purum nec nigrum; itaque fructus primum virides esse, antequam calefiant et maturescant. Tantam quidem colorum copiam commisceri atque innumerabiles esse colores et sapores pro varia mixtione, si quis hæc adimat, illa apponat, et horum minus admisceat, illorum plus: nullum enim alteri similem fore.

De odore.

40. De odore præterea statuit (fere similiter ac plerique; nihil enim peculiare) pronuntiavit, nisi hoc, effici odorem tenuiore materia e crassioribus effluente, sed quale suapte natura sit et a quo afficiatur, non amplius addidit: id quod fortasse summi erat momenti.

41. Nihil temere fit, sed omnia ratione et necessitate contingunt.

Γ. ΕΚ ΤΟΥ ΠΕΡΙ ΖΩΩΝ ΣΥΓΓΡΑΜΜΑΤΟΣ.

FRAGMENTA LIBRORUM DE ANIMALIBUS.

1. Λέγει Δημόκριτος τῶν ζώων μόνον τὸν λέοντα ἐκπεπταμένοις τίκτεσθαι τοῖς ὀφθαλμοῖς, ἤδη τρόπον τινὰ τεθυμωμένον, καὶ ἐξ ὠδίνων δρασείοντά τι μανικόν.

(Ælian. de animal. nat. lib. V cap. 39.)

2. Λέγει δ' Ἀριστοτέλης, καὶ Δημόκριτος πρὸ ἐκείνου, Θεόφραστός τε ἐκ τρίτων καὶ αὐτός φησι, μὴ τῷ ἁλμυρῷ ὕδατι τρέφεσθαι τοὺς ἰχθῦς, ἀλλὰ τῷ παρακειμένῳ τῇ θαλάττῃ γλυκεῖ ὕδατι.

(Ælian. de animal. nat. lib. IX cap. 64.)

3. Λέγει Δημόκριτος πολύγονον εἶναι ὗν καὶ κύνα, καὶ τὴν αἰτίαν προστίθησι λέγων, ὅτι πολλὰς ἔχει τὰς μήτρας καὶ τοὺς τόπους τοὺς δεκτικοὺς τοῦ σπέρματος. Ὁ τοίνυν θορὸς οὐκ ἐκ μιᾶς ὁρμῆς ἁπάσας αὐτὰς ἐκπληροῖ, ἀλλὰ δίς τε καὶ τρὶς ταῦτα τὰ ζῶα ἐπιθόρνυται, ἵνα ἡ συνέχεια πληρώσῃ τὰ τοῦ γόνου δεκτικά. Ἡμιόνους δὲ λέγει μὴ τίκτειν, μὴ γὰρ ἔχειν ὁμοίας μήτρας τοῖς ἄλλοις ζώοις, ἑτερομόρφους δὲ ἥκιστα δυναμένας γονὴν δέξασθαι· μὴ γὰρ εἶναι φύσεως ποίημα τὴν ἡμίονον, ἀλλὰ ἐπινοίας ἀνθρωπίνης καὶ τόλμης, ὡς ἂν εἴποις, μοιχίδιον ἐπιτέχνημα τοῦτο καὶ κλέμμα. Δοκεῖ δέ μοι τοῦτο, ἦ δ' ὅς, τοῦ ὄνου ἵππον βιασαμένου κατὰ τύχην κυῆσαι, μαθητὰς δὲ ἀνθρώπους τῆς βίας ταύτης γεγενημένους εἶτα μέντοι προσελθεῖν ἐπὶ τὴν τῆς γονῆς αὐτῶν συνήθειαν. Καὶ μάλιστά γε τοὺς τῶν Λιβύων ὄνους μεγίστους ὄντας ἐπιβαίνειν ταῖς ἵπποις, οὐ κομώσαις, ἀλλὰ κεκαρμέναις. Ἔχουσαν γὰρ τὴν ἑαυτῆς ἀγλαΐαν τὴν διὰ τῆς κόμης οὐκ ἂν ὑπομεῖναι τὸν τοιόνδε γαμετὸν οἱ σοφοὶ τοὺς τούτων γάμους φασίν.

(Ælian. de animal. nat. lib. XII cap. 16.)

4. Ἐν τοῖς νοτίοις μᾶλλον τὰ ἔμβρυα ἐκπίπτειν Δημόκριτος λέγει, ἢ ἐν τοῖς βορείοις. Καὶ εἰκότως· χαυνοῦσθαι γὰρ ὑπὸ τοῦ νότου τὰ σώματα ταῖς κυούσαις καὶ διίστασθαι, ἅτε τοίνυν τοῦ σκήνους διακεχυμένου καὶ οὐχ ἡρμοσμένου πλανᾶσθαι καὶ τὰ κυούμενα, καὶ θερμαινόμενα δεῦρο καὶ ἐκεῖσε διολισθαίνειν καὶ ἐκπίπτειν ῥᾷον. Εἰ δὲ εἴη πάγος καὶ βορρᾶς καταπνέοι, συμπέπηγε μὲν τὸ ἔμβρυον, δυσκίνητον δέ ἐστι καὶ οὐ ταράττεται ὡς ὑπὸ κλύδωνος· ἅτε καὶ ἄκλυστον καὶ ἐν γαλήνῃ ὂν ἔρρωταί τε καὶ σύντονον καὶ διαρκὲς πρὸς τὸν κατὰ φύσιν χρόνον τῆς ζωογονίας. Οὐκοῦν ἐν κρυμῷ μέν φησιν ὁ Ἀβδηρίτης συμμένειν, ἐν ἀλέᾳ δὲ ὡς τὰ πολλὰ ἐκπτύεσθαι. Ἀνάγκην δὲ εἶναι λέγει τῆς θέρμης πλεοναζούσης διίστασθαι καὶ τὰς φλέβας καὶ τὰ ἄρθρα.

(Ælian. de animal. nat. lib. XII cap. 17, de abortibus.)

5. Αἰτίαν δὲ ὁ αὐτὸς λέγει τοῖς ἐλάφοις τῆς τῶν κεράτων ἀναφύσεως ἐκείνην εἶναι. Ἡ γαστὴρ αὐτοῖς ὡς ἔστι θερμοτάτη, ὁμολογεῖ, καὶ τὰς φλέβας δὲ αὐτῶν τὰς διὰ τοῦ σώματος πεφυκυίας παντὸς ἀραιοτάτας λέγει, καὶ τὸ ὀστέον τὸ κατειληφὸς τὸν ἐγκέφαλον λε-

---

1. Ex animalibus solum leonem nasci oculis apertis Democritus ait, tanquam statim a partu iracundum et furore percitum aliquid meditantem.

2. Aristoteles et ante hunc Democritus et tertius Theophrastus dicit non aqua salsa, sed dulci, quæ juxta salsam reperiatur, pisces (qui mare incolunt) ali.

3. Cur sus et canis sint tam fecundæ, Democritus causam affert, quod multiplicem vulvam et seminis sedes receptrices multas habeant. Eas omnes semen non uno initu explet, sed iterum et sæpius eæ seminantur, ut frequentia seminis receptacula impleantur. Mulas idem non parere ait, neque enim similes aliis vulvas animalibus habere, sed forma diversas minime concipere posse; neque enim mulas esse naturæ opus, sed humanæ machinationis audaciæque, ut ita dicam, adulterinum inventum et furtum. Videri autem sibi ait forte accidisse, ut quum asinus vim equæ intulisset, hæc gravida redderetur atque ut postea homines hujus violentiæ discipuli facti in consuetudinem procreandi hæc jumenta adducerentur. Imprimis Libyum asini maximi equas non comatas superveniunt, sed tonsas. Neque enim has comæ ornamento superbientes harum rerum periti ajunt ejusmodi maritos pati.

4. In austrinis magis quam septentrionalibus regionibus partus excidere ait Democritus. Cujus rei hanc probabilem affert causam, qnia ventrem ferentibus corpora austro laxentur et resolvantur: idcirco corpore dilatato et male compacto partus errare et vagari, eosdemque calefactos huc et illuc dilabi et facilius excidere. Contra si flante borea aeris temperies frigida sit, fœtus frigore contrahi, ita ut non facile locis suis moveantur neque ulla tempestate turbentur, quoniam omnis procellæ expertes summaque fruentes tranquillitate bene valeant et roborati ad pariendi tempus a natura constitutum durare possint. Quamobrem in frigore ait Abderita fœtus manere, calore utplurimum excidere. Hoc enim superante necessario fieri dicit, ut venæ pariter atque artus fatiscant.

5. Causam cur cervis cornua renascantur idem Democritus hanc esse perhibet. Ventrem iis calidissimum esse concedit et eorum venas per universum corpus pertinentes esse rarissimas dicit, et os quod cerebrum amplectitur membranæ instar tenuissimum et perquam rarum esse,

πτότατον εἶναι καὶ ὑμενῶδες καὶ ἀραιόν, φλέβας τε ἐντεῦθεν καὶ εἰς ἄκραν τὴν κεφαλὴν ὑπανίσχειν παχυτάτας· τὴν γοῦν τροφὴν καὶ ταύτης τε τὸ γονιμώτατον ὤκιστα ἀναδίδοσθαι. Καὶ ἡ μὲν πιμελὴ αὐτοῖς ἔξωθεν, φησί, περιχεῖται, ἡ δὲ ἰσχὺς τῆς τροφῆς ἐς τὴν κεφαλὴν διὰ τῶν φλεβῶν ἀναθόρνυται· ἔνθεν οὖν τὰ κέρατα ἐκφύεσθαι διὰ πολλῆς ἐπαρδόμενα τῆς ἰκμάδος. Συνεχὴς οὖν οὖσα ἐπιῤῥέουσά τε ἐξωθεῖται προτέρω. Καὶ τὸ μὲν ὑπερίσχον ὑγρὸν ἔξω τοῦ σώματος σκληρὸν γίνεται, πηγνύντος αὐτὸ καὶ κερατοῦντος τοῦ ἀέρος· τὸ δὲ ἔνδον ἔτι μεμυκὸς ἁπαλόν ἐστι. Καὶ τὸ μὲν σκληρύνεται ὑπὸ τῆς ἔξωθεν ψύξεως, τὸ δὲ ἁπαλὸν μένει, ὑπὸ τῆς ἔνδον ἀλέας. Οὐκοῦν ἡ ἐπίφυσις τοῦ νέου κέρατος τὸ πρεσβύτερον ὡς ἀλλότριον ἐξωθεῖ, θλίβοντος τοῦ ἔνδον καὶ ἀνωθεῖν τοῦτο θέλοντος, καὶ ὀδυνῶντος, καὶ σφύζοντος, ὥσπερ ἐπειγομένου τεχθῆναι καὶ προελθεῖν. Ἡ γάρ τοι ἰκμὰς πηγνυμένη καὶ ὑπανατέλλουσα ἀτρεμεῖν ἀδύνατός ἐστι· δύναται γὰρ αὐτὴ σκληρὰ γενομένη καὶ ἐπωθεῖται τοῖς προτέροις. Καὶ τὰ μὲν πλείω ἐκθλίβονται ὑπὸ τῆς ἰσχύος τῆς ἔνδον· ἤδη δέ τινα καὶ κλάδοις περισχεθέντα καὶ ἐμποδίζοντα εἰς τὸν ὠκὺν δρόμον ὑπὸ ῥώμης τὸ θηρίον ὠθούμενον ἀπέῤῥηξε. Καὶ τὰ μὲν ἐξώλισθε, τὰ δὲ ἕτοιμα ἐκκύπτειν ἡ φύσις προάγει.

(Ælian. de animal. natur. lib. XII cap. 18.)

6. Τοῖς τομίαις βουσί, Δημόκριτος λέγει, σκολιά, λεπτὰ καὶ μακρὰ φύεται τὰ κέρατα· τοῖς δὲ ἐνόρχοις παχέα τὰ πρὸς τῇ ῥίζῃ, καὶ ὀρθὰ καὶ πρὸς μῆκος προήκοντα ἧττον. Καὶ πλατυμετώπους εἶναι λέγει τούτους τῶν ἑτέρων πολλῷ μᾶλλον. Τῶν γὰρ φλεβῶν πολλῶν ἐνταῦθα οὐσῶν, εὐρύνεσθαι τὰ ὀστέα ὑπ' αὐτῶν. Καὶ ἡ ἔκφυσις δὲ τῶν κεράτων παχυτέρα οὖσα εἰς πλάτος τὸ αὐτὸ τῷ ζώῳ μέρος προάγει καὶ ἐκεῖνο· οἱ δὲ τομίαι μικρὸν ἔχοντες τὸν κύκλον τῆς ἕδρας τῆς τῶν κεράτων, πλατύνονται ἧττον, φησί.

(Ælian. de animal. nat. lib. XII cap. 19.)

7. Οἱ δὲ ἄκερῳ ταῦροι τὸ τρηματῶδες (οὕτω δὲ ὀνομάζει Δημόκριτος) ἐπὶ τοῦ βρέγματος οὐκ ἔχοντες (εἴη δ' ἂν τὸ σηραγγῶδες λέγων) ἀντιτύπου τοῦ παντὸς ὄντος ὀστέου καὶ τὰς συῤῥοίας τῶν χυμῶν οὐ δεχομένου, γυμνοί τε καὶ ἄμοιροι γίνονται τῶνδε τῶν ἀμυντηρίων. Καὶ αἱ φλέβες δὲ αἱ κατὰ τοῦ ὀστέου τοῦδε ἀτροφώτεραι οὖσαι, λεπτότεραί τε καὶ ἀσθενέστεραι γίνονται. Ἀνάγκη δὲ καὶ ξηρότερον τὸν αὐχένα τῶν ἀκεράτων εἶναι· λεπτότεραι γὰρ καὶ αἱ τούτου φλέβες, ταύτῃ τοι καὶ ἐῤῥωμέναι ἧττον. Ὅσαι δὲ Ἀράβιαι βόες θήλειαι μέν εἰσι τὸ γένος, ἐκφυεῖς δὲ ἐς τὰ κέρατα, καὶ ταύταις τις ἐπισύῤῥοια πολλὴ τῶν χυμῶν, φησί, τροφὴ τῆς εὐγενοῦς βλάστης τοῖς κέρασίν ἐστιν. Ἄκερῳ δὲ καὶ αὗται οὖσαι τὸ δεκτικὸν τῆς ἰκμάδος ὀστέον στερεώτερόν τε ἔχουσι καὶ δέχεσθαι τοὺς χυμοὺς ἥκιστον. Καὶ συνελόντι εἰπεῖν, αὔξης ἡ ἐπιῤῥοὴ αἰτία τοῖς κέρασι· ταύτην δὲ ἄρα ἐποχετεύουσι φλέβες πλεῖσταί τε καὶ παχύταται καὶ ὑγρὸν κύουσαι, ὅσον καὶ δύνανται στέγειν.

(Ælian. de animal. nat. lib. XII c. 20.)

---

indeque ad capitis verticem crassissimas venas exoriri : ideoque nutrimentum et cibi partem validiorem nativo calore celeriter digeri. Ac pinguedo quidem, quæ in cibis est, extrinsecus, inquit, ipsis circumfunditur, quod solidius in iis est, per venas in caput surgit ; inde cornua ait multo humore irrigata enasci. Hic humor quum continenter affluat (quod ex eo coaluerit), promovetur et truditur foras. Quidquid igitur ejus extra corpus eminet, durescit aere ipsum solidante et in corneam duritiem confirmante ; quod intra cutem adhuc inclusum tenetur, molle est. Atque alterum quidem externa refrigeratione rigescit, alterum interno calore mollitiem servat. Quocirca recens cornu subnascens vetus tanquam alienum expellit, dum interior pars premit alteram eamque sursum pellere gestit simulque eam dolore afficit et ipsa e dolore laborat, quasi nascendi cupiditate flagrans et in lucem prorumpere festinans. Humor enim concrescens ac paulatim surgens immotus manere nequit : quippe viribus pollet, postquam obduruit, et in priora impellitur. Itaque magna cornuum pars interno robore expellitur : nonnulla etiam arborum ramis circumplicata et feram ad cursum incitatam impedientia vi abrumpi solent. Sic ubi alia lente prodierunt, alia ad eminendum parata naturæ beneficio proferuntur.

6. Bubulo pecori castrato Democritus ait tortuosa, gracilia, longa nasci cornua, contra testibus prædito enasci secundum radicem crassa, recta, minusque prolixa. Hos latiori quam alteros fronte esse dicit. Nam quum iis multæ sint venæ, his, inquit, ossa dilatantur. Simul et cornuum eruptio, quoniam crassior sit, hanc quoque partem ad eam, quæ reliquo animalis corpori respondeat, latitudinem perducit : castratis vero quod sedes cornuum et initium enascendi perparvum habeat circulum, minus dilatatur hæc pars.

7. Porro mutili boves trematodes (ut Democritus vocat) id est foraminatam sincipitis partem non habentes, quum os universum durum solidumque sit atque influxionem humorum non admittat, cornibus nudi ac mutili sunt. Venæ etiam circa idem os minus alimenti continent propterea quod pertenues et infirmæ sunt. Sed cervix quoque mutilorum boum necessario siccior est, quum in ea pariter graciliores insint venæ atque idcirco minus validæ. Cæterum quæ in Arabia sunt vaccæ, eæ cornibus insignes esse solent, quod ad ea scilicet, inquit ille, humor copiosus, unde generosa illa germina nutriuntur, confluat. Ex his quæ cornibus carent os humorem recipere solitum solidius habent et haudquaquam ad eum recipiendum idoneum. Ut breviter dicam, incrementi causa cornibus est affluentia, quam sane plurimæ et crassissimæ venæ humore, quantum ferre possunt, gravidatæ invehunt.

Δ. ΕΚ ΤΩΝ ΠΕΡΙ ΑΣΤΡΟΝΟΜΙΑΣ ΣΥΓΓΡΑΜΜΑΤΩΝ.

FRAGMENTA ASTRONOMICA.

1. Τὸν δὲ σκορπίον ὁ ἥλιος διαπορεύεται ἐν ἡμέραις λ'. Ἐν δὲ τῇ δ' ἡμέρᾳ Δημοκρίτῳ πλειάδες δύουσιν ἅμα ἠοῖ· ἄνεμοι χειμέριοι ὡς τὰ πολλὰ καὶ ψύχη, ἤδη καὶ πάχνη· ἐπιπνεῖν φιλεῖ· φυλλοῤῥοεῖν ἄρχεται τὰ δένδρα μάλιστα. Ἐν δὲ τῇ ιγ' Δημοκρίτῳ λύρα ἐπιβάλλει ἅμα ἡλίῳ ἀνίσχοντι καὶ ὁ ἀὴρ χειμέριος γίνεται ὡς ἐπὶ τὰ πολλά. Τὸν δὲ τοξότην ὁ ἥλιος διαπορεύεται ἐν ἡμέραις κθ'. Ἐν δὲ τῇ ις' Δημοκρίτῳ ἀετὸς ἐπιτέλλει ἅμα ἡλίῳ καὶ ἐπισημαίνειν φιλεῖ βροντὴν καὶ ἀστραπὴν καὶ ὕδατι ἢ ἀνέμῳ ἢ ἀμφότερα ὡς ἐπὶ τὰ πολλά. Τὸν δὲ αἰγόκερων ὁ ἥλιος διαπορεύεται ἐν ἡμέραις κθ'. Ἐν δὲ τῇ ιβ' Δημοκρίτῳ νότος πνεῖ...... ως ἐπιτέλλει. Τὸν δὲ ὑδροχόον διαπορεύεται ὁ ἥλιος ἐν ἡμέραις λ'. Ἐν μὲν οὖν τῇ β' Δημοκρίτῳ [γίνεται] χειμών. Ἐν δὲ τῇ ις' Δημοκρίτῳ ζέφυρος πνεῖν ἄρχεται καὶ παραμένει ἡμέρας γ' καὶ μ' ἀπὸ τροπῶν. Τοὺς δὲ ἰχθύας ὁ ἥλιος διαπορεύεται ἐν ἡμέραις λ'. Ἐν δὲ τῇ δ' Δημοκρίτῳ ποικίλαι ἡμέραι γίνονται ἀλκυονίδες καλούμεναι. Ἐν δὲ τῇ ιδ' Δημοκρίτῳ ἄνεμοι πνέουσι ψυχροί, οἱ ὀρνιθίαι καλούμενοι, ἡμέρας μάλιστα θ'. Τὸν δὲ κριὸν διαπορεύεται ὁ ἥλιος ἐν ἡμέραις λα'. Ἐν δὲ τῇ ιγ' Δημοκρίτῳ πλειάδες κρύπτονται ἅμα ἡλίῳ ἀνίσχοντι, καὶ ἀφανεῖς γίνονται νύκτας μ'. Τοὺς δὲ διδύμους ὁ ἥλιος διαπορεύεται ἐν ἡμέραις λβ'. Ἐν δὲ τῇ ι' Δημοκρίτῳ ὕδωρ γίνεται. Ἐν δὲ τῇ κθ' Δημοκρίτῳ ἄρχεται Ὠρίων ἐπιτέλλειν καὶ φιλεῖ ἐπισημαίνειν ἐπ' αὐτῷ.

(Excerpta ex Gemini Element. astronom. cap. 16 p. 66 seqq. in Petavii Uranologio, Lutetiæ Parisiorum 1630.)

Σεπτέμβριος.

ιζ' ὥρᾳ ιδ' ὁ ἔσχατος τοῦ ποταμοῦ ἑῷος ἐπισημαίνει Δημοκρίτῳ.

κθ' ὥρᾳ ιδ' Δημοκρίτῳ ὑετός.

Ὀκτώβριος.

η' στάχυς ἐπιτέλλων Δημοκρίτῳ χειμάζει. Σπόρου ὥρα.

Νοέμβριος.

β' ὥρᾳ ιδ' ὁ λαμπρὸς τῆς νοτίου χηλῆς ἐπιτέλλει. Δημοκρίτῳ ψύχη καὶ πάχνη.

ιη' ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἡγουμένου διδύμου ἑσπέριος ἀνατέλλει. Δημοκρίτῳ χειμὼν καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν.

Scorpium sol permeat diebus triginta.

Die quarto Democrito pleiades occidunt summo mane: venti hiberni plerumque et frigora et pruina: solet oriri flatus: folia abjicere maxime incipiunt arbores. Die tertio decimo Democrito lyra ascendit una cum sole oriente et aer fit tempestuosus plerumque. Sagittarium sol percurrit diebus viginti novem.

Die sexto decimo Democrito aquila oritur simul cum sole et insuper significare solet tonitru et fulgur cum aqua aut vento aut utramque rem plerumque. Capricornum Sol peragrat diebus viginti novem. Die duodecimo Democrito auster spirat........ oritur, Aquarium permeat Sol diebus triginta. Die secundo Democrito hiems exsistit. Die sexto decimo Democrito Zephyrus incipit flare et manet per dies quadraginta tres a conversionibus. Pisces Sol percurrit diebus triginta. Die quarto Democrito varii oriuntur dies, qui vocantur dies halcyonum. Die quarto decimo Democrito frigidi flant venti, qui ornithiæ vocantur, per dies maxime novem. Arietem pertransit Sol diebus uno et triginta. Die tertio decimo Democrito pleiades occultantur simul cum Sole oriente neque apparent per noctes quadraginta. Geminos Sol permeat diebus triginta duobus. Die decimo Democrito aqua exsistit. Die vicesimo nono Democrito Orion incipit oriri, et solet post ipsum significare.

September.

Septimo decimo die hora XIV ultima (stella) fluvii mane significat Democrito.

Vicesimo nono die hora XIV Democrito pluvia.

October.

Octavo die spica oriens Democrito tempestatem excitat. Sementis tempus.

November.

Die secundo hora XIV lucida (stella) australis cheles oritur. Democrito frigora et pruina.

Die octavo decimo (stella) quæ in capite est præcedentis geminorum, vespere oritur. Democrito tempestas terra marique.

Δεκέμβριος.

α' ὥρᾳ ιε' ὁ λαμπρὸς τοῦ Περσέως ἑῷος δύνει. Δημοκρίτῳ ὁ οὐρανὸς ταραχώδης καὶ ἡ θάλασσα ὡς τὰ πολλά.

θ' ὥρᾳ ιγ' χύων ἑῷος δύνει· ὁ καλούμενος αἴξ ἑῷος δύνει καὶ ὁ ἔσχατος τοῦ ποταμοῦ ἑσπέριος ἀνατέλλει. Δημοκρίτῳ σημαίνει.

ιδ' ὥρᾳ ιδ' ὁ καλούμενος αἴξ ἑῷος δύνει. Δημοκρίτῳ βρονταί, ἀστραπαί, ὕδωρ, ἄνεμος.

Ἰανουάριος.

α' ὥρᾳ ιδ' χύων ἑσπέριος ἀνατέλλει. Προκύων ἑσπέριος ἀνατέλλει. Δημοκρίτῳ χειμὼν ἐπισημαίνει.

θ' ὥρᾳ ιδ' ὁ λαμπρὸς τῆς λύρας ἑσπέριος δύνει· ὁ λαμπρὸς τοῦ ἀετοῦ ἑσπέριος δύνει. Δημοκρίτῳ νότος ὡς τὰ πολλά.

κθ' Δημοκρίτῳ χειμών.

Φεβρουάριος.

ιγ' ὥρᾳ ιε' ὁ ἔσχατος τοῦ ποταμοῦ κρύπτεται· ὁ λαμπρὸς τοῦ Περσέως ἑῷος ἀνατέλλει· ὁ λαμπρὸς τῆς λύρας ἑσπέριος δύνει. Δημοκρίτῳ ζέφυρος ἄρχεται πνεῖν.

ιε' Δημοκρίτῳ ζέφυρος πνεῖ.

λ' Μητροδώρῳ χελιδὼν φαίνεται, ἐπισημαίνει Δημοκρίτῳ. Ποικίλαι ἡμέραι καλούμεναι ἀλκυόνιαι.

Μάρτιος.

ια' ὥρᾳ ιγ' ς'' ὁ λαμπρὸς τοῦ νοτίου ἰχθύος ἐπιτέλλει, καὶ ὁ ἐν τῷ ἐμπροσθίῳ δεξιῷ βατραχίῳ τοῦ Κενταύρου ἑῷος δύνει. Δημοκρίτῳ ἄνεμοι ψυχροὶ ὀρνιθίαι ἐπὶ ἡμέρας πέντε.

κϐ' Δημοκρίτῳ ὁ λαμπρὸς τοῦ Περσέως ἐπισημαίνει. Ἄνεμος ψυχρός.

Ἀπρίλιος.

α' ὥρᾳ ιδ' στάχυς ἑῷος δύνει. Δημοκρίτῳ σημαίνει.

Ἰούνιος.

θ' ὥρᾳ ιε' ὁ λαμπρὸς τοῦ ὑδροχόου κρύπτεται. Δημοκρίτῳ ὕδωρ ἐπὶ γῆν.

κζ' ὥρᾳ ιγ' ς'' ὁ κοινὸς ποταμοῦ καὶ ποδὸς Ὠρίωνος ἐπιτέλλει. Δημοκρίτῳ ἐπισημαίνει.

Ἰούλιος.

δ' Δημοκρίτῳ ζέφυρος καὶ ὕδωρ ἑῷον· εἶτα βορέαι ἐπὶ ἡμέρας ἑπτά.

Αὔγουστος.

κς' ὥρᾳ ιγ' ς'' ὁ λαμπρὸς τοῦ νοτίου ἰχθύος ἑσπέριος ἀνατέλλει. Δημοκρίτῳ ἐπισημαίνει ὕδασι καὶ ἀνέμοις.

(Excerpta ex Ptolemæi libro qui inscribitur Φάσεις ἀπλανῶν ἐπισημασιῶν in Petavii Uranolog. p. 71 seqq.)

December.

Primo die hora XV lucida (stella) Persei matutino occidit. Democrito cœlum turbulentum itidemque mare plerumque.

Die nono hora XIII canis mane occidit. Capella quæ vocatur, matutino occidit et postrema fluvii (stella) vespere oritur. Democrito significat.

Die quarto decimo hora XIV capella occidit mane. Democrito tonitrua, fulgura, aqua, ventus.

Januarius.

Primo die hora XIV canis vespere oritur. Procyon vespere oritur. Democrito tempestas significat.

Die nono hora XIV lucida lyræ (stella) vespere occidit : lucida aquilæ vespere occidit. Democrito auster plerumque.

Die vicesimo nono Democrito tempestas.

Februarius.

Die tertio decimo hora XV postrema fluvii stella absconditur : splendida Persei oritur matutino : splendida lyræ vespere occidit. Democrito Favonius flare incipit.

Die quinto decimo Democrito Favonius spirat.

Die tricesimo Metrodoro hirundo conspicitur, significat Democrito. Varii dies qui alcyonei dicuntur.

Martius.

Die undecimo hora XIII ½ lucida stella piscis australis oritur, et quæ in priore dextro musculo Centauri est, mane occidit. Democrito venti frigidi ornithiæ in dies quinque.

Die vicesimo secundo Democrito clara Persei stella significat. Ventus frigidus.

Aprilis.

Die primo hora XIV spica mane occidit. Democrito significat.

Junius.

Die nono hora XV lucida Aquarii stella occultatur. Democrito aquæ cœlestes super terram effusæ.

Die vicesimo quinto hora XIII ½ stella communis fluvii et pedis Orionis oritur. Democrito significat

Julius.

Die quarto Democrito Favonius et pluvia matutina : tum aquilones in dies septem.

Augustus.

Die vicesimo sexto hora XIII ½ stella lucida piscis australis vespere oritur. Democrito significat pluviis et ventis.

Ε. ΣΥΜΜΙΚΤΑ ΑΠΟΣΠΑΣΜΑΤΙΑ.

FRAGMENTA VARII ARGUMENTI.

Περὶ κώνου τομῆς.

1. Ἔτι τοίνυν ὅρα, τίνα τρόπον ἀπήντησε (Χρύσιππος) Δημοκρίτῳ, διαποροῦντι φυσικῶς καὶ ἐμψύχως, εἰ κῶνος τέμνοιτο παρὰ τὴν βάσιν ἐπιπέδῳ, τί χρὴ διανοεῖσθαι τὰς τῶν τμημάτων ἐπιφανείας, ἴσας ἢ ἀνίσους γινομένας; Ἄνισοι μὲν γὰρ οὖσαι τὸν κῶνον ἀνώμαλον παρέξουσι, πολλὰς ἀποχαράξεις λαμβάνοντα βαθμοειδεῖς καὶ τραχύτητας· ἴσων δ' οὐσῶν, ἴσα τμήματα ἔσται, καὶ φανεῖται τὸ τοῦ κυλίνδρου πεπονθὼς ὁ κῶνος, ἐξ ἴσων συγκείμενος καὶ οὐκ ἀνίσων κύκλων, ὅπερ ἐστὶν ἀτοπώτατον.

(Plutarch. adv. Stoic. de commun. notit. p. 1079. vol. X pag. 446 ed. Reisk.)

Περὶ ποιήσεως.

2. Δημόκριτος ὁμοίως· Ποιητὴς δὲ ἅσσα μὲν ἂν γράφῃ μετ' ἐνθουσιασμοῦ καὶ ἱροῦ πνεύματος, καλὰ κάρτα ἐστί.

(Clem. Alexandr. Strom. VI pag. 698. pag. 827 ed. Potter.)

Περὶ Ὁμήρου.

3. Ὁ μὲν Δημόκριτος περὶ Ὁμήρου φησὶν οὕτως· Ὅμηρος φύσιος λαχὼν θεαζούσης, ἐπέων κόσμον ἐτεκτήνατο παντοίων· ὡς οὐκ ἐνὸν ἄνευ θείας καὶ δαιμονίας φύσεως οὕτω καλὰ καὶ σοφὰ ἔπη ἐργάσασθαι.

(Dio Chrysostomus orat. LIII init.)

Περὶ μουσικῆς.

4. Δημόκριτος μὲν τοίνυν, ἀνὴρ οὐ φυσιολογώτατος μόνον τῶν ἀρχαίων, ἀλλὰ καὶ περὶ τὰ ἱστορούμενα οὐδενὸς ἧττον πολυπράγμων, μουσικήν φησι νεωτέραν εἶναι, καὶ τὴν αἰτίαν ἀποδίδωσι λέγων, αὐτὴν οὐκ εἶναι τῶν ἀναγκαίων, ἀλλὰ ἐκ τοῦ περιεῦντος ἤδη γίνεσθαι. Πλὴν ἀλλὰ ἀρχαιοτάτη δοκεῖ τε καὶ φέρειν τι θαυμασιώτατον καὶ ἐγκλείειν.

(Philodemus de Musica lib. IV in Vol. Hercul. tom. I pag. 135 col. 36.)

Περὶ Διός.

5. Ὅθεν οὐκ ἀπεικότως ὁ Δημόκριτος τῶν λογίων ἀνθρώπων ὀλίγους φησὶν ἀνατείναντας τὰς χεῖρας ἐνθαῦτα, ὃν νῦν ἠέρα καλέομεν οἱ Ἕλληνες πάντα, Δία μυθέεσθαι· (οἰομένους ὅτι) καὶ πάντα οὗτος οἶδε καὶ διδοῖ καὶ ἀπαιρέεται καὶ βασιλεὺς οὗτος τῶν πάντων.

(Clemens Alexandr. Admonit. ad gent. pag. 45.)

Περὶ τῆς αὐτοῦ ἀποδημίας.

6. Ἐγὼ δὲ τῶν κατ' ἐμεωυτὸν ἀνθρώπων γῆν πλείστην ἐπεπλανησάμην ἱστορέων τὰ μήκιστα, καὶ ἀέρας τε καὶ γέας πλείστας εἶδον, καὶ λογίων ἀνθρώπων πλείστων ἐσήκουσα, καὶ γραμμέων ξυνθέσιος μετὰ

De sectione coni.

1. Porro autem vide, quomodo occurrerit (Chrysippus) Democrito physicorum more et acriter quærenti, si conus secundum basin planitie secetur, quid judicandum sit de segmentorum superficiebus, æqualesne fiant, an inæquales? Si enim sint inæquales, conum reddent inæquabilem, multas nanciscentem graduum instar incisuras et asperitates : sin æquales, erunt segmenta æqualia, videbiturque cono evenire, quod est cylindri, ut ex æqualibus, non inæqualibus constet circulis, quod est absurdissimum.

De poesi.

2. Similiter Democritus : *Quæcunque poeta cum divino spiritu sanctoque furore scribit, præclara sunt.*

De Homero.

3. Democritus de Homero sic ait : *Homerus divino præditus ingenio ornata omnis generis carmina composuit*, quod non sine cœlesti ac divina indole tam pulchra tantæque plena sapientiæ carmina condere liceat.

De musica.

4. Democritus veterum non modo summus naturæ investigator, sed etiam ea quæ historiæ monumentis continentur, cognoscendi cupiditate nemine inferior, musicam ait citerioris esse ætatis ejusque rei causam reddit, dicens, eam non esse in rebus necessariis, sed ex abundantia jam oriri. Veruntamen antiquissima videtur ac mirabile quid efficere miramque vim insitam habere.

De Jove.

5. Unde non immerito Democritus doctorum hominum paucos ait sublatis ad eum locum manibus, quem nunc universum Græci aerem appellamus, Jovem vocare : omnia hunc et scire et dare et auferre rerumque universitatis regem esse credentes.

De peregrinatione sua.

6. Equidem nostræ ætatis hominum plurimas terras peragravi, disjunctissima quæque lustrans, cœli solique genera plurima vidi, eruditos homines permultos audivi, neque me in componendis adjuncta demonstratione lineis

ἀποδέξιος οὐδείς κώ με παρήλλαξε, οὐδ' οἱ Αἰγυπτίων καλεόμενοι Ἀρπεδονάπται· σὺν τοῖσδ' ἐπὶ πᾶσι ἐπ' ἔτεα πέντε ἐπὶ ξείνης ἐγενήθην.

(Democritus ap. Clement. Alex. Strom. I pag. 304 ed. Sylburg. lib. I § 15 p. 357 ed. Potter.)

7. Ἦλθον εἰς Ἀθήνας, καὶ οὔτις με ἔγνωκε.

(Democritus ap. Diog. Laert. lib. IX, 36.)

Ἄδηλον.

8. Φυγῇ ἰθείῃ νεῦνται.

(Etymol. magn. s. v. νένωται.)

---

quisquam adhuc superavit, ne ii quidem Ægyptiorum, qui Harpedonaptæ nominantur; apud hos autem postremo quinque per annos peregrinatus sum.

7. Veni Athenas, neque quisquam me agnovit.

Incertum.

8. Præcipiti fuga redibunt.

Η. ΕΚ ΤΟΥ ΓΕΩΡΓΙΚΟΥ.

FRAGMENTA LIBRI DE AGRICULTURA.

1. Δημόκριτός φησιν, ὅτι τοιοῦτον χρὴ προσδοκᾷν ἔσεσθαι τὸν χειμῶνα, ὁποία ἔσται ἡ τετάρτη καὶ εἰκοστὴ τοῦ Δίου μηνὸς ἡμέρα.

(Cassiani Bassi Geopon. lib. I cap. V, 3.)

2. § 1. Περὶ δὲ τῆς ὑδροφαντικῆς, ὑπὸ δέ τινων ὑδρομαστευτικῆς λεγομένης νῦν ἐροῦμεν. Ἀποφαίνονται γὰρ οἱ [περὶ] τῶν ὑδροφαντικῶν τὴν ἐμπειρίαν εἰληφότες, τὰ μὲν πεδία ἄνυδρα ὑπάρχειν ὡς ἐπὶ τὸ πολύ, καὶ τὰ μείζονα μᾶλλον τῶν ἐλασσόνων. Τῶν δὲ ὀρέων ἔνυδρα τὰ πλεῖστα καὶ τὰς ὑπωρείας καθυγροτέρας τῶν ἀκρωρειῶν ὑπάρχειν, καὶ τὰ δασέα καὶ τὰ κατάδενδρα τῶν ψιλῶν. § 2. Τὰ δὲ ἐν τοῖς πεδίοις εὑρισκόμενα τῶν ὑδάτων ἁλμυρὰ ὡς ἐπὶ τὸ πολύ, τὰ δὲ ἐν τοῖς ὄρεσι καὶ ταῖς ὑπωρείαις γλυκέα· ἐὰν μή τινων ἡ γεῦσις φθείρηται διὰ τὴν τῶν ἐπικειμένων ὑδάτων ἰδιότητα, ὠμῶν, ἢ ἁλμυρῶν ὑπαρχόντων, ἢ νιτρωδῶν, ἢ στυπτηρίαν ἐχόντων, ἢ θεῖον, ἢ ἄλλο τι τῶν τοιούτων. § 3. Φυσικὰς δὲ τοῖς εἰρημένοις αἰτίας τοιάσδε προσάπτουσιν, ἀπὸ τῶν ὑδάτων τὸ λεπτομερέστατον ἀεὶ καὶ ἐλαφρότατον ἕλκειν τὸν ἥλιον. § 4. Τὰ μὲν οὖν πεδία δι' ὅλης ἐπέχοντα τῆς ἡμέρας τὸν ἥλιον ἐξαμέλγειν τὸ ὑγρὸν καὶ ἐξατμίζειν, ὅθεν τὰ μὲν τελέως ἄνυδρα ὑπάρχει, ἐν οἷς δὲ καταλείπεταί τινα τῶν ὑδάτων, ἁλμυρὰ εὑρίσκεται πάντως, τοῦ ἐλαφροῦ καὶ γλυκέος ἐξ αὐτῶν ἀναλισκομένου, καθάπερ καὶ κατὰ τὴν θάλασσαν συμβέβηκε. § 5. Τὰ δὲ ἐν τοῖς ὄρεσιν ὄντα τῶν ὑδάτων μὴ τὸ αὐτὸ πάσχειν, διὰ τὸ μὴ δι' ὅλης τῆς ἡμέρας ἐκπυροῦσθαι τῇ ἀκτῖνι, καὶ κεκλιμένην αὐτοῖς καὶ μὴ βιαίαν προσπίπτειν. Ὅθεν τὰ πρὸς ἄρκτον ἔχοντα τὰς κλίσεις εὐυδρότερα τῶν πρὸς μεσημβρίαν κεκλιμένων ἀποφαίνονται, καὶ τὰ πρὸς ἀνατολὰς καὶ δυσμάς, ἧσσον μὲν τῶν πρὸς ἄρκτον, πλεῖον δὲ τῶν πρὸς μεσημβρίαν κεκλιμένων, καὶ τὰ δασέα τῶν ψιλῶν διὰ τὸ σκιάζεσθαι. § 6. Τὰς δὲ ὑπωρείας μᾶλλον καθύδρους εἶναι διὰ τὸ τὴν φορὰν εἰς τὸ κάτω μέρος τοῖς ὕδασιν εἶναι, καὶ συνάγεσθαι τὰ ἀπὸ τῶν ὑψηλῶν εἰς τὸ ταπεινόν, καὶ ὑπὸ τὰς ῥίζας τῶν ὀρέων. § 7. Ὅθεν καὶ τὰς πλείστας πηγὰς καὶ μεγίστας ἐν τοῖς τοιούτοις τόποις ὑπάρχειν, ἐν οἷς ὑπερκείμενά ἐστιν ὄρη μεγάλα καὶ ὑψηλὰ καὶ δασέα, ἔχοντα κοίλους καὶ φαραγγώδεις τόπους. Ἐν γὰρ τοῖς τοιούτοις τοὺς κατ' ἔτος συναγομένους ὄμβρους καὶ διηθουμένους κατὰ γῆς τὰς πηγὰς αὔξειν. § 8. Τινὰ δὲ τῶν ὑδάτων παρὰ ταύτας μὲν τὰς ὑπωρείας μὴ ἐκφανῆ γίνεσθαι, ποιησάμενα δὲ ἕως τινὸς ὑποφορὰν κατὰ γῆς, οὕτως εἰς τὸ φανερὸν ἐκθλίβεσθαι. Τὸ δὲ σύνολον, διὰ τὸν ἀνάγοντα τόπον ἕως θαλάττης, φανέντα ἐξωθεῖσθαι. § 9. Τινὰ δὲ καὶ ἐπὶ τὴν θάλατταν διὰ τῆς γῆς ἐπὶ πολὺν τόπον ἐν ταῖς φλεψὶν ἐνεχθέντα οὕτως ἀναβλύει, καθάπερ ἐστὶν ἐν Ἀράδῳ

---

1. Democritus ait exspectari oportere, talem futuram esse hiemem, qualis dies vicesimus quartus mensis Novembris fuerit.

2. De aquæ inquisitione, vel ut alii dicunt, investigatione nunc disseremus. Qui enim aquarum investigandarum peritiam nacti sunt, pronuntiant quidem campos plerumque aquis carere, et majores magis minoribus. Ex montibus vero plurimos esse aquosos et imas ipsorum partes humidiores quam summas, præterea densos montes atque arboribus tectos magis humidos esse quam nudos. Aquæ vero quæ in campis reperiuntur, ut plurimum salsæ sunt, quæ autem in montibus et imis eorum partibus, dulces: nisi aliquarum sapor corrumpatur incumbentium aquarum proprietate, crudarum aut salsarum aut nitratarum, aut aluminatarum, aut sulphur aut aliud ejusmodi gerentium. Naturales autem causas eorum quæ diximus tales afferunt: solem ex aquis semper id quod tenuissimum ac levissimum est attrahere. Quare quum campos per totum diem sol occupet, humorem ex iis emulgere et in vaporem dissolvere, inde fieri, ut quidam penitus aquis careant, sed in quibus aliquid supersit, id omnino salsum reperiatur, levi ac dulci ex ipsis consumto, quemadmodum etiam mari contingat. At non idem montium aquis evenire, quippe quæ non per totum diem solis radiis exurantur, et ad quas inclinati nec violenter accidant. Unde etiam montes ad septentrionem inflexos iis qui ad meridiem vergunt aquosiores esse statuunt, itemque versus orientem et occidentem sitos minus quidem aquosos septentrionem spectantibus, magis autem ad meridiem inclinatis, et densos arboribus magis aquosos quam nudos, quoniam obumbrentur. Cæterum imas montium partes magis aquosas esse, propterea quod aquæ deorsum ferantur et quæ in altis locis sint, ad humiles et sub ipsas montium radices congregentur. Inde fieri, ut plurimi maximique fontes in ejusmodi regionibus exstent, quibus montes magni altique ac densi locis concavis et voraginosis insignes superincubantes reperiantur. In talibus enim imbres per annum collectos atque in terram penetrantes, fontes augere. Quasdam vero aquas circa has imas montium partes non apparere, verum ubi intra terram aliquatenus subductæ cursum perfecerint, tum demum prorumpere. In universum autem locum ad mare ducentem in causa esse, ut appareant et propellantur. Quædam vero et in mare per longum terræ tractum in venis perductæ sic tandem erumpunt, qualis est aquatio prope Aradum

ὕδρευμα καὶ τὸ ἐν Ἡρακλείᾳ τοῦ Πόντου. § 10. Τὰς δὲ ἀφ' ὑψηλῶν τόπων πηγὰς φερομένας λέγουσι, διὰ τοὺς ὑπερκειμένους τόπους, παρακειμένου τοῦ λεγομένου Σαώκους καὶ ἔχοντος οὐ μακρὰν τῆς κορυφῆς τόπους τραχεῖς καὶ φαραγγώδεις καὶ δυναμένους τὰ πλεῖστα τῶν οὐρανίων ὑδάτων δέχεσθαι. § 11. Τὰς μὲν οὖν ἐπιῤῥύτους πηγὰς ὑπάρχειν ἀποφαίνονται διὰ τὰς δεδηλωμένας αἰτίας. Εἶναι δὲ καὶ ἐν τοῖς πλείστοις μέρεσι τῆς γῆς φλέβας ἐχούσας ὕδωρ. § 12. Καθάπερ γάρ, φασί, καὶ ἐπὶ τῶν ἐμψύχων σωμάτων συμβαίνει τὸ ὅλον σῶμα φλεψὶ καὶ ἀρτηρίαις διειλῆφθαι συνεχέσιν, οὕτω καὶ ἐν τῇ γῇ τόπους τε ἀραιοὺς ὑπάρχειν, ἀέρος πλήρεις ὄντας, καὶ φλέβας ὕδωρ ἐχούσας, καὶ ἐν τισι μὲν πάνυ πυκνὰς εἶναι καὶ δι' ἀλλήλων πεπλεγμένας, ἔν τισι δὲ ἀραιοτέρας, αἷς ἐπιτυγχάνειν ῥᾳδίως τοὺς τὰ φρέατα ὀρύσσοντας διὰ τὸ πλῆθος καὶ τὴν πυκνότητα. § 13. Πηγὰς οὖν ὁμοίως καλεῖσθαι καὶ τὰς ἀναπτυχθείσας τῶν φλεβῶν διὰ τὸ παραμονίμους εἶναι, μακρόθεν φερομένας καὶ δι' ἀλλήλων τὸ ὕδωρ δεχομένας. § 14. Λιβάδας δὲ καλεῖσθαι τὰ ἀπὸ τῶν ὀμβρίων ὑδάτων διηθούμενα καὶ κατὰ γῆς ἐν στεγνοῖς καὶ σκιεροῖς τόποις συνεστηκότα, καθάπερ ἐν ἀγγείοις, μὴ φλεβῶν ἀποῤῥοίας οὔσας· ὅθεν οὐδὲ διαμένειν τὰς λιβάδας, ἀλλὰ πάνυ συντόμως ἐκλείπειν, ἐὰν μὴ σφόδρα μεγάλας αὐτὰς εἶναι συμβῇ. § 15. Τὰς δὲ πηγὰς αὔξεσθαί τε καὶ λήγειν κατὰ τὴν τοῦ ἀέρος περίστασιν. § 16. Αὐχμῶν μὲν γὰρ γινομένων, καὶ τὰς πηγὰς λήγειν· ἐπόμβρου δὲ τοῦ ἔτους ὄντος, ἐπαύξεσθαι. Τροφὴν γὰρ λαμβάνειν, ὡς καὶ ἀνωτέρω ἐῤῥήθη, τὰ κατ' αὐτὰς ὕδατα διὰ τῶν οὐρανίων ὑδάτων. § 17. Διὸ καὶ μάλιστα αὔξεσθαι τὰς πηγὰς περὶ χειμερινὰς τροπάς, τοῦ μὲν ἡλίου μὴ ὁμοίως ἀκμάζοντος, τῶν δὲ ὄμβρων προστιθέντων, ὑπὸ δὲ τὰς θερινὰς καὶ τοῦ κυνὸς τὴν ἐπιτολὴν τοὐναντίον πάσχειν. § 18. Διαγινώσκεσθαι δὲ τὰς εὑρισκομένας πηγὰς καὶ τὰς λιβάδας τοιούτῳ τινὶ τρόπῳ. § 19. Τὴν μὲν γὰρ εὑρεθεῖσαν πηγὴν ἀπὸ φλεβὸς εὐγενοῦς πρᾳέως καὶ ἀρξαμένην ῥέειν ἐπίδοσίν τε κατὰ μικρὸν ποιεῖσθαι, καὶ ἕως τινὸς αὐξηθεῖσαν διαμένειν ὁμοίως, ἢ τὴν αὐτὴν ἔχειν δι' ὅλου ῥύσιν τῇ ἐξ ἀρχῆς εὑρεθείσῃ, ἂν μήτι ἐλλείπῃ διὰ τὴν τοῦ ἀέρος περίστασιν ἢ ἐπιθῇ. § 20. Τὰς λιβάδας δὲ οὔ φασι τὸ ὅμοιον ποιεῖν, ἀλλ' ἐν ἀρχῇ μὲν λάβρον, καὶ πολὺ προΐεσθαι τὸ ῥεῦμα, μετ' οὐ πολὺν δὲ χρόνον λήγειν. § 21. Οὐκ ἐῶσιν οὖν τῇ τοιαύτῃ ῥεύσει πιστεύειν, τοὺς δὲ ζητοῦντας τὰ ὕδατα πρῶτα μὲν κελεύουσι τοὺς τόπους, ἐν οἷς ἂν ἐπιβάλλωνται ζητεῖν, ἐπιθεωρῆσαι, πῶς ἔχουσι τοῖς κλίμασι, καὶ ποῖοί τινες ὄντες τυγχάνουσι, σημείοις χρωμένους τοῖς δεδηλωμένοις. § 22. Καὶ ἐὰν ὦσι πόροι πρὸς ἐξίχνευσιν, καὶ τὰ ἄλλα σημεῖα τὰ διὰ τῶν ἐδαφῶν καὶ τῶν φυομένων. § 23. Σχοίνους τε γὰρ φυομένους, τινὲς ὁλοσχοίνους καλοῦσι, καὶ βούτομον καὶ βάτους καὶ κύπειρον, ἥν τινες ζέρναν καλοῦσιν· ἔτι δὲ καὶ ἄγρωστιν πολλὴν καὶ εὔτροφον, καλάμους τε τοὺς καλουμένους Ἰνδικούς, ὑπό τινων δὲ μεστοκαλάμους, ὑπ' ἐνίων βαλίτας καὶ σύριγγας, δασεῖς καὶ ἁπαλοὺς σημαίνειν φασίν, ὡς ὕδωρ ἔχοντος τοῦ τόπου. § 24. Καὶ ὁμοίως κισσὸν τὸν θάλλοντα, ὅν τινες μαλακόκισσον προσαγορεύουσι, καὶ συχὴν

et ad Heracleam Ponticam. Porro aquas quæ ex locis editis deferuntur, defluos fontes vocant, idque ob superincubantes locos, adjacente verbi gratia monte qui Soaces nominatur, et habente non longe a vertice locos asperos et cavernosos et capaces plurimæ cœlestis aquæ. Juges igitur fontes propter causas memoratas exstare statuunt. Esse vero præterea etiam in plurimis terræ partibus venas aquam ferentes. Quemadmodum enim, inquiunt, in vivis et animatis corporibus contingit, ut totum corpus venis et arteriis continuis distinctum sit, sic etiam in terra partim locos raros exstare eosque aere plenos, partim venas aquam continentes easque in aliis admodum densas et inter se implicatas, in aliis rariores esse, quas facile offendant puteorum fossores ob multitudinem et frequentiam. Fontes igitur similiter appellari etiam apertas venas, propterea quod stabiles sint et e longinquo ferantur et per se invicem aquam accipiant. At vero λιβάδας vocari aquas pluvia stillatitia ortas quæ intra terram opertis et umbrosis locis velut vasis contineantur, neque venarum effluvia sint; inde accidere, ut ne permaneant quidem λιβάδες, sed citissime deficiant, nisi forte admodum magnæ sint. Fontes autem et augeri et desinere pro aeris temperie. Siccitatibus enim obortis, fontes quoque desinere, pluvioso vero anno augescere. Namque alimenta sumere, ut superius etiam dictum est, fontium aquas e cœlestibus aquis. Quaproper etiam maxime augeri fontes circa solstitium hibernum, sole quidem non similiter urgente, imbribus vero (aliquid aquæ) adjicientibus : sub æstivum autem solstitium et canis exortum contrarium iis accidere. Cæterum dignosci fontes repertos et aquas stagnantes (λιβάδας) in hunc fere modum. Fontem repertum e generosa vena et leniter fluere incipere et paulatim incrementa capere et ad certam mensuram auctum in eodem statu semper permanere, aut eundem perpetuo fluxum tenere, qui initio fuit, quum reperiebatur, nisi ob aeris temperationem aut deficiat aut (copiæ suæ) aliquid addat. Verum λιβάδας negant idem facere, sed principio quidem rapidum et multum emittere fluxum, cito autem deficere. Quare non permittunt ejusmodi fluxui fidem habere, sed aquarum vestigatores primum locos in quibus aquam quærere aggrediuntur, diligenter contemplari jubent, quam habeant cœli inclinationem et quales tandem sint, signis indicatis utentes. Et si quidem foramina exstiterint ad investigationem aliaque signa tum ex solo, tum ex iis quæ inde enata sunt. Juncos enim nascentes, quos quidam mariscos vocant, et butomum et rubos et cyperum, quam quidam zernam nominant, præterea gramen multum ac pingue, calamosque, quos appellant Indicos, alii autem mestocalamos, hoc est, plenas arundines, alii etiam sagittarios, itemque fistulas densas et teneras, signa esse ajunt loci aquam habentis. Similiter et hederam virentem, quam

ἀγρίαν καὶ σίσυαν καὶ πτελέαν ἀγρίαν, ἔτι τε ἵππουριν, τὴν λεγομένην πεντάφυλλον βατράχιόν τε, ἣν χρυσάνθεμον καλοῦσι. § 25. Καὶ καθόλου δὲ ὅσα ἂν ᾖ πεφυκότα, μὴ φυτευθέντα ὑπάρχοντα, ἀλλὰ αὐτοφυῆ χλωρὰ καὶ εὐερνῆ καὶ δασέα, σημαίνει ἀφ' ὕδατος αὐτοῖς τὴν τροφὴν ἀναδίδοσθαι. § 26. Διὸ καὶ δεῖ πιστεύοντας τοῖς τοιούτοις σημείοις ὀρύσσειν, ἀποβάντας ἀπὸ τῶν σημείων κατώτερον· ἐὰν ἔχῃ κλίμα ὁ τόπος, ὅθεν ὑπερδεξίους τὰς πηγὰς λαμβάνεις. § 27. Ἡ ἵππουρις ἐκ τοῦ ἐτύμου τὸ ὄνομα ἔσπασεν. Ἔστι γὰρ ὁμοία τῇ τοῦ ἵππου οὐρᾷ, ἔχουσα τὰ φύλλα ταῖς θριξὶν ὅμοια καὶ αὐτὸν τὸν καυλὸν ἀγόμενον ἀπὸ τῆς ῥίζης ὡς ἐπὶ τὸ ἄκρον λεπτότερον. Αὐτὸς δὲ ὁ καυλός ἐστι κενός, ὡς ὁ κάλαμος, ἔχων τὰ ἄρθρα διῃρημένα, ἐξ ὧν ἄρθρων αἱ τριχώδεις φυλλάδες πέφυκαν. Ἐκ τοῦ δὲ εἶναι αὐτὸ σαλπίγγιον προσαγορεύεται. § 28. Βούτομον γίνεται ἐν τοῖς ἕλεσι, φύλλα δὲ φέρει ὅμοια λειρίοις· οἱ βόες αὐτὰ ἡδέως βόσκονται καὶ ἐκβράσσουσι δ' ἐκ μιᾶς ῥίζης οὐ καθ' ἓν ἀλλ' ὡς οἱ θάμνοι. § 29. Πεντάφυλλον ἐκ μιᾶς ῥίζης πολλὰ ἀναφέρει κλωνία καρφοειδῆ, σπιθαμιαῖα, ἐξ ὧν ὁ καρπός. Φύλλα δὲ ἔχει ἐοικότα ἡδυόσμῳ, πέντε καθ' ἕκαστον μίσχον, σπανίως δέ που πλείονα, κυκλόθεν ἐσχισμένα πριονοειδῶς· ἄνθος δὲ ὠχρόν. § 30. Βατράχιον ἢ χρυσάνθεμον φύλλα φέρει ὅμοια σελίνῳ, μείζονα δέ, ἄνθος χρυσίζον· ὅλη δὲ ἡ βοτάνη οὐ μείζων γίνεται δύο παλαιστῶν. § 31. Μαλακόκισσος ὅμοιόν ἐστι κισσῷ, ἁπαλὸν δέ ἐστι τοῖς φύλλοις καὶ τῷ καυλῷ περιπλεκόμενον ὅπου ἂν τύχῃ, διὰ τὸ μὴ δύνασθαι ἑαυτὸ βαστάζειν. Γεννᾶται δὲ μάλιστα ἐν τοῖς καλαμοκόποις καὶ γεώδεσι τόποις. § 32. Κύπειρον, ἥν τινες ζέρναν καλοῦσι, φύλλα ἔχει ὅμοια κάρτῳ, ἀρτιφυῆ ἰσχνά, καὶ καυλίον ὥσπερ σχοίνου, ἰσχνότερον, ἐπ' ἄκρου δὲ σπέρμα ὡς κέγχρου· ῥίζαν, ὡς ὀστᾶ ἐλαίας μέλανα, ἀρωματίζοντα τὴν γεῦσιν. § 33. Τούτων δὲ τῶν καρφέων καὶ βοτανῶν πάντων τῶν προειρημένων σημείοις καταφρονοῦντες οὕτως χρησόμεθα ἐν τόποις τοῖς μὴ ἔχουσιν ὕδωρ, μήτε ἐπίρρυτον, μήτε πηγαῖον, μήτε φρεάτιον. Ὅπου γὰρ ἂν αὗται αἱ βοτάναι φαίνωνται, ὕδωρ ὑπόγειον εἶναι σημαίνουσι. § 34. Καὶ ἐν τῇ θεωρίᾳ, ὅσῳ ἂν μᾶλλον μεμαρασμένα φαίνωνται, ἔγγιον εἶναι τοῦ ἐδάφους τὰ ὕδατα σημαίνουσιν, ἀδύνατα καὶ μὴ παραμόνιμα. Ὅσῳ δὲ μᾶλλον βρίθοντα καὶ χλωρότερα, ὑποκεῖσθαι τὰ ὕδατα βαθύτατα καὶ παραμόνιμα δηλοῦσιν ἀεί. § 35. Δεῖ δὲ καὶ τῶν ἐδαφῶν τὰ γένη συνθεωρεῖν· τὰ μὲν ἀργιλλώδη καὶ κισσηρώδη τῷ γένει, καὶ αὐχμηρὰ τῇ φύσει ὑπάρχοντα, παντάπασιν ἄνυδρά φασιν ὑπάρχειν. § 36. Τὰ δὲ γλοιώδη καὶ πυρώδη καὶ πηλώδη, καὶ μελάγγειά τε λιπαρὰ ὄντα, ψηφιδώδεις τε διαφύσεις ἔχοντα, μὴ ἀπογινώσκειν. § 37. Δεῖ δὲ τὰ ψηφιδώδη μὴ ἀνατεταραγμένα εἶναι ἐν τῇ γῇ, ἀλλὰ κατὰ πλάτος ἐμπεφυκότα, καὶ καθόλου τὰ ἑτεροχρωματοῦντα τῆς γῆς ἀεὶ πλακώδεις ἔχειν δεῖ τὰς συμφύσεις καὶ πυκνάς· μάλιστα δὲ ἔχουσιν αἱ σύνοδοι τῆς γῆς ἀνομοίας τὰς

---

nonnulli malacocisson, hoc est, mollem hederam cognominant, et ficum silvestrem, et salicem ulmumque agrestem, porro equisetum et quinquefolium et ranunculum, quam herbam chrysanthemum vocitant. Et in universum quæcunque enata sunt et non plantata, sed sponte naturæ viridia et florida ac densa, ea indicio sunt alimentum ipsis ab aqua suppeditari. Quapropter ejusmodi signis fidere oportet ac fodere, ab ipsis signis inferius progrediendo, si inclinationem habeat locus, unde fontes aliis uberiores adipisceris. Equisetum ex similitudinis veritate nomen traxit. Est enim simile caudæ equinæ, folia habens setis similia et ipsum caulem prodeuntem a radice usque ad summum, tenuiorem. Verum ipse caulis vacuus est, velut arundo, articulos habens distinctos, ex quibus articulis capillacea folia exoriuntur. At vero ex re ipsa salpingion appellatur. Butomum in paludibus nascitur, folia autem liliis fert similia, grata bubus pabula, quæ ex una pullulant radice, non singulatim, sed instar fruticum. Quinquefolium ab una radice multos ramulos profert festucis similes, dodrantales, ex quibus fructus prodit. Folia habet similia menthæ, quina in singulis pediculis, raro autem alicubi plura, circumcirca ad serræ similitudinem fissa; florem vero pallidum. Ranunculus vel chrysanthemum folia fert apio similia, sed majora, florem aureolum: tota herba duos palmos non excedit. Malacocissus similis est hederæ, mollibus est præditus foliis et cauliculo se circumplicans omnibus quæ ipsum contigerint, quia se ipsum ferre non potest. Nascitur autem maxime in arundinetis et terrenis. Cyperus, quam quidam zernam nominant, folia habet similia porro sectivo, ubi recens nata sunt gracilia, cauliculum velut junci, graciliorem tamen, in cujus vertice semen est velut milii, radicem tanquam ossa oleæ nigra, aromatico sapore insignem. Surculorum igitur herbarumque omnium, de quibus diximus, signa, aquam quærentes, sequemur in iis locis qui neque profluentem, neque fontanam, neque putealem aquam habent. Ubi enim herbæ illæ apparent, ibi aquam subterraneam esse significant. Quin et ubi aspectus earum marcidus apparet, propius solo aquas esse indicant, exiles et instabiles. Quanto autem (herbæ surculique) luxuriosiores et viridiores fuerint, tanto profundiores et stabiliores aquas subesse semper portendunt. At vero et solorum genera contueri oportet. Etenim argillosi et pumicosi generis et quæ horrida sunt natura, omnino aqua carere ajunt. At de glutinosis et igneo colore rubentibus et lutosis et nigræ terræ pinguibus locis calculosasque straturas habentibus non est desperandum. Atqui calculosa non conturbata et confusa in terra esse oportet, sed longe lateque inhærentia et insita, atque in universum terras diversi coloris semper crustosas ac densas concretiones habere necesse est: maxime vero terræ juncturis inæquales sunt concretiones. Cæterum petras nigricantes esse oportet, quæ am-

συμφύσεις. § 38. Δεῖ δὲ καὶ τὰς πέτρας εἶναι ὑπομελανιζούσας, τὰς περιεχούσας τοὺς δοκοῦντας ὕδωρ ἔχειν τόπους, μὴ κατὰ ἰόνθους, ἀλλὰ ἐχούσας τι πορῶδες. § 39. Καὶ ὅσαι δὲ λευκήπειροι, κείμεναι δέ εἰσιν ἐπὶ τῆς γῆς οἵας εἰρήκαμεν, ἔχουσιν ὑπὸ ταῖς πτέρναις, ταῖς ἐν τοῖς ἐδάφεσιν ἐμπεφυκυίαις ὕδατα. Σημαίνει δέ, ἐάν τι περὶ τὰς τοιαύτας καὶ τῶν εἰρημένων πεφυκός. § 40. Καὶ συμφύσεις δὲ αἱ ἀνόμοιοι τῶν πετρῶν ἔχουσιν ὕδατα, κἂν ὦσιν ἐν τοῖς εἰρημένοις κλίμασι κείμεναι. § 41. Ἐν μὲν οὖν τῇ ψηφιδώδει γῇ, καὶ μελαίνῃ καὶ πυκνῇ, καὶ ὁμοίως γλοιώδει, λιβάδας δεῖ πολλὰς καὶ ἐπιπολαίους εἶναι. Διὸ συμφέρει ἐν ταύταις τοὺς ὑπονόμους ὀρύσσειν, ἑπόμενον ταῖς λιβάσιν. Οὕτω γὰρ ἂν πλεῖστον ὕδωρ συνάγοιτο. Ἐν δὲ τοῖς ἀραιοῖς καὶ πετρώδεσι τόποις, κἂν ὁπωσοῦν εὑρεθῶσι πηγαί, ταῖς εὑρεθείσαις ἀρκεῖσθαι. § 42. Δεῖ δὲ σκοποῦντα καὶ ὑδροσκοπεῖσθαι τοιούτῳ τινὶ τρόπῳ. Κατεσκευασμένον ἔχειν μολιβδοῦν ἀγγεῖον, καθάπερ ἡμισφαίριον, χωροῦν ὅσον χοέα, καὶ λαβόντα ἐρίου μαλλοὺς δύο ἢ τρεῖς πεπλυμένους διαξάναντα καλῶς, δῆσαι μέσους λίνῳ, τὸ δὲ λίνον προσκολλῆσαι κηρῷ πρὸς τὸν πυθμένα, ἔσωθεν τοῦ ἀγγείου. § 43. Διακεχρίσθω δὲ καὶ ἐλαίῳ τὸ ἀγγεῖον, καὶ ἐν τῷ τόπῳ ἐν ᾧ διαλάβοι τις ὕδωρ ὑπάρχειν, δεῖ στοχαζομένους τοῖς δεδηλωμένοις σημείοις ὀρύσσειν φρεατίαν, ὅσον ἐπὶ πήχεις τρεῖς καὶ καταστρέψαντα τὸ ἀγγεῖον ἐν τῇ φρεατίᾳ θεῖναι, καὶ περιθέντα καλάμων φύλλα χλωρῶν ἢ ἄλλην τινὰ βοτάνην πάλιν ἐπιχῶσαι τῆς γῆς ὅσον ἐπὶ πῆχυν. § 44. Τοῦτο δὲ ποιεῖν δύνοντος τοῦ ἡλίου καὶ ὄρθρου πάλιν ἀπαμήσαντα τὴν γῆν, καὶ τῶν βοτανῶν ἀφελόντα πραέως, ἀναστρέψαι τὸ ἀγγεῖον καὶ κατανοεῖν. § 45. Ἐὰν γὰρ ὦσι πηγαί, τό, τε ἔριον εὑρήσεις πλῆρες ὕδατος, καὶ τὸ ἀγγεῖον μεστὸν πομφολύγων· συνήσεις δὲ καὶ ποῖόν τι τὸ ὕδωρ ὑπάρχει, τοῦ ἀποπιεσθέντος ἐκ τοῦ μαλλοῦ γευσάμενος. § 46. Εὑρήσεις μέντοι τὸ ἀποπιεσθὲν ἐκ τοῦ μαλλοῦ γλυκύτερον τῆς πηγῆς, διὰ τὸ λεπτομερέστατον καὶ ἐλαφρότατον ἀναθυμιᾶσθαι. § 47. Καὶ περὶ μὲν ὑδροσκοπικῆς αὐτάρκως εἴρηται. (Geopon. lib. II cap. VI.)

3. Ἀγίγαρτον σταφυλήν τινες οὕτω ποιοῦσι. Τοῦ κλήματος μέλλοντος φυτεύεσθαι τοσοῦτον μέρος ὅσον εἰς τὴν γῆν μέλλουσι καταχωννύναι, τοσοῦτον ἠρέμα ἐξ ἴσου σχίσαντες αὐτό, ὠτογλυφίδι τὴν ἐντεριώνην λαμβάνουσιν, εἶτα παπυρίῳ ὑγρῷ περιδήσαντες κατατίθενται. Κάλλιον δέ, εἰ ὅλον τὸ μέρος τοῦ κλήματος τὸ ἐπὶ τῆς γῆς κατατιθέμενον, σκίλλης ἐμβληθείσης κατατεθείη, πρὸς γὰρ τῇ φύσει καὶ τῇ ἑνώσει ἡ σκίλλα συμβάλλεται. Ἄλλοι δὲ αὐτὰς τὰς ἀμπέλους τὰς ἤδη καρποφορούσας τέμνουσι καὶ ὠτογλυφίδι τοῦ καρποφοροῦντος κλήματος τὴν ἐντεριώνην λαμβάνουσιν, ὅσον δύνανται ἐκ βάθους, οὐ διασχίσαντες τὸ κλῆμα, ὡς προδεδήλωται, ἀλλὰ ἀκέραιον ἐάσαντες, καὶ ὀπὸν Κυρηναϊκὸν ἀνέντες ὕδατι, καὶ εἰς πάχος ἑψήματος ποιήσαντες ἐγχυματίζουσι, καὶ ἀνορθώσαντες τὰ κλήματα πρὸς χάρακας ἀναδεσμοῦσιν, ἵνα μὴ ὁ ὀπὸς ἐκρυῇ. Κατὰ δὲ ὀκτὼ ἡμέρας τὸν ὀπὸν ἐγχυματίζουσι τῷ

---

biunt locos qui videntur aquam continere, non varorum instar, sed aliquid foraminatum habentes. Quin et quæ albam terram admixtam gerunt ac sitæ sunt in terra, qualem memoravimus, sub ipsis radicibus solo innatis aquas habent. Aquas vero indicat aliquid herbarum, de quibus diximus, iis agnascens. Porro inæquales petrarum concretiones aquas continent, modo sint in regionibus de quibus diximus sitæ. In calculosa igitur terra nigraque ac densa et similiter glutinosa latices multos et in superficie esse oportet. Quapropter in his cuniculos fodere conducit, ita ut latices sequamur. Hoc enim modo plurimum aquæ congregabitur. At in raris et petrosis locis qualescunque reperiantur fontes, inventis contentos esse decet. Cæterum aquæ vestigatorem etiam tali quopiam modo aquam scrutari convenit. Habeat igitur præparatum vasculum plumbeum hemisphæricum, congii capax sumatque lanæ hapsos molles duos aut tres lotos ac probe carptos, eosque lino obliget, ipsum vero lini filum intra vas ad fundum ejus cera agglutinet. Sed et oleo vas illinatur et in loco, ubi quis aquam esse suspicetur, conjectura facta ex ostentis antea signis, puteus effodiatur altitudine cubitorum trium, in quo vas subversum ponatur, et circumpositis arundinum foliis viridibus, aut alia quapiam herba, rursus ad cubiti mensuram terra aggeratur. Id ipsum vero sole occidente faciendum est, mane vero rursus terra auferatur et herbis leniter amotis vas invertatur ac consideretur. Si enim fuerint fontes, lanam plenam aquæ reperies et vasculum plenum bullarum : cognosces autem et qualis ipsa aqua sit, si ex lana expressam gustaveris. Reperies tamen expressam ex lana dulciorem ipso fonte, propterea quod tenuissimum et levissimum exhalatur. Et de aquæ quidem investigatione satis dictum est.

3. Uvam sine vinaceis quidam sic faciunt. Sarmenti, quod plantaturi sunt, tantam partem quanta terra obruenda est leniter ex æquo findunt et auriscalpio medullam omnem eximunt, deinde papyro humida obligatum sarmentum deponunt. Præstat tamen, totam sarmenti partem, quæ in terra deponitur, scilla injecta deponere : scilla enim tum ad generandum tum ad conjungendum valet. Alii ipsas vites jam fructiferas incidunt et sarmenti fructiferi medullam auriscalpio tollunt, quantum fieri potest eam ex alto eximentes, sarmento non fisso, ut est indicatum, sed integro manente, et laseris Cyrenaici succum aqua dissolutum et ad sapæ spissitudinem redactum infundunt, et erecta sarmenta ad ridicas alligant, ne succus effluat. Deinde autem octavo quoque die succum eundem sarmento infundunt,

κλήματι, ἕως ἂν βλαστήσῃ. Τὸ δὲ αὐτὸ ποιήσεις καὶ ἐπὶ καρύας καὶ κερασέας, εἰ βούλει ἀγίγαρτον ποιῆσαι. (Geopon. lib. IV, cap. VII.)

4. Δεῖ πρὸς τὴν τῶν τόπων ἁρμόζεσθαι φύσιν ἀεί. Ἐὰν γὰρ θερμὸς ὁ τόπος ᾖ, τὰ πρὸς ἄρκτον νεύοντα φυτεύσομεν, ἐὰν δὲ ψυχρότερος, τὰ πρὸς μεσημβρίαν, ἐὰν δὲ μέσος καὶ εὔκρατος, τὰ ἀνατολικὰ καὶ δυτικὰ κάλλιον· μᾶλλον μέντοι τὰ ἀνατολικά, εἰ μὴ ἐνοχλοῖτο ὑπὸ τοῦ Εὔρου. Ἐνίοτε δὲ τὰ δυτικὰ ἔσται αἱρετώτερα μᾶλλον, ὅταν μακρὰν ὄντα τῆς θαλάσσης ἐπιπνέοντα ἔχῃ τὸν ζέφυρον. Καθόλου δὲ τοῖς μὲν χλιαρωτέροις τόποις οἱ ἀρκτῷοι ἄνεμοι ἐπιτήδειοι, τοῖς δὲ ψυχεινοῖς οἱ νότιοι. (Geopon. lib. V cap. IV.)

5. Οἱ παραθαλάσσιοι τόποι σφόδρα εἰσὶν ἐπιτήδειοι πρὸς ἄμπελον διά τε τὴν θερμότητα καὶ διὰ τὸ λεληθότως τὴν ὑγρασίαν ἀνατρέχουσαν ἐκ τῆς θαλάσσης τρέφειν τὰ φυτά. Καὶ οἱ θαλάσσιοι δὲ ἄνεμοι ταῖς ἀμπέλοις εἰσὶ χρησιμώτατοι. Δοκεῖ δὲ τοῖς πολλοῖς ποταμὸν γείτονα καὶ μᾶλλον ἑλώδη μὴ ἔχειν διά τε τὴν ἀχλὺν καὶ τὴν ψυχρὰν αὖραν, ἀναπνέουσι γὰρ ἐντεῦθεν συνεχῶς· καὶ συνεπίστανται ἐρυσίβαι, τὴν ἄμπελον καὶ τὰ σπόριμα καταβλάπτουσαι, καὶ βλαβερὸν τὸν ἀέρα ποιοῦσαι. Διὸ δεῖ ἐπιμελῶς τὰ ἕλη κατὰ τὸ δυνατὸν περιαιρεῖν, εἰδέναι δὲ χρή, ὅτι ὅσαι βλάπτεσθαι εἰώθασιν ἄμπελοι ὑπὸ ἀνέμων τοιούτων, ἢ ὁμίχλης, ἢ ἐρυσίβης, τούτοις ἐπιταθεῖσαι οὐ βλαβήσονται, τουτέστι δενδρίτιδες γενόμεναι. (Geopon. lib. V cap. V.)

6. Φασὶ γὰρ οἱ περὶ Δημόκριτον καὶ Ἀφρικανόν, ἐξ μόνας ἡμέρας καὶ οὐ πλείους καλῶς διαμένειν πεπανθεῖσαν τὴν σταφυλήν. (Geopon. lib. V cap. XLV, 2.)

7. Δημόκριτος δέ φησι, ῥοιὰν καὶ μυρσίνην ἀλλήλαις χαίρειν, καὶ πλησίον ἀλλήλων παραπεφυτευμένας εὐφορήσειν καὶ τὰς ῥίζας ἀλλήλαις συμπλέκειν, κἂν μὴ σφόδρα ἐγγὺς οὖσαι τυγχάνωσι. (lb. X, 29, § 5.)

8. Δημόκριτος δέ φησιν, ὡς ἔνδοθεν τοῦ θριγκοῦ τὴν κυπάρισσον δεῖ φυτεύεσθαι, ἵνα κατ' ἀμφότερα εἰς τέρψιν καὶ περιφραγὴν γένηται. (lb. XI, 5, § 4.)

9. Δημόκριτος δέ φησιν, ὡς ὁ καρπὸς τῆς ἰτέας λειούμενος καὶ ταῖς τῶν κτηνῶν τροφαῖς μιγνύμενος ταῦτα λιπαίνει, ἐκπινόμενος δὲ λειανθεὶς ἀνθρώπους ἀγόνους ποιεῖ, ἐξ οὗ φησι καὶ Ὅμηρος·

Κλῆθροί τ' αἴγειροί τε καὶ ἰτέαι ὠλεσίκαρποι.

(Geopon. lib. XI cap. XIII, 2.)

10. Τὸ δενδρολίβανον ἡδεῖαν καὶ βαρεῖαν τὴν ὀδμὴν ἔχει, ὡς ὁ Δημόκριτός φησι. (lb. XI, 16.)

11. § 21. Ἰόβας μὲν ὁ βασιλεὺς Λιβύων ἐν λάρνακι ξυλίνῃ φησὶ δεῖν ποιεῖσθαι μελίσσας· Δημόκριτος δὲ καὶ Βάρων ἐν Ῥωμαΐᾳ γλώσσῃ ἐν οἴκῳ φασὶ ποιεῖσθαι, ὅπερ ἐστὶ καὶ ἄμεινον. § 22. Ὁ δὲ τρόπος οὗτος· Οἶκός σοι ἔστω ὑψηλός, δεκαπηχυαῖος, καὶ εὖρος πηχῶν ι', καὶ ταῖς λοιπαῖς πλευραῖς ἴσος. Εἴσοδος δὲ εἰς αὐτὸν περιποιείσθω μία, καὶ θυρίδες δ', ἐν ἑκάστῳ τοίχῳ μία. § 23. Εἰς τοῦτον οὖν ἀγαγὼν βοῦν τριακοντάμηνον, εὔσαρκον, λιπαρὸν μάλιστα, περίστησον αὐτῷ νεανίας πολλούς, καὶ τυπτέτωσαν αὐτὸν ἰσχυρῶς, καὶ τύπτοντες αὐτὸν ῥοπάλοις ἀποκτεινάτωσαν, ὁμοῦ ταῖς σαρξὶ τὰ ὀστέα συναλοῦντες. § 24. Φυλακὴν δὲ ἐχέτωσαν τὸ μὴ αἱμάξαι

donec germinet. Idem facies et in juglandibus ac cerasis, si et harum fructus sine granis ac nucleis nasci velis.

4. Oportet semper locorum naturæ (sationem) aptari. Si enim calidus fuerit locus, partes ad septentrionem spectantes conseremus; si frigidior, meridianas; si medius et temperatus, orientales et occidentales obserere præstiterit, magis tamen orientales, nisi Euro infestentur. Nonnunquam vero et occidentales potiores erunt, quando a mari longe remotæ Favonio afflantur. In universum autem tepidioribus locis septentrionales venti commodi sunt, frigidis austrini.

5. Maritimi loci vitibus valde apti sunt, tum ob calorem, tum ob humorem qui latenter e mari elabens plantas nutrit. Sed et venti marini vitibus sunt imprimis commodi. Plerisque placet fluvium vicinum non esse habendum multoque minus paludem, et ob nebulas et ob frigidas auras, inde enim assidue spirant; simulque exsurgit robigo vitem et sata lædens et noxium aerem reddens. Quapropter oportet paludes, quantum fieri potest, diligenter circumcirca tolli, præterea scire expedit, quæcunque vites ventis ejusmodi, aut nebula, aut robigine lædi consueverint, adversus ista extentas, id est arboribus maritatas non lædi.

6. Ajunt enim Democritus et Africanus, sex tantum dies ac non plures integram manere uvam maturam.

7. Democritus ait, arborem punicam et myrtum invicem gaudere et juxta plantatas fructu abundare ac radices mutuo implicare, etiamsi non valde vicinæ sint.

8. Democritus intra sepem plantandam esse cupressum ait, ut et ad delectationem et ad sepimentum ac quasi munimentum nascatur.

9. Democritus ait, fructum salicis tritum et pabulo pecorum admixtum ipsa pinguefacere, tritum autem atque potatum homines steriles et procreandis liberis impares reddere, unde apud Homerum:

Alni et populi nigræ et salices frugiperdæ.

10. Ros marinus jucundum et gravem odorem habet, ut ait Democritus.

11. Juba Libyum rex in arca lignea apes fieri vult; Democritus vero et Varro, qui Romana lingua scripsit, in domo faciendas esse ajunt, quod etiam melius est. Modus autem hic est. Domus sit tibi alta decem cubitos, latitudinis item cubitorum decem, paribus denique reliquis lateribus. Ostium in ea fiat unum et fenestræ quattuor, in singulis lateribus una. In hanc domum introducas bovem triginta mensium, carnosum, valde pinguem, eique circumdes juvenes multos qui fortiter verberatum fustibus occidant, una cum carnibus ipsa etiam ossa comminuentes; diligenter autem caveant, ne quid bovis cruentent (non

τι τοῦ βοός, (οὐ γὰρ ἂν ἐξ αἵματος κυηθείη ἡ μέλισσα, ταῖς πρώταις πληγαῖς μὴ βιαίως ἐμπεσόντες. § 25. Εὐθὺς δὲ ἀποπεφράχθω πᾶς τοῦ βοὸς πόρος ὀθόναις καθαραῖς καὶ λεπταῖς πίσσῃ κεχρισμέναις· οἷον ὄμματα, καὶ ῥῖνες, καὶ στόμα, καὶ ὅσα τῇ φύσει πεποίηται εἰς κένωσιν ἀναγκαίαν. § 26. Ἔπειτα θύμον ὑποστρώσαντες πολὺν καὶ ὕπτιον ἐπ' αὐτοῦ καταθέντες τὸν βοῦν, ἐξελθόντες τοῦ οἴκου εὐθὺς τὴν θύραν καὶ τὰς θυρίδας ἐπιχρισάτωσαν πηλῷ στεγανῷ, ὡς μήτε ἀέρι, μήτε ἀνέμῳ εἴσοδον ἢ διάπνευσιν ἥντιναοῦν εἶναι. § 27. Τρίτῃ δὲ ἑβδομάδι χρὴ πάντοθεν ἐξανοίξαντα εἰσεᾶσαι φῶς τε καὶ ἀέρα καθαρόν, πλὴν ὁπόθεν ἂν κατίῃ σφοδρὸν πνεῦμα· εἰ γὰρ ὧδε ἔχοι, τὴν κατὰ τοῦτο εἴσοδον κεκλεισμένην χρὴ ἐᾶσαι. § 28. Ἐπὰν δὲ δόξωσιν ἐμψυχοῦσθαι αἱ ὕλαι, πνεῦμα αὐταρκὲς ἐπισπασάμεναι, αὖθις χρὴ συγκλεῖσαι τῷ πηλῷ κατὰ τὴν προτέραν χρίσιν. § 29. Ἑνδεκάτῃ δὲ μετὰ ταύτην τὴν ἡμέραν ἀνοίξας εὑρήσεις πλήρη μελισσῶν βοτρυδὸν ἐπ' ἀλλήλαις συνηγμένων, καὶ τοῦ βοὸς λειπόμενα τὰ κέρατα καὶ τὰ ὀστᾶ, καὶ τὰς τρίχας, ἄλλο δὲ μηδέν. § 30. Φασὶ δὲ ἐκ τοῦ ἐγκεφάλου γίνεσθαι τοὺς βασιλέας, ἐκ δὲ τῶν σαρκῶν τὰς ἄλλας μελίσσας (γίνονται δὲ καὶ ἐκ τοῦ νωτιαίου μυελοῦ βασιλεῖς)· κρατιστεύειν μέντοι τοὺς ἐκ τοῦ ἐγκεφάλου μεγέθει τε καὶ κάλλει, καὶ ῥώμῃ τῶν ἄλλων. § 31. Τὴν δὲ πρώτην τροπὴν καὶ μεταβολὴν τῶν σαρκῶν εἰς ζῶα καὶ οἱονεὶ κύησίν τινα καὶ γένεσιν καθιστορήσεις ἐντεῦθεν. § 32. Ἀνῳκισμένου γὰρ τοῦ οἴκου, μικρὰ καὶ λευκὰ τὸ εἶδος, καὶ ἀλλήλοις ὅμοια, καὶ οὐ τέλεια, οὔτε ἤδη πάντῃ ζῶα περὶ τὸν μόσχον πληθύνοντα ὄψει· ἀκίνητα μὲν πάντα, κατὰ μικρὸν δὲ αὐξανόμενα. § 33. Ἴδοις δ' ἂν καὶ τὴν πτεροφύησιν ἤδη διαρθρουμένην, τήν τε οἰκείαν χροιὰν λαμβανούσας καὶ περικαθεζομένας τὸν βασιλέα, καὶ προσπετωμένας· βραχύτερον δὲ καὶ ὑποτρεμούσαις ταῖς πτέρυξι διὰ τὴν ἀήθειαν τῆς πτήσεως καὶ τὴν τῶν μελῶν ἀτονίαν. § 34. Προσιζάνουσι δὲ ταῖς θυρίσι ῥοιζηδόν, ὠθοῦσαι καὶ βιαζόμεναι ἀλλήλας, πόθῳ τοῦ φωτός. § 35. Ἄμεινον δὲ τὰς ἀνοίξεις καὶ ἀποφράξεις τῶν θυρίδων, καθὼς εἴρηται, παρ' ἡμέραν ποιεῖσθαι· δέος γάρ, μὴ μεταβάλλωνται ἤδη τὴν τῶν μελισσῶν φύσιν διὰ τὴν πλείω σύγκλεισιν. § 36. Τοῦ γὰρ σταβλίου κατὰ καιρὸν τὸν ἀέρα μὴ λαμβάνοντος, ὥσπερ πνιγμῷ διόλλυνται. § 37. Τοῦ δὲ οἴκου ὁ μελισσὼν ἐγγὺς ἔστω, καὶ ὅταν ἐκπετάσωσιν ἀνοιγομέναις ταῖς θυρίσιν, ὑποθυμία θύμου τε καὶ κνεώρου. § 38. Τῇ γὰρ ὀσμῇ ἑλκύσεις αὐτὰς εἰς τὸν μελισσῶνα, τεθεραπευμένας ὀσμαῖς ἀνθῶν. Ταῦτα γὰρ θυμιῶν οὐκ ἀκούσας εἰσελάσεις. Χαίρουσι γὰρ μέλισσαι τῇ εὐωδίᾳ καὶ ἄνθεσιν, ὡς εἰκότως εἶναι μέλιτος δημιουργούς. (Geopon. lib. XV cap. II, 21–38.)

12. Δημόκριτος δὲ ἐρωτηθείς, πῶς ἂν ἄνοσοι καὶ μακραίωνες γίγνοιντο οἱ ἄνθρωποι, εἶπεν, Εἰ τὰ μὲν ἔξωθεν τοῦ σώματος ἐλαίῳ, τὰ δὲ ἔνδοθεν μέλιτι χρίσαιντο. (Geopon. lib. XV cap. VII, 6.)

13. Περὶ λαγωῶν. Ὅτι ὁ αὐτὸς ποτὲ μὲν ἄρρην, ποτὲ δὲ θῆλυς γίνεται, καὶ μεταβάλλει τὰς φύσεις, καὶ ποτὲ μὲν ὡς ἄρρην γονοποιεῖ, ποτὲ δὲ ὡς θῆλυς τίκτει. (Geopon. lib. XIX cap. IV.)

---

enim ex sanguine apis nascatur), primis plagis non violenter in eum irruentes. Statim vero obturentur omnia bovis foramina linteis puris ac tenuibus pice oblitis, velut oculi, nares et os, et quæ a natura factæ sunt partes ad egestionem necessariam. Deinde multo thymo substrato boveque supino ei superposito, domo egressi, statim januam et fenestras luto denso oblinant, ne aeri ventoque ullus ingressus aut perflandi locus sit. Tertia autem hebdomade undique domum aperiri et lumen aeremque purum admitti oportet, excepta ea parte, unde vehemens ventus spirat; quodsi ita se habet, aditum ex ea parte clausum relinqui opus est. At postquam materiæ visæ fuerint animari et spiritum sufficientem hausisse, rursus domunculam claudi et luto sicut prius oblini convenit. Undecimo deinde post hunc diem ubi aperueris domum, invenies plenam apibus uvarum instar inter se coagmentatis, et ex bove cornua reliqua et ossa ac pilos, sed præterea nihil. Ajunt ex cerebro gigni reges, ex carnibus vero cæteras apes (nascuntur autem et ex medulla spinali reges); præstare tamen omnibus aliis ex cerebro natos et magnitudine et pulchritudine et robore. Primam porro conversionem mutationemque carnium in animalia et quasi conceptionem quandam ac generationem inde cognosces. Etenim statim postquam exstructa domus est, parva quædam et alba specie, inter seque similia, et non perfecta, neque jam omnino animalia, circa vitulum plurima videbis, immobilia quidem omnia, paulatim vero augescentia; animadvertes etiam alarum proventum jam articulis distinctum et apes proprium colorem accipientes, circumsedentesque regem et advolantes, sed brevius et paululum trementibus alis propter volandi insolentiam et membrorum infirmitatem. Assident autem fenestris cum murmure, impellentes et urgentes se invicem, lucis desiderio captæ. Præstat tamen aperire et obturare fenestras, eo quo dictum est modo, interdiu: ne forte apum natura ob longiorem conclusionem mutetur. Stabulo enim in tempore aerem non excipiente, velut suffocatione pereunt. Cæterum prope domum sit apiarium, et quum fenestris apertis (volandi causa alas) extenderunt, suffito thymo atque cneoro. Odore enim pertrahes ipsas in apiarium, allectas odoribus florum. Quippe his suffiendo non invitas intro pellicies. Namque odoris suavitate et floribus gaudent apes, ut merito sint mellis opifices.

12. Democritus interrogatus, quomodo homines nullo morbo affecti longissima vita perfrui possent: Si externas, inquit, corporis partes oleo, internas melle illinerent.

13. De leporibus. Idem lepus aliquando quidem mas, aliquando vero femina fit et naturas commutat, atque interdum ut masculus generat, interdum ut femina parit.

DE FRAGMENTIS SPURIIS.

Quum de omni fragmentorum genere difficile est judicare, ut genuina a supposititiis discernamus, tum de Democriti librorum fragminibus difficillimum, cujus in præceptis moralibus, si cum reliqua philosophi doctrina comparentur, inconstantiam quandam jam supra attigimus. Quare nisi certam judicandi normam animo informaveris, facile in hac materia in fraudem incidere possis. Quod Meinersio accidisse diximus, qui quum Democritum in rebus divinis constare sibi vellet, non solum præclara illa fragmenta quibus secundum et centesimum septimum locum dedimus, Abderitæ abjudicavit, sed alia etiam non satis intellecta e Democriteorum operum reliquiis expunxit. Hujusmodi est sententia nonagesima secunda, quam spuriam esse contendit collatis octogesima quinta et centesima nonagesima quinta. At præceptum nonagesimum secundum quo homines monet Democritus, ne quid ultra vires suscipiant, nequaquam adversatur cæteris duobus locis. His enim magistratus et honores regumque amicitia tanquam res expetendæ commendantur propter utilitatem quæ inde in hominum vitam redundet, ac præterea ars bellica laudatur iique labores quibus clarum nomen soleat parari. Mitto cætera quæ molestum est enumerare. Sed alia sunt ad quæ caute secernenda animum ille minime appulit. Ferebantur apud veteres sententiæ ἐκ τῶν Δημοκρίτου, Ἐπικτήτου καὶ Ἰσοκράτους in unum corpus redactæ. Qui hoc sententiarum corpus post Stobæum (1) condidit, auctoris nomen singulis effatis non videtur apposuisse, ita ut non perspiceretur, quæ essent Democriti, quæ Epicteti, quæ Isocratis. Quo factum est ut Antonius et Maximus qui hoc volumine usi sunt arbitratu suo aut libidine unum ex illis tribus singulorum apophthegmatum auctorem perhiberent, vel eorum omnium nomina adjicerent. Adde quod Democriti dicta ex ionico in communem sermonem conversa jam inveniebant vel ipsi convertebant, ita ut posteris judicandi difficultas augeretur. Inde etiam est, quod sententiam νόμῳ καὶ ἄρχοντι καὶ σοφωτέρῳ εἴκειν κόσμιον, quam Stobæus Flor. V, 23 Democrito vindicat, Antonius et Maximus pag. 149 Isocrati et pag. 452 Epicteto ascribunt. Itaque magna opus est cautione, ne quæ apud Antonium et Maximum leguntur Democriti, Epicteti et Isocratis fragmenta, ea uni ex illis tribus temere assignemus. Confugiendum enim semper est ad Stobæi aliorumque veterum qui fide digni sunt auctoritatem. Id non perpetuo fecisse Orellium mox manifestum erit qui, quæ ejus negligentia fuit, aliena sæpenumero pro Democriteis publicavit. Quapropter cum Burchardo multa rejicio, Democritea Orellio visa, ita tamen, ut pauca quædam ex iis quæ alter obelo jam confixerat quæque in præcedentibus jam tractata sunt, Democrito reddam. Ponam igitur fragmenta quæ partim ut aliena ex Orellianis opusculis ejicienda sunt, partim ut suspecta Democrito a cautioribus tribui nequeunt.

1. Σφόδρα εὐάλωτόν ἐστιν ἡ πονηρία.
Εἰς γὰρ τὸ κέρδος μόνον ἀποβλέπουσ' ἀεὶ
Ἀφρόνως ἅπαντα καὶ προπετῶς συμπείθεται.

Legitur ap. Stob. Flor. II, 1; nr. 2 ap. Orellium, qui ipse jam conjecit hoc fragmentum non esse Democriti Abderitæ. Demetrii nomen præpositum habet in Dictis poetarum e Stobæo ab Hug. Grotio editis. Eundem Demetrium auctorem agnoscunt codd. nuper collati.

2. Ἀδικείτω μοι πλούσιος καὶ μὴ πένης·
ῥᾷον φέρειν γὰρ κρειττόνων τυραννίδα.

Corrupti hi versus ad Democritum auctorem male referuntur in Corpore sententiarum Frobeniano pag. 208, cujus hæc est inscriptio : Callimachi hymni cum scholiis. Accedunt sententiæ ex diversis poetis, oratoribus et philosophis collectæ. Basileæ 1532, 4. Tribuuntur Menandro ap. Anton. et Max. p. 213, ubi scriptum est ἀδικείτω με.

3. Ὅστις σῶμα θεραπεύει τὸ ἑαυτοῦ, οὐχ ἑαυτὸν θεραπεύει· ὅστις χρήματα, οὐθ' ἑαυτὸν οὔτε τὰ ἑαυτοῦ, ἀλλ' ἔτι πορρωτέρω τῶν ἑαυτοῦ. Stob. Flor. XVIII, 37; ap. Orell. n. 51. Fragmentum hoc attica dialecto confectum non Democriti, sed Platonis esse complurium codd. consensu exploratum habemus.

4. Πολυμαθίη κάρτα μὲν ὠφελέει, κάρτα δὲ βλάπτει τὸν ἔχοντα· ὠφελέει μὲν τὸν δεξιὸν ἄνδρα, βλάπτει δὲ τὸν ῥηϊδίως φωνεῦντα πᾶν ἔπος καὶ ἐν παντὶ δήμῳ. Χρὴ δὲ καιροῦ μέτρα εἰδέναι· σοφίης γὰρ οὗτος ὅρος. Οἳ δὲ ἔξω καιροῦ ῥῆσιν μουσικὴν πεπνυμένως ἀείσωσι, οὐ παραδέχονται ἐν ἀργίῃ γνώμην, αἰτίαν δὲ ἔχουσι μωρίας. Stob. Flor. XXXIV, 19 sqq. Orell. n. 60.

(1) Huic opinioni fortasse obstat Cod. Flor. Stob. p. 434, non item vulgatus Stobæi textus.

Valckenarius et Jacobsius hoc fragmen propterea quod ionice scriptum est aut Democriti aut Eusebii Neoplatonici esse volebant. At Anaxarchi Abderitæ est, quem auctorem nominant nonnulli codd. Stobæi l. c. Eidem auctori adscribitur in cod. Florent. Stob. p. 411 his verbis : Ἡράκλειτος μὲν ἔλεγε, πολυμάθειαν νοῦν μὴ ἐμποιεῖν, Ἀνάξαρχος δέ, πολυμάθειαν κάρτα μὲν ὠφελεῖν, κάρτα δὲ βλάπτειν.

5. Ἔξεστι οὐ πολλὰ τῶν σφετέρων ἀναλώσαντας παιδεῦσαί τε τοὺς παῖδας καὶ τεῖχός τε καὶ σωτηρίην περιβαλέσθαι τοῖσί τε χρήμασι καὶ τοῖσι σώμασι αὐτέων. Stob. Flor. LXXXIII, 26; ap. Orell. n. 91. Quum in membranis nonnullis Democriti nomen hoc loco desit, in aliis tota sententia desideretur ac præterea sensus hujus fragmenti vix conciliari possit cum Democriteo de puerorum institutione judicio, merito videtur Burchardus fragmen istud Democrito abjudicasse. Quippe nihil minus placebat Democrito quam quod hîc dicitur : *Licet pueros non magno sumtu ita instituere, ut pariter eorum fortunis atque corporibus quasi muro addito salutem præstemus.* Ipse enim non tam corporis quam animi bona spectare solebat (cf. fragm. 127, 128 seqq.), divitiarum autem contemtor fuisse existimandus est, ut qui uno doctrinæ desiderio flagrans sumptuosis itineribus totum patrimonium profuderit.

6. Τὰς μὲν γραμμὰς ἀσφαλεστέρας, τὰς δὲ πράξεις λαμπροτέρας ἔχειν δεῖ. Anton. et Max. p. 35; ap. Orell. n. 124. Eadem sententia exstat inter Demophili Similitud. Pythag. n. 52 Orell. opusc. tom. I pag. 10; sed ibi scriptum est γραφάς. Quum autem Demophilus incertæ ætatis scriptor qui similitudines ac sententias Pythagoricas collegit, majore videatur usus esse opere, ex quo Stobæus, Antonius Melissa et Maximus monachus haud paucas sententias Pythagoræ, Socratis, Plutarchi aliorumque nominibus inscriptas suis anthologiis inseruerunt (cf. Orell. præfat. ad Opusc. p. VII), probabile est Democriti nomen fortasse e scripturæ mendo ortum apud Antonium et Maximum expungendum esse.

7. Θεοῦ ἄξιόν σε ποιήσει τὸ μηδὲν ἀνάξιον αὐτοῦ πράττειν. Anton. et Max. p. 35; ap. Orell. n. 125. Hæc sententia cum doctrina Democritea conciliari non potest.

8. Οὕτως πειρῶ ζῆν, ὡς καὶ ὀλίγον καὶ πολὺν χρόνον βιωσόμενος. Anton. et Max. p. 35; ap. Orell. n. 126. Ascribendum est hoc apophthegma Bianti, ut testificantur Diog. Laert. I, 87 et Stob. Flor. V, 27.

9. Δύο ἀφορμαὶ κινοῦσιν ἄνθρωπον εἰς θεοῦ ἐπιμέλειαν, τιμωρία δυσσεβείας καὶ γνώμης εὐσεβοῦς ἀμοιβαί. Anton. et Max. p. 37; apud Orell. n. 127.

10. Ἀφόρητος γίνεται κακία ἐπαινουμένη. Anton. et Max. p. 37; ap. Orell. n. 128. Hæc et præcedens sententia in nonnullis codd. Democriti, in aliis Sexti nomen præfixum habet. Si utraque eidem philosopho attribuenda est, prior satis probat, neutram Democriti esse posse. Burchardus quid de hac re statueret, nescivit, ut qui pag. 10 priorem sententiam Democriti esse dixerit, pag. 55 eandem illi abjudicaverit.

11. Εὐλαβοῦ τὰς διαβολάς, κἂν ψευδεῖς ὦσιν· οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσι. Anton. p. 261; ap. Orell. n. 132. Hoc fragmentum sumtum est ἐκ τῶν Δημοκρίτου, Ἐπικτήτου καὶ Ἰσοκράτους. Hoc loco Antonius Democritum ejus auctorem citat, sed pag. 258 cum Maximo auctorem Isocratem nominat, cui et Stobæus Flor. XLII, 7 tribuit. Neque injuria; exstat enim in Isocrat. ad Demonic. admon. pag. 5 ed. Steph. (pag. 7 ed. Bekker; ap. Orell. Opusc. II p. 24).

12. Εἰ μὲν ἦν μαθεῖν, ἃ δεῖ παθεῖν καὶ μὴ παθεῖν, καλὸν τὸ μαθεῖν· εἰ δὲ παθεῖν, τί δεῖ μαθεῖν; παθεῖν γὰρ χρή. Anton. et Max. p. 313. Hæc non Democritus scripsit, sed vel sophista aliquis vel sophisticæ dictionis amator. In cod. Parisiensi 1630 p. 192 eadem verba plenius sic leguntur : Εἰ μὲν ἦν μαθεῖν, ἃ δεῖ παθεῖν, καὶ μὴ παθεῖν, καλὸν τὸ μαθεῖν· εἰ δὲ παθεῖν δεῖ, ἃ δεῖ μαθεῖν, τί δεῖ μαθεῖν; παθεῖν γὰρ χρή. Tum interjecto nomine nescio quo, quod non amplius legi potest, hæc subjiciuntur : μαθεῖν μὲν ἐκ τοῦ παθεῖν καὶ τῶν πάντη ἐστὶν ἀμαθῶν, μαθεῖν δὲ καὶ χωρὶς τοῦ παθεῖν τῶν φρονίμων. Cf. Boissonad. ad Nicet. Eugenian. Amor. lib. III n. 194 tom. II p. 182. Neque tamen negaverim fieri posse, ut talia in libro aliquo Democritico olim fuerint iis locis, ubi sophistas λεξειδίων θηράτορας, ἐριδαντέας καὶ ἱμαντελικτέας deridendos sibi sumsisset philosophus. Sed in tanta rei ambiguitate nihil certi affirmo.

13. Κόλαζε κρίνων ἀλλὰ μὴ θυμούμενος. Anton. et Maxim. p. 329; ap. Orell. n. 142.

14. Οἱ θυμοὶ καθάπερ αἱ κύνες τυφλὰ τίκτουσιν ἐγκλήματα. Anton. et Max. p. 329; ap. Orell. n. 143. Utrique fragmini in membranis additur lemma Δημοκρίτου (Δημοκράτους) ἤτοι Δημώνακτος. Prius fragmen quum trimeter iambicus sit, ad Democritum auctorem referri nequit. Posterius, utpote ad idem lemma pertinens, pariter Abderitano philosopho abjudicandum est.

15. Πονηρὰ φύσις ἐξουσίας ἐπιλαβομένη δημοσίας ἀπεργάζεται συμφοράς. Anton. p. 520; ap. Orell. n. 149. Hoc fragmentum Stobæus Flor. XLIII, 35 Æschini vindicat, apud quem legitur Orat. adv. Ctesiph. pag. 74. ed. Steph. (p. 431 ed. Bekk.)

his verbis : οὕτως, ὡς ἔοικε, πονηρὰ φύσις μεγάλης ἐξουσίας ἐπιλαβομένη δημοσίας ἀπεργάζεται συμφοράς.

16. Ὅταν αἰτιᾶται δικαστὴς κρινόμενον, ἀνάγκη σιωπᾶν. Ap. Orell. n. 151.

17. Ἄριστος κριτὴς ὑπονοείσθω ὁ ταχέως μὲν συνιείς, βραδέως δὲ κρίνων· θάτερον μὲν οὖν εὐνοίας, θάτερον δὲ ἀκριβείας. Ap. Orell. n. 152.

18. Ἀσκέπτως οὐ δεῖ προπετεῖν ἐν τῷ κρίνειν, ἔμπροσθεν δὲ βουλεύεσθαι, μηδὲ σπεύδειν τῷ λογισμῷ, παρ' ὃ δεῖ λέγειν, ἀλλὰ βραδύνοντάς τε καὶ μέλλοντας, τὴν ὁρμὴν ἀκριβῶς πεπονημένους καὶ μὴ πρὸς χάριν μεταβάλλεσθαι· ἧττον γὰρ τοῦ ἀβούλου τὸ εὐμετάβολον καὶ τοῦ προπετοῦς τὸ κοῦφον. Ap. Orell. n. 153.

19. Οὐχ οὕτω τὸν τῶν γραμμάτων χαρακτῆρα ὀρθοῦν δεῖ, ὡς τὸν τῶν πραγμάτων τηρεῖν· ἡ γὰρ κακὴ κρίσις παντὸς κακοῦ αἰτία. Ap. Orell. n. 154. Hæc omnia fragmenta, quæ apud Anton. p. 547 exstant, ob præceptorum jejunitatem, qua valde differunt a Democriteis per Stobæum aliosque auctores fide dignos servatis, non Democriti, sed posterioris aretalogi esse reor. Idem fere Burchardi de iisdem fuit judicium.

20. Τὰς μὲν πόλεις ἀναθήμασι, τὰς δὲ ψυχὰς μαθήμασι δεῖ κοσμεῖν. Anton. et Max. p. 704; ap. Orell. n. 156.

21. Ταῖς μὲν πόλεσι τὰ τείχη, ταῖς δὲ ψυχαῖς ὁ ἐκ παιδείας νοῦς κόσμον καὶ ἀσφάλειαν παρέχεται. Anton. et Max. p. 704; ap. Orell. p. 157. Posteriori fragmento in codd. adduntur verba : *Alii ex Democrate, Isocrate, Epicteto.* Sed utraque sententia non videtur recte Democriti nomen in fronte gerere. Nam in cod. Flor. Stob. p. 405 priori præponitur lemma : Δημώνακτος, Ὑψαίου καὶ Σωκράτους, posteriori autem p. 408 adjicitur titulus: Ἐκ τῶν Ἀριστωνύμου τομαρίων καὶ Σωκράτους.

22. Τὸν σπουδαῖον φίλον πρὸς μὲν τὰς εὐφροσύνας κληθέντα δεῖ παρεῖναι, πρὸς δὲ τὰς περιστάσεις αὐτόκλητον δεῖ συμπαρεῖναι. Anton. et Max. p. 720; ap. Orell. n. 158. Hæc verba jure videntur Burchardo circumlocutione amplificata esse ex Chilonis sententia ap. Stob. Flor. III, 79 p. 96 : Ἐπὶ τὰ δεῖπνα τῶν φίλων βραδέως πορεύου, ἐπὶ δὲ τὰς ἀτυχίας ταχέως. Loci illius memor fuit Orellius adnot. ad Opusc. tom. I p. 521, qui tamen hoc de quo agimus fragmentum Democritei ingenii fœtum esse putavit. Sed omnem dubitationem eximit vox περίστασις. Nam περιστάσεις pro *rebus adversis* florentis ætatis scriptores non dixerunt. Cf. Lobeck. ad Phryn. p. 377. Quare Democritus hujus fragmenti auctor esse nequit.

23. Οἱ ἀληθινοὶ φίλοι καὶ τὰς φιλίας ἡδείας καὶ τὰς συμφορὰς ἐλαφροτέρας ποιοῦσιν, ὧν μὲν συναπολαύοντες, ὧν δὲ μεταλαμβάνοντες. Anton. et Max. p. 720; ap. Orell. n. 159.

24. Τὸ μὴ δύνασθαι βοηθεῖν τοῖς φίλοις, ἀπορίας, τὸ δὲ μὴ βούλεσθαι κακίας τεκμήριον. Anton. et Max. pag. 724; ap. Orell. n. 160. Utrumque fragmentum admodum ineptum est. Prius sic corrigi vult Burchardus, ut reponatur τὰς εὐφροσύνας ἡδίονας; sed in inficeti scriptoris dictione nihil muto. Porro non est, quod moneam ὧν μὲν—ὧν δὲ, ut hîc fit, positum fere citerioris græcitatis esse. Cæterum utrumque ejus est generis, de quo diximus ad fragm. supposit. 16, 17, 18 et 19.

25. Διηνεκὴς ἐπὶ πᾶσιν ἀνθρώποις ἡ τοῦ πλούτου ἐπιθυμία· μὴ κτηθεῖσα μὲν γὰρ τρύχει, κτηθεῖσα δὲ βασανίζει ταῖς φροντίσιν, ἀποκτηθεῖσα δὲ ταῖς λύπαις. Anton. pag. 762; ap. Froben. (cf. supra ad fragm. suppos. 2) pag. 205; ap. Orell. n. 161. Frigida sententia ac Democrito indigna, non tantum propter verba ἐπὶ πᾶσιν ἀνθρώποις, quæ cum Democriteo de his rebus judicio conciliari non possunt, sed etiam propter loquendi genus a Democritea dictione alienum. Offendit imprimis verbum ἀποκτᾶσθαι, quod apud optimum quemque scriptorem non legitur, et participia, quæ ad divitias referenda erant, ad cupiditatem (ἐπιθυμίαν) relata.

26. Ὁ κατὰ φύσιν πλοῦτος ἄρτῳ καὶ ὕδατι καὶ τῇ τυχούσῃ τοῦ σώματος σκέπῃ συμπεπλήρωται· ὁ δὲ περιττὸς κατὰ ψυχὴν ἀπέραντον ἔχει καὶ τὸν τῆς ἐπιθυμίας βάσανον. Anton. p. 762; ap. Orell. n. 162. i. e. *Naturales divitiæ constant pane et aqua et qualicunque corporis tegumento, supervacaneæ vero infinitam in animo cupiditatis vexationem habent.* Orellius comparat sententiam Pythagoricam (Opusc. I p. 46, 20): Σαρκὸς φωνὴ μὴ πεινῆν, μὴ διψῆν, μὴ ῥιγοῦν, et Pauli apostoli verba I Timoth. VI, 8 : Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. At ipsa græcitas documento est, hoc fragmentum a Democrito non esse scriptum. Ac primum quidem non solum junctura ὁ κατὰ φύσιν πλοῦτος—συμπεπλήρωται paulo insolentior est, sed etiam usus vocis σκέπη, quem hîc videmus, magis concinit cum recentiore quam cum antiquiore dicendi consuetudine. Deinde nemo bonus scriptor dixit ὁ βάσανος; omnes feminino genere hoc vocabulum usurparunt. Quam rem fugisse video Burchardum, qui significatu magis quam genere hoc substantivum ab antiquorum loquendi norma hîc abhorrere existimat.

27. Ὅσα μὲν ἐπὶ τῇ φύσει, πάντες ἐσμὲν πλούσιοι, ὅσα δὲ ἐφ' ἡμῖν, πάντες ἐσμὲν πένητες. Anton. pag. 762; ap. Orell. n. 163. i. e. : *Rebus iis quas natura largitur, omnes abundamus; quæ vero in nostra potestate sunt, earum omnes sumus inopes.* Hanc sententiam per se falsam esse non est quod multis demonstrem. Nam aliis plus, aliis minus largitur natura, neque corpore solum, sed etiam animo

differunt homines. Utque non omnes arbores et plantæ in quovis agro crescunt, ita non in omnibus hominibus eadem prudentia idemque animi habitus invenitur. Quæ autem in nostra sunt potestate amor, desiderium, laboris patientia et similia, earum rerum alii plus, alii minus possident, iisque etiam excellunt aut plane carent, ut prorsus ridiculum sit, omnes homines in hoc genere pares inter se putare. Quare nihil excogitari potest, quod magis adversetur philosophi nostri de hominibus judicio, ut qui, quemadmodum vidimus supra, alios prudentes, alios stultos, alios pecuniarum tenaces, alios prodigos, alios veraces, alios mendaces appellaverit. Burchardus sententiam non impugnat, sed sola auctoris verba. In his τὰ ἐπὶ τῇ φύσει ita opponi ait verbis τὰ ἐφ' ἡμῖν, ut fere apud Epictetum fiat, qui Enchirid. cap. I hæc habet : Τῶν ὄντων τὰ μέν ἐστιν ἐφ' ἡμῖν, τὰ δὲ οὐκ ἐφ' ἡμῖν. Ἐφ' ἡμῖν μὲν ὑπόληψις, ὁρμή, ὄρεξις, ἔκκλισις, καὶ ἑνὶ λόγῳ ὅσα ἡμέτερα ἔργα· οὐκ ἐφ' ἡμῖν δὲ τὸ σῶμα, ἡ κτῆσις, δόξαι, ἀρχαὶ καὶ ἑνὶ λόγῳ ὅσα οὐχ ἡμέτερα ἔργα. Sed nolim hæc longius persequi, satis habens ostendisse quæ esset hujus fragmenti a Democriteis discrepantia.

28. Εἰ βούλει ἄλυπον βίον ζῆν, τὰ μέλλοντα συμβαίνειν ὡς ἤδη συμβεβηκότα λογίζου. Anton. et Max. p. 790; ap. Orell. n. 165.

29. Ἄλυπος ἴσθι, μὴ τὴν ἀπάθειαν, ὡς τὰ ἄλογα τῶν ζώων, μηδὲ τὴν ἀλογίαν, ὡς οἱ ἄφρονες, ἀλλ' ὡς ἐνάρετος, τὸν λόγον τῆς λύπης ἔχων παραμύθιον. Anton. et Max. p. 790; ap. Orell. n. 166.

30. Ὅσοι τινὲς πρὸς τὰς συμφορὰς γνώμῃ μὲν ἥκιστα λυποῦνται, ἔργῳ δὲ μάλιστα ἀντέχουσιν, οὗτοι καὶ τῶν πόλεων καὶ ἰδιωτῶν κράτιστοί εἰσιν. Anton. et Max. p. 790; ap. Orell. 167. His tribus fragmentis in codd. et in margine edit. C. Gesneri additur lemma: *Ex sententiis Epicteti, Isocratis, Democriti.* Inter Epicteti fragmenta jam retulerunt Meibomius et Schweighæuser. n. 158-160. Omnino ea Epicteti esse satis probat scribendi genus. Ἀπάθεια apud Epictetum est ἀναισθησία. Sic idem ap. Arrian. III cap. II, 4 : οὐ δεῖ με εἶναι ἀπαθῆ, ὡς ἀνδριάντα. Cf Schweigh. ad. l. l. Huc accedit vox ἐνάρετος, Democriteæ ætatis Græcis ignota. Vid. Lobeck. ad Phryn. pag. 328 seqq.

γον. Αἰτία γὰρ τῆς τῶν πάντων ποιήσεως αὐτῷ οὐδεμία ἄλλη πρόσεστιν εὔλογος πλὴν τῆς κατ' οὐσίαν ἀγαθότητος. Ἀγαθὸς γὰρ ἦν, φησίν· ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίνεται φθόνος. Αἱ δὲ παρὰ τὴν ἀγαθότητα λεγόμεναι αἰτίαι τῆς δημιουργίας τοῦδε τοῦ παντὸς ἀνθρωπίναις μᾶλλον περιστάσεσιν ἢ τῷ θεῷ πρέπουσιν. Ἀγαθὸς δὴ ὢν τὴν οὐσίαν ὁ θεὸς τὰ μάλιστα ὡμοιωμένα αὐτῷ πρῶτα φύσει προήγαγε, καὶ δεύτερα, τὰ τὴν μέσην ὁμοιότητα πρὸς αὐτὸν κεκτημένα, τρίτα δὲ καὶ ἔσχατα πάντων τῶν ἐοικότων αὐτῷ τὰ πρὸς τὴν θείαν ὁμοίωσιν μάλιστα ὑφειμένα. Τῇ δὲ οὐσίᾳ τῶν γινομένων σύνδρομος ἦν ἡ τάξις, ὥστε τὸ φύσει κρεῖττον προτεταγμένον εἶναι τοῦ καταδεεστέρου ἔν τε τοῖς ὅλοις γένεσιν καὶ ἐν τοῖς καθ' ἕκαστον γένος τὴν κατ' εἶδος ὑπόβασιν κεκτημένοις. Οὐ γὰρ τύχαις ἐκληροῦτο τὴν τάξιν τὰ πάντα, οὐδὲ προαιρέσεων μεταβολαῖς, ἀλλὰ νόμοις δημιουργικοῖς διάφορα προήγετο, καὶ τὴν τάξιν ἀνάλογον ταῖς τῶν φύσεων ἀξίαις ἐλάγχανε. Διὸ τὸ νόμῳ ὡς διάκεινται, τίμα οὐ μόνον ἐπὶ τῶν ἀθανάτων θεῶν, ἀλλὰ καὶ ἐπὶ τῶν ἀγαυῶν ἡρώων καὶ τῶν ἀνθρωπίνων ψυχῶν κοινῶς ἀκουστέον. Ἔστι γὰρ πλῆθος εἰδῶν ἐν ἑκάστῳ γένει καθ' ὑπεροχὴν καὶ ὑπόβασιν τεταγμένον. Τοιαύτη μὲν ἡ φύσις τῶν λογικῶν οὐσιῶν καὶ ἡ τάξις. Τίς δὲ ὁ νόμος καὶ ἡ τούτῳ ἑπομένη τιμή; Πάλιν λέγομεν, ὅτι νόμος μὲν ἡ ἄτρεπτος τοῦ θεοῦ δημιουργικὴ ἐνέργεια, ἡ γεννῶσα τὰ θεῖα γένη καὶ τάττουσα ἀϊδίως καὶ ἀμεταβλήτως· ἡ δὲ σύμφωνος τῷ νόμῳ τιμὴ ἡ τῆς οὐσίας ἐστὶ τῶν τιμωμένων γνῶσις καὶ ἡ πρὸς αὐτὰ κατὰ δύναμιν ἐξομοίωσις. Ὃ γὰρ ἄγαταί τις, καὶ μιμεῖται, ὅσον αὐτῷ οἷόν τε· καὶ τιμὴν ποιεῖται τοῦ ἀνενδεοῦς τὴν τῶν ὑπ' ἐκείνου προτεινομένων ἀγαθῶν ὑποδοχήν. Οὐ γὰρ τιμήσεις τὸν θεὸν ἄριστα διδούς τι αὐτῷ, ἀλλ' ἄξιος τοῦ λαβεῖν τὰ παρ' ἐκείνου γινόμενος. Ὡς γάρ φασιν οἱ Πυθαγόρειοι, τιμήσεις τὸν θεὸν ἄριστα, ἐὰν τῷ θεῷ τὴν διάνοιαν ὁμοιώσῃς· καί, ὅστις τιμᾷ τὸν θεόν, ὡς προσδεόμενον, οὗτος λέληθεν οἰόμενος ἑαυτὸν τοῦ θεοῦ εἶναι κρείττονα· καί, ἡ τῶν προσφερομένων πολυτέλεια τιμὴ εἰς θεὸν οὐ γίνεται, εἰ μὴ μετὰ τοῦ ἐνθέου φρονήματος προσάγοιτο. Δῶρα γὰρ καὶ θυηπολίαι ἀφρόνων, πυρὸς τροφή· καὶ ἀναθήματα, ἱεροσύλοις χορηγία. Τὸ δὲ ἔνθεον φρόνημα, διαρκῶς ἡδρασμένον, συνάπτει θεῷ. Χωρεῖν γὰρ ἀνάγκη τὸ ὅμοιον πρὸς τὸ ὅμοιον· ὅθεν καὶ μόνος ἱερεὺς ὁ σοφὸς λέγεται, μόνος θεοφιλής, μόνος εἰδὼς εὔξασθαι. Μόνος γὰρ οἶδε τιμᾶν ὁ τὴν ἀξίαν μὴ συγχέων τῶν τιμωμένων, καὶ ὁ προηγουμένως ἱερεῖον ἑαυτὸν προσάγων,

---

diu prima eorum causa manet immutabilis prorsus et constans ac naturam eâdem agendi vi præditam obtinet atque bonitatem possidet, non adventitiam, sed per se inhærentem et propter eam universa generat. Nulla enim alia justa causa rerum omnium creandarum ipsi Deo est præter naturalem bonitatem. *Erat enim*, inquit, *bonus; in bonum autem nulla unquam de ulla re cadit invidia.* Quæ vero aliæ præter bonitatem creandæ universitatis hujus causæ dicuntur, humanæ conditioni potius quam Deo conveniunt. Deus vero quum natura bonus sit, illa quæ maxime ipsi essent assimilata, naturâ prima produxit; secunda autem ea quæ mediam similitudinem obtinerent, tertia vero et omnium ipsi similium postrema, illa quæ a divina similitudine essent maxime remota. Substantiæ autem rerum creatarum comes erat ordo, ut id quod naturâ præstantius esset inferiori præponeretur, tum in totis generibus, tum in speciebus, quæ singulis generibus subsunt. Non enim fortuito universa ordinem suum sortita sunt, neque pro arbitrii sui varietate, sed ex creationis legibus diversa generabantur congruoque naturarum dignitati ordine disponebantur. Quamobrem illud *uti lege dispositi sunt venerare*, non solum de diis immortalibus, sed et de illustribus heroibus humanisque animis communiter est intelligendum. Nam sub unoquoque genere multæ sunt species superius atque inferius ordinatæ. Hujusmodi igitur est generum rationalium natura atque ordo. Quæ vero est lex et quis legitimus honos? dicimus rursum legem esse immutabilem illam Dei creatricem potentiam quæ divina genera gignit eaque æterno immutabilique ordine disponit: honorem autem legi congruum esse essentiæ illorum quæ honorantur notitiam et eorum quoad possumus imitationem. Quod enim quis admiratur, id etiam, quoad potest, imitatur; atque eum cui nihil deest honorat accipiendo bona, quæ ille porrigit. Non enim Deum honorabis, si dederis ei aliquid, sed si te dignum præstiteris qui ab eo data accipias. Nam, uti ajunt Pythagorei, *Deum honorabis optime, si Deo fias mente similis.* Et *quisquis Deo tanquam egenti honorem tribuit, is imprudens se Deo superiorem facit.* Et *magno oblatarum rerum pretio non honoratur Deus, nisi pio animo offerantur: munera enim ac sacrificia stultorum sunt ignis pabulum et donaria sacrilegorum præda. Pia vero mens firmiter fundata Deo nos conjungit: simile enim ad simile necessario fertur;* unde et *solus sapiens sacerdos, solus Deo gratus, solus precandi gnarus* dicitur. Is enim solus honorare scit, qui honoratorum dignitatem non confundit, et qui se ipsum primum hostiam offert suumque animum divinum simulacrum facit et mentem suam templi instar ad di-

καὶ ἄγαλμα θεῖον τεκταίνων τὴν ἑαυτοῦ ψυχήν, καὶ ναὸν εἰς ὑποδοχὴν τοῦ θείου φωτὸς τὸν ἑαυτοῦ κατασκευάζων νοῦν. Τί γὰρ τοιοῦτον προσάξεις ἀπὸ τῶν ἐν μέσῳ κειμένων ὑλῶν, ὃ τῷ θεῷ προσφυὲς ἄγαλμα ἐργάσῃ ἢ δῶρον ἑνοῦσθαι αὐτῷ δυνάμενον; ἃ δὴ ἐπὶ τῆς λογικῆς οὐσίας καθαρθείσης συμβαίνειν ἀνάγκη. Ὡς γὰρ οἱ αὐτοὶ ἄνδρες φασί, ψυχῆς καθαρᾶς τόπον οἰκειότερον ἐπὶ γῆς θεὸς οὐκ ἔχει· οἷς καὶ ὁ Πύθιος συμφέρεται, λέγων·

εὐσεβέσιν δὲ βροτοῖς γάνυμαι τόσον, ὅσσον ὀλύμπῳ.

Εὐσεβὴς δὲ ὁ τὴν θείαν ἐπιστήμην ἔχων καὶ τὴν ἑαυτοῦ τελείωσιν ὡς τιμὴν ἀρίστην προσάγων τοῖς τῶν ἀγαθῶν αἰτίοις, τῇ σπουδῇ τῆς κτήσεως πρὸς τοὺς χορηγεῖν πεφυκότας ἐπιστρεφόμενος, καὶ τῷ λαμβάνειν τὰ ἀγαθὰ δύνασθαι τιμῶν τοὺς ἀεὶ διδόντας αὐτά. Ὁ δὲ ἄλλως τιμᾶν τὸ θεῖον προαιρούμενος, καὶ μὴ δι' ἑαυτοῦ, παρανάλωμα τῆς ἔξωθεν εὐπορίας ποιεῖται τὴν τιμήν, οὐκ οἰκείαν ἀρετὴν προσφέρων, ἀλλὰ ἀπὸ τῶν ἐκτὸς αὐτῷ ἀφοσιούμενος. Ταῦτα δὲ οὐδὲ σπουδαίῳ ἀνδρὶ λαμβάνειν ἡδὺ μὴ μετὰ τῆς ἀρίστης διαθέσεως διδόμενα. Τοιοῦτον δὲ καὶ τὸ τοῦ Πυθίου πάλιν ἀπόφθεγμα. Πρὸς γὰρ τὸν ἑκατόμβας θύσαντα μὴ μετ' εὐσεβοῦς γνώμης, καὶ πυνθανόμενον πῶς εἴη προσδεδεγμένος τὰ παρ' αὐτοῦ δῶρα ἀπεκρίνατο·

ἀλλά μοι εὐαδε χόνδρος ἀγακλυτοῦ Ἑρμιονῆος,

τὸ εὐτελέστατον προκρίνων τῆς τοσαύτης πολυτελείας, ὅτι δὴ θεοσεβεῖ γνώμῃ κεκόσμητο. Μετὰ ταύτης γὰρ πάντα θεοφιλῆ· καὶ ἄνευ ταύτης οὐδὲν θεῷ φίλον ἂν ποτε γένοιτο. Καὶ τὰ μὲν περὶ θεοσεβείας καὶ ὁσιότητος ἱκανῶς ἐν τῷ παρόντι λέλεκται. Ἐπειδὴ δὲ τὸν νόμον τῆς τοῦ παντὸς διατάξεως ἄτρεπτος φρουρὰ διατηρεῖ, καὶ τῆς φρουρᾶς ταύτης φύλακα τοῖς παλαιοῖς ἔθος ἦν δι' ἀπορρήτων ὅρκον ὀνομάζειν, εἰκότως ἐφεξῆς τοῖς προειρημένοις ὡς ἀκόλουθον ἐπάγει δόγμα τὸ περὶ τοῦ ὅρκου παράγγελμα.

II. 2.

— — — — — καὶ σέβου ὅρκον — — —

Νόμον ἐν τοῖς προτέροις ἀπεφηνάμεθα τὴν ἀεὶ ὡσαύτως ἔχουσαν ἐνέργειαν τοῦ θεοῦ, τὴν ἀϊδίως καὶ ἀτρέπτως τὰ πάντα πρὸς τὸ εἶναι παράγουσαν. Ὅρκον δὲ νῦν ἑπομένως ἂν τῷ νόμῳ λέγοιμεν τὴν ἐν ταὐτότητι τὰ πάντα διατηροῦσαν αἰτίαν καὶ οὕτως αὐτὰ βεβαιουμένην, ὡς ἐν ὅρκου πίστει κρατούμενα καὶ διασώζοντα τοῦ νόμου τὴν τάξιν, ὥστε ἀποτέλεσμα τοῦ δημιουργικοῦ νόμου εἶναι τὸ ἀπαράβατον τῆς ἐν τοῖς δημιουργηθεῖσιν εὐταξίας. Τὸ γὰρ διαμένειν τὰ πάντα, νόμῳ ὡς διάκειται, προηγούμενον ἔργον ἂν εἴη τοῦ ὅρκου τοῦ θείου, ὃς ἐν μὲν τοῖς ἀεὶ νοοῦσι τὸν θεὸν μάλιστά τε καὶ ἀεὶ διασώζεται· ἐν δὲ τοῖς ποτὲ μὲν

---

vinum lumen suscipiendum præparat. Quid enim tale de materiis in medio positis adhibebis, unde Deo conveniens simulacrum facias aut donum, quod cum eo copulari queat? Quippe hæc in rationali natura casta et purgata contingere necesse est. Nam, ut iidem viri dicunt, *non habet Deus in terris locum puro animo sibi aptiorem*: quibus et ipse Pythius astipulatur dicens :

Piis vero hominibus tantum gaudeo, quantum cœlo.

Pius autem is est, qui divina scientia præditus suam perfectionem, tanquam honorem præstantissimum, bonorum auctoribus offert, et illa adipiscendi studio ad eos qui suppeditare queunt, se convertit, atque se ipsum ad bona accipienda idoneum reddendo eos honorat qui illa perpetuo largiuntur. Quisquis autem honorem Deo aliter exhibere vult quam per se ipsum, is in bonorum externorum sumtu honorem ponit, non suam ei virtutem offerens, sed ex iis quæ extra sunt aliqua dicans consecransque. Hæc vero accipere ne viro quidem probo jucundum est, nisi a donantis animo optime affecto proficiscantur. Ejusmodi autem est et alterum Apollinis effatum. Ei enim qui animo haud pio hecatombas sacrificaverat, quærenti, quam accepta illi sua essent dona, respondit :

At mihi farra placent prænobilis Hermionei,

id utique quod erat vilissimum tantæ magnificentiæ præponens, quod mentis pietate ornaretur. Hæc enim si adsit, Deo grata sunt omnia, nihil autem omnino ei acceptum si hæc desit. Atque hæc quidem de pietate in Deum et sanctitate in præsens dicta sufficiant. Quandoquidem vero legem, qua universa ordinantur, constans tuetur custodia, atque veterum mos erat, custodiæ hujus custodem mystice nominare ὅρκον, merito iis quæ dicta sunt veluti consequens dogma hoc de jurejurando præceptum subjungit.

II. 2.

Et cole jusjurandum.

Legem in superioribus Dei actionem illam esse docuimus, quæ eodem semper modo se habet atque perpetua et immutabili ratione res omnes procreat. Jusjurandum vero nunc, quatenus legem comitatur, causam illam dicamus, quæ omnia in eodem statu conservat, atque ea ita arcte continet, quasi jurisjurandi fide obstricta legis ordinem observent, adeo ut recti ordinis in rebus creatis constantia sit effectus legis creatricis. Nam ut omnia permaneant, sicut lege disposita sunt, primarium est opus divini jurisjurandi; quod qui-

νοοῦσι ποτὲ δὲ ἀφισταμένοις τῆς θείας γνώσεως καὶ ὁ ὅρκος ὁμοίως παραβαίνεται μὲν ὑπὸ τῶν ἀφισταμένων, αὖθις δὲ τηρεῖται ὑπὸ τῶν πρὸς τὴν θείαν ἐπιστροφὴν ἀναγομένων. Ἡ γὰρ τήρησις τῶν θείων νόμων ὅρκος νῦν λέγεται, ᾧ δέδεται καὶ ἀνήρτηται πάντα πρὸς τὸν δημιουργὸν θεὸν τὰ γιγνώσκειν αὐτὸν πεφυκότα· ὧν τὰ μὲν ἀεὶ ἐχόμενα αὐτοῦ ἀεὶ σέβει τὸν ὅρκον, τὰ δὲ ἀφιστάμενά ποτε, τότε καὶ περὶ τὸν ὅρκον ἀσεβεῖ, οὐ μόνον τοῦ θείου νόμου τὴν τάξιν, ἀλλὰ καὶ τοῦ θείου ὅρκου τὴν πίστιν παραβαίνοντα. Τοιοῦτος μὲν οὖν ὁ τοῖς λογικοῖς γένεσιν ἐνουσιωμένος ὅρκος, ἔχεσθαι τοῦ πατρὸς αὐτῶν καὶ ποιητοῦ, καὶ μὴ παραβαίνειν μηδαμῇ τοὺς ὑπ' ἐκείνου διορισθέντας νόμους ἀναγκάζων. Ὁ δὲ ἐν ταῖς κατὰ τὸν βίον ἀναστροφαῖς ὅρκος ἴχνος ἐστὶν ἐκείνου, πρὸς ἀλήθειαν ἀπευθύνων τοὺς δεόντως αὐτῷ χρωμένους. Τὸ γὰρ ἀμφίβολον τῆς ἀνθρωπίνης προαιρέσεως εἰς βεβαιότητα μεταρρυθμίζει, καὶ μένειν ἐπὶ τῆς ταὐτότητος ἀναγκάζει ἔν τε λόγοις καὶ ἔργοις, τοῦτο μὲν τῶν γεγενημένων τὸ σαφὲς ἐκφαίνων, τοῦτο δὲ τῶν μελλόντων γενήσεσθαι τὸ βέβαιον ἀπαιτῶν. Διὰ ταῦτα δὴ καὶ μάλιστα σέβεσθαι προσήκει τὸν ὅρκον, τὸν μὲν κατ' οὐσίαν προϋπάρχοντα, διὰ τὴν τῆς ἀϊδιότητος φρουράν, τὸν δὲ ἀνθρώπινον καὶ τοῖς ἐν βίῳ πράγμασιν ἐπίκουρον ὡς εἰκόνα ἐκείνου, καὶ μετ' ἐκεῖνον βεβαιότητος καὶ ἀληθείας γενόμενον ἡμῖν πρύτανιν, καὶ τῶν καλλίστων ἠθῶν πληροῦντα τοὺς σέβειν αὐτὸν μεμαθηκότας. Σέβας δὲ ὅρκου μόνον ἂν εἴη ἡ τήρησις τῶν ὀμωμοσμένων, ὅσον ἐφ' ἡμῖν, ἀπαραπόδιστος, ἡ πρὸς τὸ μόνιμον καὶ ἀληθευτικὸν τῆς θείας ἕξεως τῇ ἑκουσίῳ ἀνάγκῃ τοὺς σέβοντας τὸν ὅρκον συναρμόζουσα. Καὶ ἡ μὲν πρώτη καὶ ἀπόρρητος εὐορκία, διὰ τῆς εἰς θεὸν ἐπιστροφῆς, αὖθις ἀναλαμβάνεσθαι πέφυκε τοῖς ταῖς καθαρτικαῖς ἀρεταῖς τὴν παρέκβασιν ἰωμένοις τοῦ θείου ὅρκου· ἡ δὲ βιωτικὴ εὐορκία ταῖς πολιτικαῖς ἀρεταῖς διασώζεται. Μόνοι γὰρ οἱ τὰς ἀρετὰς ταύτας κεκτημένοι καὶ εὐορκεῖν ἐν τοῖς κατὰ τὸν βίον δύνανται· ἡ δὲ κακία μήτηρ ἐπιορκίας τῷ ἀβεβαίῳ τοῦ ἤθους τὸν ὅρκον καταπατοῦσα. Πῶς γὰρ ἂν ὁ φιλοχρήματος ἢ πρὸς ἀργυρίου λῆψιν ἢ ἀπόδοσιν εὔορκός ποτε γένοιτο; πῶς δὲ ὁ ἀκόλαστος ἢ ὁ δειλὸς ἐμμένῃ τοῖς ὅρκοις; καὶ οὐχ ὅπου δ' ἂν ἑκάτερος αὐτῶν οἰηθῇ πλέον τι ἕξειν, ἐν οἷς ἐστιν ἥττων, ἐνταῦθα τὸ σέβας τῶν ὅρκων ἀποδύσεται, θνητὰ καὶ ἐπίκηρα τῶν θείων ἀγαθῶν ἀνταλλαττόμενος; Οἷς δὲ καλῶς τὸ τῶν ἀρετῶν ἐνίδρυται κτῆμα, τούτοις εὖ καὶ τὸ σέβας τῶν ὅρκων διασώζεσθαι πέφυκε. Μελέτη δὲ ἀρίστη τοῦ τηρεῖν τὸ περὶ αὐτὸν σέβας τὸ μὴ πυκνῶς μηδὲ ὡς ἔτυχε χρῆσθαι τῷ ὅρκῳ, μηδὲ ἐπὶ τοῖς παρατυχοῦσι, μηδὲ εἰς ἀναπλήρωσιν λόγου, μηδὲ εἰς πίστωσιν διηγήματος, ἀλλ' ὡς οἷόν τε τηρεῖν αὐτοῦ τὴν χρείαν ἐν τοῖς ἀναγκαίοις τε ἅμα καὶ τιμίοις, καὶ τότε, ὅτε μηδεμία ἄλλη τῶν τοιούτων σωτηρία παρα-

---

dem inter Dei semper intelligentes maxime ac perpetuo servatur : inter intelligentes aliquando, aliquando vero a divina cognitione abscedentes ipsum quoque jusjurandum similiter ab his violatur qui abscedunt, contra vero ab illis qui ad Deum denuo revertuntur conservatur. Namque divinarum legum observatio nunc jusjurandum dicitur, quo cuncta illa cum Deo opifice colligantur et connectuntur, quæ ad eum cognoscendum nata sunt : quorum ea quæ semper illi adhærent, jusjurandum semper colunt, ea vero quæ recedunt aliquando, jurisjurandi etiam religionem tum abjiciunt, non solum divinæ legis ordinem, sed divini etiam jurisjurandi fidem violantia. Tale igitur est jusjurandum generibus ratione præditis natura insitum, ut patri suo et creatori semper adhærere ac leges ab eo constitutas nullo modo migrare cogat. Hujus vero jurisjurandi vestigium est illud quod in vitæ commerciis usurpatur, quod homines rite eo utentes ad veritatis normam dirigit. Consilia enim hominum cum incerta sunt ad certam rationem et constantiam revocat eosque in eodem proposito manere cogit, cum in dictis, tum in factis; partim præteritorum veritatem demonstrans, partim futurorum constantiam certamque fidem exigens. Atque ob has quidem causas maxime colendum est jusjurandum, illud quidem natura prius quia perennitatis est custos, humanum autem quod in rebus humanis auxilio est, quia prioris imaginem referens post illud constantiam atque veritatem tuetur eosque moribus optimis instruit qui ipsum colere didicerunt. Jurisjurandi vero cultus unicus est inviolata eorum quæ jurantur, quantum in nobis est, custodia, quæ eos qui jusjurandum colunt voluntaria quadam necessitate ad divini habitus constantiam et veritatem componit. Prima vero illa et mystica jurisjurandi sanctitas per conversionem ad Deum rursum potest recuperari ab iis qui virtutibus lustralibus divini jurisjurandi violationem sanant; jurisjurandi autem, quod in hujus vitæ rebus versatur, sanctitas civilibus virtutibus conservatur. Soli enim ii qui has virtutes possident, sancte etiam jurare in hujus vitæ rebus possunt : perjurii vero parens est vitium quod morum inconstantia jusjurandum contemnit. Quo enim pacto ille qui divitias amat, in pecunia vel accipienda vel reddenda jurisjurandi sanctitatem servare possit? quove modo is qui incontinens est aut timidus in jurejurando perstabit? ac non potius eorum uterque, ubicunque superiorem se fore putaverit in iis, in quibus inferior est, jurisjurandi religione deposita, mortalia et caduca cum divinis bonis commutabit? At quibus virtutum firma est

φαίνεται, εἰ μὴ διὰ μόνης τῆς ἐκ τοῦ ὅρκου ἀληθείας. Ἔσται δὲ ταῦτα πιστὰ τοῖς ἀκούουσιν, εἰ τὸν τρόπον σύμφωνον τῷ ὅρκῳ παρεχοίμεθα, καὶ μηδεμίαν ὑποψίαν καταλείποιμεν, ὡς ἄρα ποτὲ τῶν ἀνθρωπίνων πραγμάτων φανείη τι μεῖζον ἡμῖν ἀληθείας, εἴτε ἀνωμότοις, εἴτε καὶ ὀμνύουσι. Τὸ δὴ *σέβου ὅρκον* οὐ μόνον εὐορκεῖν, ἀλλὰ καὶ ἀπέχεσθαι ὅρκου παρεγγυᾷ. Οὕτω γὰρ ἂν τηρήσαιμεν τὸ εὐορκεῖν, εἰ μὴ καταχρησοίμεθα τοῖς ὅρκοις. Καὶ γὰρ ἐν τῇ συνεχείᾳ τοῦ ὀμνύειν ῥᾳδίως ἂν μεταπέσοι τις εἰς ἐπιορκίαν· φειδοῖ δὲ τήρησις ἕπεται. Ἢ γὰρ οὐκ ὀμεῖται, ἢ ὅταν ὀμνυσιν εὐορκήσει· καὶ οὔτε ἂν ὑπὸ συνηθείας προδράμοι ἡ γλῶσσα, οὔτε ὑπὸ παθῶν ἀκρατείας ἡ διάνοια σφαλείη. Τὴν μὲν γὰρ ὁ τρόπος ὀρθώσει χρηστὸς ὤν, τὴν δὲ τὸ ἔθος τῆς ἀποχῆς τοῦ ὀμνύναι. Πρέπει δὲ τῇ προειρημένῃ τιμῇ τῶν θεῶν ἡ εὐορκία, ὡς ἀεὶ σύμφυτος καὶ ὀπαδὸς τῆς εὐσεβείας· καὶ γὰρ καὶ ὁ ὅρκος τοῦ θείου νόμου ἦν φύλαξ κατὰ τὴν τοῦ παντὸς διακόσμησιν. Τίμα οὖν τὸν νόμον ἑπόμενος αὐτοῦ τῇ διατάξει, καὶ σέβου τὸν ὅρκον τῷ μὴ προχείρως αὐτῷ καταχρῆσθαι, ἵν' ἐθισθῇς εὐορκεῖν ἐκ τοῦ μὴ εἰθίσθαι ὀμνύναι. Μέρος γὰρ οὐ μικρόν ἐστι τῆς εὐσεβείας ἡ εὐορκία. Καὶ περὶ μὲν τοῦ πρώτου γένους τῶν κρειττόνων καὶ τοῦ θείου νόμου τοῦ τῆς τάξεως ἡγουμένου καὶ τοῦ συνεπομένου ὅρκου τῷ νόμῳ τοσαῦτα· ὅτι δὲ καὶ τὸ μετὰ θεοὺς γένος, ὃ ἔφαμεν ἀγγελικὸν εἶναι, δευτέρως χρὴ τιμᾶν ἐπάγει.

III. 2.

— — — — ἔπειθ' ἥρωας ἀγαυούς.

Οὗτοι ἦσαν τὸ μέσον γένος τῶν λογικῶν οὐσιῶν, οἳ μετὰ θεοὺς τοὺς ἀθανάτους τὴν ἐφεξῆς πληροῦντες χώραν προηγοῦνται τῆς ἀνθρωπίνης φύσεως, καὶ συνάπτουσι δι' ἑαυτῶν τὰ ἔσχατα τοῖς πρώτοις. Τούτοις οὖν, ὡς δευτέροις, τὴν δευτέραν τιμὴν ἀποδιδόναι χρή, προσυπακούοντας καὶ ἐπ' αὐτῶν τὸ *τίμα νόμῳ ὡς διάκεινται*. Ἡ γὰρ ὅλη δύναμις τῆς τιμῆς ἐν τῇ γνώσει τῆς οὐσίας τῶν τιμωμένων κεῖται· ἀφ' ἧς καὶ τὸ τῶν δεόντων εἰπεῖν τι ἢ πρᾶξαι πρὸς τὰ τιμώμενα εὖ καὶ καλῶς ἐξευρίσκεται. Πῶς γὰρ ἂν διαλεχθείη τις οἷς ἀγνοεῖ; πῶς δὲ δῶρον προσάξει τούτοις, ὧν τὴν ἀξίαν οὐκ οἶδεν; Ἡ πρώτη οὖν καὶ ὄντως τιμή, καὶ ἐπὶ τῶν *ἀγαυῶν ἡρώων*, ἐστὶν ἡ τῆς οὐσίας αὐτῶν καὶ τῆς τάξεως γνῶσις καὶ ἡ τῆς παρεπομένης ἐνεργείας καὶ εἰς τόδε τὸ πᾶν διατεινούσης συντελείας εἰδη-

---

possessio, ab iis etiam sancte conservatur jurisjurandi religio. Optima autem conservandæ jurisjurandi reverentiæ ratio erit, si nec crebro, nec temere, nec quibuslibet in rebus, nec ad sermonis complementum nec ad narrationis confirmationem eo utamur, sed quantum possumus illud in necessariis tantum atque majoris momenti rebus adhibeamus, idque tunc, cum earum nulla salus alia, quam ex sola veritate jurejurando confirmata apparet. Invenient vero hæc fidem apud auditores, si mores ostendamus jurijurando convenientes, nec ullum suspicionis locum relinquamus, rerum quidquam humanarum, sive injuratis sive juratis pluris aliquando esse quam veritatem. Hoc utique præceptum, *jusjurandum cole*, nobis non solum ut sancte juremus, sed ut et a jurejurando abstineamus, injungit. Sic enim semper sancte jurabimus, si jurejurando non abutamur. Is enim qui crebro jurat in perjurium facile prolabi possit: rariorem vero ejus usum sequitur observatio. Aut enim quis non jurabit, aut quum jurat, sancte jurabit, et ita, ut neque consuetudine lingua menti præcurrat, nec mens affectuum intemperantia pervertatur. Hanc enim morum probitas corriget, illam autem consueta jurisjurandi abstinentia. Honori autem deorum, de quo superius dictum, convenit jurisjurandi sanctitas, ut quæ pietatis cognata comesque sit perpetua, quandoquidem et ipsum jusjurandum divinæ legis custos fuit in custodienda rerum universitate. Legem igitur reverere, instituta ejus observando, et jusjurandum cole, temerarium ejus abusum vitando, ut raro jurisjurandi usu sancte jurandi morem obtineas. Pars enim non exigua pietatis est jurisjurandi sancta observatio. Hactenus vero de primo superorum genere et de divina lege, quæ ordini præest, et de jurejurando, quod legem comitatur. Porro autem carmen docens proximum quoque diis genus, quod nos secundum diximus, secundo loco honorandum esse, adjicit.

III. 2.

. . . . deinde heroes illustres.

Hi sunt medium illud genus naturarum intelligentium, qui secundum a diis immortalibus locum tenentes humanam naturam præcedunt primisque ultima interventu suo connectunt. His igitur, ut secundis, secundum honorem tribuere debemus, de iis quoque intelligentes illud *venerare, uti lege dispositi* sunt. Tota enim vis honoris posita est in naturæ eorum qui honorantur cognitione, unde quid dicere vel facere oporteat ratione habita eorum, quibus honorem tribuimus, recte et ordine ducitur. Quo enim pacto quis sermonis commercium cum iis habeat quos ignorat? quomodo vero illis munera offeret, quorum dignitatem nescit? Primus igitur et verus honos etiam, quod ad illustres heroes attinet, est eorum non solum naturæ et ordinis scientia, sed etiam actionis inde

σις. Συμμέτρως δὲ καὶ ταῖς οὐσίαις ἐπὶ πάντων ποιεῖσθαι δεῖ τὴν τιμήν· τοῦτο δὲ ἀπὸ τῆς περὶ αὐτὰς ἐπιστήμης παραγίνεται. Ὅταν γάρ, ὡς ἕκαστα φύσεως ἔχει καὶ τάξεως, διαγνῶμεν, τότε καὶ ἑπομένως τῷ νόμῳ τὴν τιμὴν αὐτοῖς ἀποδώσομεν. Τιμήσομεν δὲ οὐδὲν τῶν χειρόνων τῆς ἀνθρωπίνης οὐσίας, ἀλλὰ μόνα προηγουμένως μὲν τὰ φύσει κρείττονα, καὶ τὰ ἴσα δέ, ἀρετῆς ὑπεροχῇ κοσμηθέντα. Ἔστι δὲ τῶν φύσει κρειττόνων πρώτιστος καὶ ἄριστος ὁ δημιουργὸς θεός, ἀσυγκρίτως τῶν πάντων προτιμώμενος. Τῶν δὲ ἐν κόσμῳ πρῶτοι οἱ ἀπ' αὐτοῦ καὶ μετ' αὐτόν, ἀτρέπτως αὐτὸν νοοῦντες καὶ ἀπαθῶς ἐνεικονιζόμενοι τὴν ἀπὸ τῆς δημιουργικῆς αἰτίας εἰς αὐτοὺς κατιοῦσαν τῶν ἀγαθῶν μετουσίαν· οὓς ὁ παρὼν λόγος ἀθανάτους θεοὺς προσεῖπεν, ὅτι οὐκ ἀποθνήσκουσιν οὐδὲ ἀποβάλλουσι τὴν πρὸς τὸν θεὸν ὁμοίωσιν, ἀλλ' ἀεὶ καὶ ὡσαύτως ἐν αὐτῇ διατελοῦσι. Μέσοι δὲ οὐσίᾳ καὶ τιμῇ οἱ νῦν λεγόμενοι ἥρωες ἀγαυοί, ἀεὶ μὲν νοοῦντες τὸν δημιουργὸν καὶ τῇ παρ' αὐτοῦ εὐζωίᾳ καταλαμπόμενοι, οὐχ ὡσαύτως δὲ οὐδὲ ἀτρέπτως. Ἐν γὰρ τῷ μέσως ἡνῶσθαι πρὸς τὸν θεὸν καὶ τροπὴν ἀκάκυντον ἐπιδεχόμενοι ἄλλοτε ἄλλαις ἐπιβολαῖς περὶ αὐτὸν χορεύουσι καὶ τὴν ἀμετάβλητον καὶ ἡνωμένην θεωρίαν τῶν πρώτων τῇ ἑαυτῶν πεπληθυσμένῃ γνώσει διαιροῦσί τε ἅμα καὶ συνάγουσι, τὰ πέρατα τῆς ἐκείνων ἐποπτείας ἀρχὰς τῆς ἑαυτῶν ποιούμενοι μυήσεως. Οἳ δὴ καὶ εἰκότως ἀγαυοὶ ἥρωες λέγονται, ἀγαυοὶ μὲν ὡς ἀγαθοὶ ὄντες καὶ φωτεινοὶ ἀεὶ καὶ μήτ' ἐν κακίᾳ μήτ' ἐν λήθῃ ποτὲ γινόμενοι, ἥρωες δὲ ὡς ἐρωές τινες ὄντες καὶ ἔρωτες, οἷον ἐρωτικοὶ καὶ διαλεκτικοὶ ἐρασταὶ τοῦ θεοῦ, αἴροντες ἡμᾶς καὶ κουφίζοντες πρὸς τὴν θείαν πολιτείαν ἀπὸ τῆς ἐν γῇ διατριβῆς. Τοὺς δὲ αὐτοὺς καὶ δαίμονας ἀγαθοὺς καλεῖν ἔθος, ὡς ὄντας δαήμονας καὶ ἐπιστήμονας τῶν θείων νόμων, ἔστι δὲ ὅτε καὶ ἀγγέλους ὡς ἐκφαίνοντας καὶ διαγγέλλοντας ἡμῖν τοὺς πρὸς εὐζωΐαν κανόνας. Πολλάκις δὲ καὶ ταῖς τρισὶν ἐπινοίαις χρώμενοι τὸ πλάτος τοῦ μέσου γένους εἰς τρία τέμνομεν, καὶ τὸ μὲν προσεχὲς τοῖς οὐρανίοις καλοῦμεν ἀγγέλους, τὸ δὲ τοῖς ἐπιγείοις συναπτόμενον ἥρωας, τὸ δὲ ἐξ ἴσου τῶν ἄκρων ἀμφοτέρων ἀπέχον δαίμονας, ὥσπερ πολλαχοῦ ποιεῖ Πλάτων. Ἔνιοι δὲ ὅλον τὸ μέσον γένος ἑνὶ τῶν τριῶν προσαγορεύουσιν ὀνόματι, ἀγγέλους πάντας λέγοντες ἢ δαίμονας ἢ ἥρωας, δι' ἃς εἴπομεν αἰτίας, ὥσπερ καὶ νῦν τὸ μέσον γένος πᾶν ἥρωας ἀγαυοὺς εἶπεν, οὕτως ἔχοντας πρὸς τὸ πρῶτον γένος, ὡς αὐγὴ πρὸς πῦρ καὶ ὡς παῖς πρὸς πατέρα. Ὅθεν καὶ θεῶν παῖδες οἱ ἥρωες

ortæ ac perfectionis, quam huic universo suo quisque loco addunt. Oportet vero et omnibus honorem exhiberi ipsorum naturis congruentem; hoc autem earum cognitione efficitur. Quum enim rerum singularum naturam et ordinem intellexerimus, tunc et honorem legi convenientem eis tribuemus. At eorum, quæ humana natura inferiora sunt, nihil honore afficiemus, sed præcipue ea sola quæ natura sunt superiora : quin et æqualia, modo eminenti virtute prædita sint. Eorum vero quæ natura præcellunt princeps et optimus est Deus opifex, omnibus citra comparationem honore præferendus. Mundanorum vero primi sunt ii qui ab ipso generati et post ipsum constituti immutabili ejus cognitione fruuntur animoque affectibus libero bonorum ab opifice causa in ipsos profectorum communionem repræsentant : quos immortales deos ideo appellavit carmen, quod nunquam moriuntur, neque similitudinem Dei amittunt, sed in ea semper et eodem modo perseverant. Illi autem natura et honore medii sunt qui nunc dicuntur *heroes illustres*, qui opificem quidem semper norunt vitæque felicitate ab eo illustrantur, non eodem tamen modo neque immutabiliter. Ex eo enim, quod medio quodam statu cum Deo conjungantur, conversionem vitii expertem accipientes modo his modo aliis circa ipsum conatibus choros agitant et immutabilem unitamque primorum contemplationem sua multiplicata cognitione separant simul et conjungunt, dum illorum inspectionis ultima suæ initiationi principia faciunt. Qui quidem et (ἀγαυοὶ ἥρωες) illustres heroes merito appellantur; (ἀγαυοὶ) *illustres,* ut qui (ἀγαθοὶ) *boni,* et (φωτεινοὶ) *lucidi* semper sint, atque nec vitio nec oblivione unquam laborent; (ἥρωες) *heroes* autem ut qui ἔρωες quidam et ἔρωτες sint, quasi amatorii et dialectici Dei amatores, qui ab hac in terris commoratione nos attollunt et ad divinam civitatem evehunt. Moris vero est eosdem etiam (δαίμονας) dæmones bonos vocare, quippe qui (δαήμονες) scientes et periti divinarum legum sint : aliquando autem et (Ἀγγέλους) Angelos sive nuntios, quod vitæ felicis regulas nobis ostendant et nuntient. Sæpe vero rem triplicem cogitatione complectentes totum istud medium genus in tria dividimus, et quod proximum est cœlestibus *angelos* nuncupamus; quod autem terrestribus conjungitur, *heroes;* quod vero ex æquo distat ab utroque extremo, dæmones, sicut Plato sæpe facit. Nonnulli autem totum hoc medium genus uno e tribus nomine nuncupant, eosque omnes vocant angelos aut dæmones aut heroes propter eas quas diximus causas; quemadmodum et nunc carmen medium genus universum *heroes illustres* appellat, qui se ita ad primum genus habent ut splendor ad ignem et ut filius ad patrem. Unde et deorum filii merito prædicantur heroes, non ex mortalium coitu geniti, sed ex uniformi ipsorum causa prodeuntes, tanquam lux corporis lucidi substantiam comi-

εἰκότως ἐπευφημοῦνται, οὐκ ἐκ θνητῆς συνουσίας αὐτοὶ γεννώμενοι, ἀλλ' ἐκ τῆς μονοειδοῦς αὐτῶν αἰτίας προϊόντες, οἷον φῶς τῇ οὐσίᾳ τοῦ φωτεινοῦ σώματος σύνδρομον· φῶς δὲ ὕπαιθρον καὶ καθαρόν, μεθ' ὃ ἐπινοεῖται τὸ ἐν σκιᾷ φῶς καὶ τὸ ὑποσυμμιγὲς σκότῳ γινόμενον· πρὸς ὃ τὴν ἀναλογίαν ἔχει τὸ τρίτον καὶ ἀνθρώπινον γένος τῷ εἰς κακίαν ποτὲ καὶ λήθην ἐπιῤῥεπὲς εἶναι, οἷς καὶ τοῦ ἀεὶ νοεῖν τὸν θεὸν ἀφίσταται ἄνθρωπος, τῶν μὲν ἀεὶ νοούντων ἀπολειπόμενος τῷ ποτὲ μὴ νοεῖν, τῶν δὲ ἀλόγων ἀναβεβηκὼς τῷ ποτὲ νοεῖν καὶ πρὸς τὴν θείαν ἐπιστήμην ἀνακαλεῖσθαι, ὅτε καὶ τῷ θείῳ συντάττεται χορῷ τὸν ὑλικὸν φθόνον ἀποφυγὼν καὶ τὴν θνητὴν προσπάθειαν ἀποσεισάμενος. Τότε οὖν καὶ τιμῆς ἄξιος παρ' ἡμῶν ὁ τῆς θείας ἀποδοχῆς ἠξιωμένος, ὡς τὸ τῆς φύσεως ἴσον τῇ τοῦ κρείττονος μετουσίᾳ κοσμήσας. Προσήκει γὰρ τιμᾶν τῷ ἐραστῇ τοῦ θεοῦ καὶ τὰ ὁπωσοῦν ὡμοιωμένα αὐτῷ, εἴτε ἐξ ἀϊδίου τὴν ὁμοίωσιν εἴη κεκτημένα, εἴτε ἀπό τινος χρόνου τυγχάνοι ταύτην ἀσκήσαντα· οἷοί εἰσιν οἱ ἀρετῇ διενεγκόντες ἄνθρωποι, περὶ ὧν ἑξῆς ὁ παρὼν λόγος νομοθετεῖ.

IV. 3.

Τούς τε καταχθονίους σέβε δαίμονας ἔννομα ῥέζων.

Τὰς ἀνθρωπίνας ψυχὰς ἀληθείᾳ καὶ ἀρετῇ κοσμηθείσας δαίμονας καλεῖ, ὡς δαήμονας καὶ ἐπιστήμονας. Εἶτα χωρίζων αὐτὰς τῶν φύσει δαιμόνων, οἳ τὸ μέσον γένος πληροῦσι, καταχθονίους προσεῖπεν, ὡς δυναμένας ἐπὶ γῆς πολιτεύεσθαι καὶ γήινα σώματα ἐπεισιέναι καὶ κατὰ γῆς οἰκεῖν, ἵνα τῷ μὲν δαίμονας εἰπεῖν χωρίσῃ τῶν φαύλων καὶ ἀνεπιστημόνων ἀνθρώπων, ὡς ἀδαημόνων τινῶν καὶ οὐ δαιμόνων, τῷ δὲ καταχθονίους προσθεῖναι διαστήσῃ τῶν ἀεὶ δαημόνων καὶ ἐπιστημόνων ἀεί, καὶ ἐπὶ γῆς πολιτεύεσθαι μὴ πεφυκότων μηδὲ γηΐνοις συζῆν σώμασιν. Ἡ γὰρ τοῦ καταχθονίου δαίμονος πρόσρησις οὐδενὶ ἄλλῳ προσήκει, ἢ τῷ φύσει μὲν ὄντι ἀνθρώπῳ, σχέσει δὲ γενομένῳ δαίμονι, ἐπειδὴ τὸ τρίτον γένος χθόνιον ἰδίως λέγεται, ὡς ἔσχατον ἐν λογικαῖς οὐσίαις καὶ χθονίας ζωῆς ἐπιστρεφόμενον. Τὸ γὰρ πρῶτον οὐράνιον ἦν καὶ τὸ μέσον αἰθέριον. Πάντων οὖν ἀνθρώπων ὄντων κατὰ τοῦτο καταχθονίων λογικῶν, οὐ πάντων δὲ δαιμόνων, οὐδὲ σοφῶν, εἰκότως ἐπισυνάψας εἶπε καταχθονίους δαίμονας τοὺς σοφοὺς ἀνθρώπους. Οὔτε γὰρ πάντες ἄνθρωποι σοφοί εἰσιν, οὔτε πάντες οἱ σοφοί, ἄνθρωποι· ἀλλὰ καὶ ἥρωες ἀγαυοὶ καὶ ἀθάνατοι θεοί, φύσει κρείττονες ἀνθρώπων ὄντες, σοφοί τε εἰσι καὶ ἀγαθοί. Τοὺς οὖν τοῖς θείοις γένεσι συντεταγμένους ἀνθρώπους σέβειν ὁ λόγος παραινεῖ, τοὺς ἰσοδαίμονας καὶ ἰσαγγέλους καὶ τοῖς ἀγαυοῖς ἥρωσιν ὁμοίους. Μὴ γὰρ φαῦλόν τι δαιμόνων γένος ὑπολάβωμεν εἰσηγεῖσθαι δεῖν τιμᾶν, ὡς

---

tans : lux vero serena et pura, post quam consideratur lux umbrosa tenebrisque paululum mixta, cujus lucis rationem tertium humanumque genus in hoc habet, quod in vitium aliquando atque oblivionem prolabatur, unde et a continua Dei intelligentia homo discedit, qui quidem iis qui semper intelligunt eo est inferior, quod aliquando non intelligat, brutis vero superior, quod aliquando intelligat et ad divinam scientiam revocetur, quando et evitata materiali corruptione excussoque mortali affectu divino choro adjungitur. Tunc igitur is quoque dignus est qui a nobis honoretur, quem Deus admittere non est dedignatus, utpote qui naturam nostræ æqualem præstantioris communione exornaverit. Decet enim illum qui Deum amat, ea etiam quæ ei utcunque similia sunt honorare, sive eam similitudinem ab omni æternitate habeant, sive exercitatione ab aliquo tempore eam consecuti sint; quales sunt illi homines, qui virtute excelluerunt, de quibus in sequentibus carmen præcipit.

IV. 3.

Ac terrestres genios legitima faciens honora.

Humanos animos veritate et virtute ornatos vocat genios sive dæmones quasi (δαήμονας) scientes et intelligentes. Porro autem eos ab illis secernens, qui natura dæmones sunt atque medium genus implent *terrestres* appellat, quippe qui in terris versari terrenaque corpora induere et (subter) terram incolere possint, adeo ut dæmonas vocando eos a pravis atque stolidis hominibus sejungat, utpote qui non *daemones,* sed (ἀδαήμονες) inscientes quidam sint, *terrestres* autem addendo ab iis discernat, qui (δαήμονες) scientes semper et semper intelligentes sunt, et quorum ita comparata est natura, ut nec terram incolere, nec in terrenis corporibus vitam degere possint. Nulli enim alii convenit *terrestris genii* appellatio, quam ei qui natura homo est, habitu vero factus genius, quandoquidem tertium genus terrestre proprie dicitur, ut quod naturarum intelligentium ultimum sit atque terrestri vitæ addictum. Primum enim cœleste est, medium autem æthereum. Quum omnes igitur homines in hoc sint *terrestres* et ratione præditi, non omnes tamen *daemones,* neque sapientes, merito hæc conjungens sapientes homines vocavit *terrestres genios.* Neque enim omnes homines sapientes sunt, neque omnes sapientes homines, sed etiam *illustres heroes* et *immortales dii,* qui natura præstant hominibus, et sapientes sunt et boni. Carmen igitur nos jubet homines divinis generibus conjunctos colere, ut qui dæmonibus et angelis pares atque illustribus heroibus similes sint. Ne putemus enim carmen hic malum aliquod dæmonum genus honorandum esse docere,

ἄν τῳ δόξειεν ὑπὸ τῆς συνηθείας τὴν λέξιν ἐμφαίνειν. Ὅλως γὰρ τὰ χείρονα τῆς ἀνθρωπίνης οὐσίας οὐ καθήκει τιμᾶν τῷ ἐρωτικῶς ἔχοντι τοῦ θεοῦ καὶ τῆς ἑαυτοῦ ἀξίας ᾐσθημένῳ. Ἀλλ' οὐδὲ αὐτὸν τὸν ἄνθρωπον μετὰ τὰ κρείττονα τιμήσομεν, ἐὰν μὴ τοῖς κρείττοσιν ὡμοιωμένος ᾖ καὶ τῷ θείῳ χορῷ συμφερόμενος. Τίς οὖν ἡ τιμὴ καὶ τούτων; τὸ ἔννομα ῥέζειν, φησί. Τοῦτο δέ ἐστι τὸ πείθεσθαι οἷς καταλελοίπασιν ἡμῖν παραγγέλμασι, καὶ ὡς νόμοις ἐμμένειν τοῖς ἐκείνων λόγοις. καὶ τὴν αὐτὴν ὁδὸν μετιέναι τοῦ βίου, ἣν ἐκεῖνοι διελθόντες οὐκ ἐφθόνησαν ταύτης ἡμῖν μεταδοῦναι, ἀλλ' ὥσπερ τινὰ ἀθάνατον καὶ πατρῷον κλῆρον διηγωνίσαντο τοῖς μεταγενεστέροις διαφυλάξαι, τὰ στοιχεῖα τῶν ἀρετῶν καὶ τῆς ἀληθείας τοὺς κανόνας εἰς κοινὸν ὄφελος ἐν γράμμασι καταθέμενοι· οἷς τὸ πείθεσθαι καὶ ζῆν ἑπομένως, ἀληθεστέρα ἐκείνων τιμὴ γίγνεται, ἢ εἴ τις χοὰς αὐτοῖς ἐπιφέρῃ πολυτελεστάτας καὶ ἐναγίζῃ πλουσίως. Τοιαύτη μὲν ἡ τῶν κρειττόνων τιμή, ἀπὸ τοῦ δημιουργοῦ ἀρξαμένη καὶ εἰς ἀνθρώπους τοὺς ἀγαθοὺς περατουμένη διὰ μέσων τῶν οὐρανίων καὶ αἰθερίων γενῶν. Ἐπειδὴ δὲ καὶ τῶν κατὰ τὸν βίον σχέσεων πλεῖστον δεῖ ποιεῖσθαι λόγον, οἷον πατέρων καὶ συγγενῶν (οἳ οὐ πάντως μέν εἰσιν ἀγαθοί, πάντως δὲ τὸ τίμιον ὡς πρὸς ἡμᾶς τῇ ἀξίᾳ τῆς σχέσεως κέκτηνται), τούτου χάριν ἐπήγαγε·

V. 4.

Τούς τε γονεῖς τίμα, τούς τ' ἄγχιστ' ἐκγεγαῶτας.

Τοὺς μὲν ἀγαθοὺς ἀνθρώπους, ὡς δαιμονίους καὶ θείους, σέβειν ὁ λόγος ὑπέθετο· τοὺς δὲ γονέας καὶ τοὺς ἐγγύς τι τούτων τῇ φυσικῇ συγγενείᾳ προσήκοντας, ὁποῖοί ποτ' ἂν ὦσι, δι' αὐτὴν τὴν τῆς σχέσεως ἀνάγκην τιμᾶν εἰσηγεῖται. Ὅπερ γὰρ ἡμῖν οἱ κρείττονές εἰσι κατὰ τὴν ἀΐδιον συγγένειαν, πατέρων μὲν τάξιν ἔχοντες οἱ οὐράνιοι, συγγενῶν δὲ τιμίων οἱ ἥρωες· τοῦτο πρὸς τὸν θνητὸν βίον συντελοῦσιν ἡμῖν οἱ γονεῖς καὶ οἱ ἀγχιστεῖς, οἱ ἐγγύτατα τῶν γονέων ὄντες, καὶ διὰ τοῦτο τῇ μετὰ γονέας τιμῇ σεμνυνόμενοι. Πῶς οὖν καὶ τούτους τιμήσομεν; ἆρα τὸν ἑαυτῶν βίον πρὸς τὴν ἐκείνων ἀπευθύνοντες γνώμην, ὥστε δοξάζειν τε ταῦτα καὶ πράττειν, ἃ ἂν ἐκείνοις εἴη φίλα; Ἀλλ' οὕτως ἂν περιτραπείη ἡ τῶν ἀρετῶν ἄσκησις πρὸς κακίας σπουδήν, εἰ τύχοιεν ὄντες πονηροὶ οἱ πατέρες. Ἀλλὰ ἀτιμάσομεν αὐτοὺς εἰς πάντα διὰ τὴν τῆς κακίας κατάγνωσιν; καὶ πῶς ἔτι τῷ παρόντι νόμῳ πειθόμεθα; πῶς δὲ τὴν θεοειδῆ εἰκόνα τῶν γονέων ἢ τὴν ἡρωϊκὴν τῶν ἀγχιστέων ἔμφασιν μὴ τιμῶντες οὐκ εἰς ἐκείνους ἀσεβήσομεν, οἷς τούτους ἐοικέναι φαμέν; καὶ οὕτως ἡ δοκοῦσα δι' ἀπειθείας γονέων ἀρετὴ ἡμῖν ἀσκεῖσθαι εἰς μεῖζον κακὸν περιστήσεται, τὴν ἀσέβειαν. Πειθόμενοι δὲ πάντα γονεῦσι, πῶς οὐκ

---

ut cuipiam forsitan locutio hæc e communi usu significare videatur. Omnino enim non decet eum qui Deum amat et suam dignitatem intelligit ea honorare, quæ hominibus natura sunt deteriora. Imo vero nec ipsos homines post præstantiora illa honorabimus, nisi præstantioribus similes divinoque choro conjuncti sint? Qui igitur honos his quoque exhibendus est? *legitima,* inquit, *facere :* hoc vero est iis obedire præceptis, quæ illi nobis reliquerunt, et eorum dicta tanquam leges observare, atque eandem vitæ viam ingredi, quam illi emensi nobis monstrare non dedignati sunt, sed operam sedulo dederunt, ut hanc velut immortalem quandam paternamque hereditatem posteris conservarent, virtutum elementa veritatisque regulas in communem usum scriptis mandantes; quibus obsequi et congruenter vitam suam instituere verior est eorum cultus, quam si quis libamina eis offerat sumtuosissima profuseque parentet. Hujusmodi igitur est honos superis tributus, qui a creatore incipiens in bonos homines per media cœlestia atque ætherea genera desinit. Quoniam autem et necessitudinum, quæ in hominum vitam cadunt, præcipua est habenda ratio, velut parentum et cognatorum (qui licet non omnino boni sint, omnino tamen propter necessitudinis dignitatem merito apud nos sunt in honore) idcirco adjicit:

V. 4.

Observa etiam parentes et eos qui proxime cognati sunt.

Ut bonos viros, tanquam sapientes et divinos, colamus carmen nobis præcepit, parentes vero et naturali cognatione eis proximos, qualescunque demum sint, propter ipsam necessitudinem honorandos esse docet. Quod enim superi nobis sunt, cœlites quidem æterna cognatione parentum loco nobis constituti, cognatorum autem honorandorum loco heroes : id ipsum nobis in hac mortali vita sunt parentes et propinqui, qui parentibus proximi sunt atque ideo proximo post parentes honore decorantur. Quomodo igitur hos quoque honorabimus? num vitam nostram ita ad illorum sententiam componendo, ut ea quæ illis placent, nos et sentiamus et faciamus? Ita vero exercitatio virtutis vertatur in vitii studium, si forte mali sint parentes. Num vero eis in omnibus, ob vitiorum improbationem, honorem denegabimus? Quomodo igitur huic legi amplius parebimus? aut qui fiat, ut dum divinæ in parentibus imagini aut heroicæ propinquorum speciei honorem denegamus, non in eos impietatis rei simus, quibus similes hos esse dicimus? Ita vero virtus, quæ a nobis in negando parentibus obsequio exerceri videtur, in malum gravius, impietatem cedet. Sin

ἂν πάλιν τῆς εὐσεβείας ἀποπέσοιμεν καὶ τῆς ἄλλης ἀρετῆς, εἰ τύχοιεν ἐκεῖνοι διὰ μοχθηρίαν τρόπου μὴ πρὸς τὰ ὄντως καλὰ παιδαγωγοῦντες ἡμᾶς; Εἰ μὲν γὰρ τοῦτο πάντως ἦν ἀληθὲς καὶ καλόν, ὃ τοῖς γονεῦσι παρίστατο, σύμφωνος ἡ τῶν γονέων τιμὴ τῇ τῶν κρειττόνων ἐγίνετο. Εἰ δὲ ἔστιν ὅτε τῶν θείων νόμων ἀνήκοός ἐστιν ἡ τῶν γονέων προαίρεσις, τί δεῖ ποιεῖν εἰς ἀντινομίαν ἐμπεσόντας τοιαύτην, ἢ τοῦτο, ὃ καὶ ἐπὶ τῶν ἄλλων καθηκόντων ἐκ περιστάσεως εἰς ἐναντίωσιν ἐλθόντων προσήκει φυλάττειν; Μειζόνων γὰρ καὶ ἐλαττόνων προκειμένων καλῶν τὰ μείζονα πρὸ τῶν ἐλαττόνων ποιεῖσθαι δεῖ, ὅταν μὴ ἀμφότερα ἐξῇ διασώζειν. Οἷον καλὸν μὲν τῷ θεῷ πείθεσθαι, καλὸν δὲ καὶ τοῖς γονεῦσι. Εἰ γοῦν ἐς ταὐτὰ ἄγοι ἡ ἀμφοτέρων πειθώ, ἕρμαιον ἂν εἴη καὶ ἄμαχον τὸ γινόμενον· εἰ δὲ πρὸς ἄλλο μὲν ὁ θεῖος νόμος, πρὸς ἄλλο δὲ οἱ γονεῖς φέροιεν, μαχομένης τῆς αἱρέσεως, τοῖς ἀμείνοσιν ἕπεσθαι δεῖ, πρὸς ταῦτα μόνον ἀπειθοῦντας τοῖς γονεῦσι, πρὸς ἃ καὶ αὐτοὶ τοῖς θείοις νόμοις οὐ πείθονται. Τὸν γὰρ φυλάττειν βουλόμενον τοὺς τῆς ἀρετῆς κανόνας οὐχ οἷόν τε τοῖς τούτους παραβαίνουσι συμφωνεῖν. Εἰς δὲ τὰ ἄλλα πάντα γονέας τιμήσομεν ὑπερβαλλόντως, σώματος ὑπηρεσίαν καὶ χρημάτων χορηγίαν αὐτοῖς παρέχοντες ὅτι μάλιστα προθυμοτάτην. Δίκαιον γὰρ χρῆσθαι αὐτοὺς οἷς ἐγέννησάν τε καὶ ἔθρεψαν. Ὃ δὲ τῆς ἀπ' ἐκείνων διαδοχῆς οὐκ ἤρτηται, τοῦτο ἐλεύθερον τῆς ἀπ' ἐκείνων δεσποτείας ἀφίησιν ὁ νόμος, καὶ τὸν ὄντως πατέρα ζητεῖν παρακελεύεται, κἀκείνου ἔχεσθαι, καὶ τῆς πρὸς ἐκεῖνον ὁμοιώσεως πλείστην ἐπιμέλειαν ποιεῖσθαι. Καὶ οὕτως ἀμφότερα δύνασθαι συμβαίνει, τά τε θεῖα ἀγαθὰ δύνασθαι τηρεῖν καὶ τὰ ἀνθρώπινα. Καὶ οὔτε δι' οἴησιν ἀρετῆς γονέων θεραπείας ὀλιγωρήσομεν, οὔτε διὰ τὴν ἀνόητον ὕπειξιν τὸ μέγιστον τῶν κακῶν ἀσέβειαν εἰσδεξόμεθα. Εἰ γὰρ προτείνοιεν θάνατον μὴ πειθομένοις ἢ κλήρου ἀλλοτρίωσιν, οὐδὲν ἐκφοβεῖσθαι δεῖ τοῖς τοιούτοις, ἀλλ' εὖ εἰδέναι τί τὸ ταῦτα πεισόμενον, καὶ ὅτι ᾧ ἐγέννησαν ἀπειλοῦσι μόνῳ· τὸ δὲ ἀπαθὲς τούτων ἐλεύθερον προσήκει τηρεῖν καὶ μόνῳ θεῷ εὐπειθές. Τιμὴ οὖν γονέων ἡ ὄντως, ἣν δίδωσιν ὁ τῆς ἀρετῆς σκοπός, μήτε σωμάτων φειδομένους ἡμᾶς μήτε χρημάτων, ἀλλ' ἑκόντας αὐτοῖς ὑποτετάχθαι εἰς πάντα τὰ τοιαῦτα. Πρέπει γὰρ μήτε τὴν δι' αὐτουργίας θεραπείαν ἐπὶ γονέων παραιτεῖσθαι, ἐνευσχημονεῖν δὲ μᾶλλον αὐτῇ, ὅσῳ ἂν μᾶλλον ἐπίπονος γένηται καὶ δουλοπρεπής, μήτε οὐσίας δαπανωμένης φειδωλοὺς γίνεσθαι, ἀλλὰ πάντα πρὸς τὴν ἐκείνων χρείαν ἑτοίμως παρέχεσθαι, γεγηθότας καὶ ἡδομένους ἐπὶ τοῖς εἰς ἐκείνους πόνοις τε καὶ ἀναλώμασι. Τὸ γὰρ εὐχαρίστως ταῦτα ποιεῖν καὶ τὸν τῆς ἀρετῆς διασώζει νόμον καὶ τὸν τῆς φύσεως ἀποδίδωσιν ἔρανον. Τοιαύτη μὲν ἡ τῶν γονέων

autem in omnibus morem geramus parentibus, qui rursus pietate aliisque virtutibus non excidamus, si forte illi propter morum pravitatem, nos ad ea, quæ vere honesta sunt, non instituant? Nam si id quidem omnino verum atque honestum esset, quod parentibus videretur, honor eis habitus cum illo consentiret, quo superi afficiuntur. Sin autem divinis legibus repugnat aliquando parentum voluntas, quid aliud nos facere debemus, quum in ejusmodi legum pugnam incidimus, quam quod in aliis etiam officiis, quando casu aliquo inter se pugnant, observari oportet? Bonis enim majoribus minoribusque simul propositis majora minoribus sunt anteferenda, quum utraque conservare non possumus. Verbi gratia, bonum est Deo obedire; bonum vero et parentibus. Si igitur eodem ducat utrisque debita obedientia, lucrum sane contigerit inopinatum nec controversum; sin autem ad aliud nos divina lex, ad aliud parentes trahant, dubia electione visa, meliora nos sequi oportet, in iis solum non obedientes parentibus, in quibus ipsi divinis legibus non obediunt. Fieri enim non potest, ut is qui virtutis regulas observare vult, cum illis consentiat, qui eas violant. In cæteris vero omnibus parentes summo honore prosequemur, corporis ministerio et facultatum sumtu iis quam promtissime deservientes. Æquum enim est eos illis uti quos genuerunt atque aluerunt. Quod autem subolis ex iis ortæ non est, id a dominio eorum liberat lex jubetque verum patrem quærere eique adhærere, atque ad ejus similitudinem se quam accuratissime componere. Atque ita fit, ut utraque possimus, tum divina bona, tum humana conservare, et neque virtutis prætextu observantiam parentibus debitam negligamus, neque stulto erga eos obsequio impietatem admittamus, quod est maximum malorum. Si enim illi nobis non obedientibus mortem vel exheredationem minentur, nihil istis nos territari debemus, sed rite considerare, quid sit quod illa patietur eosque illi tantum minitari quod genuerunt, id autem quod hæc pati non potest, liberum servari oportet Deoque soli morigerum. Verus igitur parentum honor is est, quem permittit virtutis scopus, ut nec corporibus nostris nec pecuniæ parcamus, sed libenter iis in ejusmodi rebus omnibus obediamus. Decet enim nos neque manibus nostris obeunda in parentes officia detrectare, sed illa eo magis decori ducere, quo magis molesta sunt et servilia, neque facultatum sumtui parcere, sed omnia promte in illorum usum conferre, gaudentes lactantesque laboribus ac sumtibus in eorum commoda impensis. Qui enim hæc grato animo præstat, is tum virtutis legem observat, tum naturæ debitam gratiam refert. Hujusmodi igitur est honor, qui

τιμή. Ἡ δὲ τῶν ἀγχιστέων, δευτέρα μετ' ἐκείνην τεταγμένη, πρὸς τὴν τῆς φύσεως ἐγγύτητα παραμετρήσει τὴν θεραπείαν, τοσοῦτον τῆς μετὰ γονέας τιμῆς ἑκάστῳ τῶν συγγενῶν νέμουσα, ὅσον ἂν ἡ πρὸς ἐκείνους ἐγγύτης ὑποφαίνῃ· δῆλον δὲ ὅτι καὶ ἐπὶ τούτων τῆς ἀρετῆς ἀδεσπότου μενούσης.

VI. 5.

Τῶν δ' ἄλλων ἀρετῇ ποιεῦ φίλον, ὅστις ἄριστος.

Μετὰ τὴν πρώτην τιμὴν τῆς ἄνω συγγενείας καὶ ἑπομένην ἐκείνῃ τὴν περὶ γονέας καὶ συγγενεῖς ἀκολούθως ὁ φιλοποιὸς παραδίδοται νόμος, τῶν ἔξω τοῦ γένους τὸν ἄριστον εἰς φιλίαν ἐκλέγεσθαι καὶ πρὸς τὴν τῶν ἀρετῶν κοινωνίαν αὐτῷ συνάπτεσθαι κελεύων, ἵνα τὸν ἀγαθὸν ἄνδρα δι' ἀγαθὴν αἰτίαν ἔχωμεν φίλον, καὶ μὴ κατ' ἄλλας χρείας αὐτὸν οἰκειώμεθα, ὥστ' ἐοικέναι τὸ παράγγελμα τοῦτο τῇ περὶ τῶν μετηλλαχότων τὸν βίον σπουδαίων ἀνδρῶν ὑποθήκῃ. Ὡς γὰρ ἐκεῖ τοὺς ἐπιστήμονας μόνους τῶν ἀνθρώπων ἔλεγε δεῖν τιμᾶν· οὕτως ἐνταῦθα τοὺς ἀγαθοὺς φιλοποιεῖσθαι παραινεῖ μόνους, διδοὺς ἐπὶ μὲν τῶν ἄλλων ἐκλογήν, ἐπὶ δὲ γονέων καὶ συγγενῶν ἀρκούμενος τῇ φύσει. Ἁπλῶς γὰρ τὸ πρόσωπον τοῦ πατρὸς καὶ τοῦ ἀδελφοῦ συνεισάγει τὴν τιμήν, ἐπὶ δὲ τῶν ἄλλων ἡ ἀρετὴ ποιεῖ τὸ τίμιον, ὥσπερ καὶ ἐπὶ τῶν ἐκ τοῦ βίου ἀπελθόντων. Τὰ δὲ πρὸ τούτων κατ' αὐτὴν τὴν φύσιν ἐστὶ τίμια, ἐκεῖ μὲν θεοὶ καὶ ἥρωες, ἐνταῦθα δὲ πατέρες καὶ συγγενεῖς, ἐν θνητῇ φύσει τῆς ἀθανάτου συγγενείας ἡμῖν εἰκόνας προτείνοντες. Τοιαύτη μὲν ἡ πρώτη θήρα καὶ ἡ κτῆσις τοῦ φίλου. Τίς δὲ ἡ τήρησις αὐτοῦ ἡ πρὸς κοινωνίαν τῶν ἀγαθῶν ἡμῖν συντελοῦσα, καὶ τίς ἡ ἀπόθεσις, ἐὰν πρὸς τὸ χεῖρον μεταβαλλόμενος φαίνηται καὶ μὴ πειθόμενος ταῖς πρὸς τὸ βέλτιον ἀγούσαις συμβουλίαις, ἑξῆς λέγει.

VII. 6—8.

Πραέσι δ' εἶκε λόγοις ἔργοισί τ' ἐπωφελίμοισι.
Μηδ' ἔχθαιρε φίλον σὸν ἁμαρτάδος εἵνεκα μικρῆς,
ὄφρα δύνῃ· δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει.

Πῶς δεῖ προσφέρεσθαι τοῖς φίλοις ἐνταῦθα διαλέγεται, καὶ πρῶτον μὲν ὅτι τὰ καλὰ εἰσηγουμένοις αὐτοῖς καὶ ἐπ' ὠφελείᾳ τῇ ἡμετέρᾳ πράττουσιν ὁτιοῦν ἑκόντας δεῖ πειθαρχεῖν. Πρὸς γὰρ τοῦτο τὸ κοινωνικὸν ἀγαθὸν ὁ τῆς φιλίας συνάπτει νόμος, ὅπως ἡμεῖς τε ὠφελώμεθα παρ' ἐκείνων εἰς ἀρετῆς ἐπίδοσιν καὶ παρ' ἡμῶν ἐκεῖνοι. Ὡς γὰρ κοινὴν ὁδὸν τοῦ ἀρίστου βίου πορευομένους, ὅπερ ἂν ἄλλος ἄλλου προΐδῃ μᾶλλον, τοῦτο εἰς κοινὸν

---

debetur parentibus. Is autem, quo propinqui ornantur, altero post illum loco positus, cultum ad naturæ propinquitatem componet, tantum singulis cognatis alterius secundum parentes honoris tribuens, quantum ea quæ cum illis intercedit propinquitas significaverit: manifestum autem est virtutem etiam horum habita ratione debere liberam manere.

VI. 5.

Ex aliis vero amicum tibi adjunge, quisquis virtute præstantissimus est.

Post primum honorem superioribus cognatis exhibendum et proximum illi, parentibus et propinquis debitum, ordine suo lex de faciendis amicis traditur, qua jubemur optimum quemque, qui nobis minime cognatus sit, amicum deligere et cum illo ad virtutum communicationem conjungi, ut probum virum ob causam bonam amicum habeamus, non autem propter alias utilitates eum asciscamus: adeo ut hoc præceptum videatur ei simile, quod de præclaris hominibus vita functis traditur. Sicut enim ibi ex hominibus sapientes solos esse honorandos dicebat, ita hic eos tantum qui boni sunt amicos faciendos lex monet, permittens in cæteris quidem delectum, in parentibus vero et cognatis naturali vinculo contenta. Ipsa enim per se persona patris et fratris honorem simul affert; in aliis vero virtus honorem conciliat, quemadmodum et in illis qui de vita decesserunt. Ea vero quæ his antecedunt, ipsa natura sunt honoranda, illic quidem dii et heroes, hic autem parentes et cognati, qui in mortali natura cognationis immortalis imagines nobis exhibent. Sic igitur primum quæri et comparari amicum oportet. Qua ratione autem amicitiam ejus retineamus, quæ ad bonorum communicationem conducat et quomodo eam deponamus, si ille in deterius plane mutetur et meliora suadentibus auscultare nolit, in sequentibus narrat.

VII. 6-8.

Lenibus dictis cedas et utilibus factis;
neve oderis amicum propter leve peccatum,
quoad potes; facultas enim prope necessitatem habitat.

Disserit hic de modo quo nos erga amicos gerere oporteat, et primum quidem debere nos libenter eis auscultare, quum suadent honesta et rem quampiam in nostrum commodum faciunt. Nam ad consequendum hoc bonum hominum congregationi destinatum amicitiæ lex conjungit et obligat, ut et nos virtutis incremento ab iis augeamur et illi vicissim a nobis. Oportet enim eos, qui tanquam communem vitæ optimæ viam in-

ὄφελος κατατίθεσθαι δεῖ, πράως μὲν εἴκοντας τοῖς καλῶς ὑφηγουμένοις τῶν φίλων, πράως δὲ αὐτοῖς τῶν καλῶν τὴν κοινωνίαν προτείνοντας, περὶ δὲ χρημάτων ἢ δόξης ἤ τινος ἄλλου τῶν ἐκ τῆς θνητῆς συστοιχίας μηδεπώποτε αὐτοῖς διαφερομένους. Τοῦτο γὰρ ἦν ἁμαρτάδος εἵνεκα μικρῆς εἰς ἀπέχθειαν καθίστασθαι τοῖς περὶ τὰ μέγιστα ἀγαθὰ φίλοις ἡμῖν ὑπάρχουσιν. Εἰς πάντα οὖν τῶν φίλων ἀνεξόμεθα, ὡς ὑπὸ μεγίστης ἀνάγκης τῆς φιλικῆς διαθέσεως πιεζόμενοι, πλὴν ἑνός. Οὐ γὰρ δὴ καὶ πρὸς τὸ χεῖρον ὑποφερομένοις αὐτοῖς εἴξομεν, οὐδὲ μεταβαλλομένοις ἐκ τῆς περὶ φιλοσοφίαν σπουδῆς εἰς ἑτέραν τινὰ τοῦ βίου πρόθεσιν ἐπακολουθήσομεν καὶ αὐτοὶ συνεκφερόμενοι τοῖς ἀποπίπτουσιν ἀπὸ τοῦ πρὸς ἀρετὴν σκοποῦ, ἀλλὰ μάλιστα μὲν πάσῃ μηχανῇ πειρασόμεθα τὸν φίλον ἐπανορθώσασθαι· μὴ πείθοντες δὲ ἡσυχίαν ἕξομεν, οὔτε ἐχθρὸν ποιούμενοι διὰ τὴν προϋπηργμένην φιλίαν, οὔτε φίλον ἔτι διὰ τὴν πρὸς τὸ χεῖρον μεταβολήν. Ὥστε τούτου χάριν τὸν φίλον ποτὲ ἀποθησόμεθα, ὡς μηκέτι δυνάμενον εἶναι κοινωνὸν ἡμῖν ἀρετῆς, ἧς ἕνεκα καὶ τὴν ἀρχὴν φίλον αὐτὸν ἐποιησάμεθα. Ἡ δὲ ἀπόθεσις φυλαττέτω τὸ μὴ εἰς ἔχθραν μεταπεσεῖν. Δεῖ γάρ, εἰ καὶ ἐκεῖνος τῆς φιλίας ἑαυτὸν ὑπεξήγαγεν, ἡμᾶς γοῦν πλείστην ἐπιμέλειαν ποιεῖσθαι, ὅπως ἐπανακληθείη πρὸς τὸ δέον, οὐκ ἀγαπῶντας τὴν ἀπόπτωσιν τοῦ φίλου οὐδὲ ὑπερφρονοῦντας τὸ καταδεὲς αὐτοῦ τῆς γνώμης, ὀδυρομένους δὲ μᾶλλον καὶ θρηνοῦντας ὑπεραλγεῖν αὐτοῦ καὶ ὑπερεύχεσθαι, καὶ πάντα πειρᾶσθαι ποιεῖν τὰ πρὸς τὴν ἐκ μεταμελείας σωτηρίαν αὐτὸν ἐπανάγοντα. Τοιαῦτα δέ ἐστι τὸ μήτε περὶ χρημάτων μήτε περὶ δόξης αὐτῷ διαφέρεσθαι, καὶ τὸ μὴ ἐφ' ὕβρει τῆς κοινωνίας αὐτὸν ἀποστερεῖν, μηδὲ φιλοτιμίαν ἑαυτοῦ ποιεῖσθαι τὴν ἐκείνου δυστυχίαν. Ἐπειδὴ δὲ καὶ πρὸς τὴν ἀρίστην τῶν φίλων τήρησιν καὶ πρὸς τὴν εὔλογον ἀπόθεσιν καὶ πρὸς τὴν ἐκ μεταμελείας αὐτῶν ἐπανάκλησιν πλεῖστα συμβάλλεται τὸ ἡμέτερον ἀνεξίκακον καὶ περὶ μηδενὸς πρὸς τοὺς φίλους μικρολογούμενον, μηδὲ ἐξεταστικὸν πρὸς ἀκρίβειαν, ἀλλ' ὅσον οἷόν τε ὑπομονητικόν· διὰ τοῦτο ἐπήγαγεν ὄφρα δύνῃ. Εἶτα ἵνα μὴ τὴν δύναμιν τῷ τῆς προαιρέσεως μέτρῳ κανονίσῃ τις, ἀλλ' αὐτῷ τῷ τῆς φύσεως φορητῷ, ὅσον ἡ ἀνάγκη προσελθοῦσα ἐξευρίσκει, ἐπήγαγε δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει. Ἕκαστος γάρ, ὧν οἴεται δύνασθαι, πλέον δυνάμενος ὑπὸ τῆς ἀνάγκης ἐλέγχεται. Τοσοῦτον οὖν προθυμεῖσθαι χρὴ τῶν φίλων ἀνέχεσθαι, ὅσον ἡ ἀνάγκη δείκνυσιν ἡμᾶς δυναμένους, καὶ τό γε ἐξαίφνης ἀφόρητον φανὲν τῇ τῆς φιλίας ἀνάγκῃ φορητὸν ποιεῖν. Μὴ γὰρ δή που τὰ πρὸς βίαν ἐπιταττόμενα μόνα οἰώμεθα προσήκειν γενναίως ὑπομένειν, ἀλλὰ καὶ τὰ πρὸς φυλακὴν τῶν φίλων καὶ ἀνάκλησιν συντείνοντα μείζονος

---

gressi sunt, quodcunque alius alio melius præviderit, id in communem utilitatem conferre, amicis bene monentibus leniter cedentes; leniter etiam ea, quæ bona sunt, cum iis communicantes, nunquam autem de pecuniis aut gloria aut alia re e caducarum genere cum illis dissidentes. Id enim esset propter leve peccatum inimicitias suscipere cum illis, qui in maximis bonis amici nobis sunt. Nos igitur amica affectione, tanquam maxima necessitudine coacti, amicos in omnibus feremus, excepto uno. Neque enim illis morem etiam geremus, si prolabantur in deterius; nec, si a sapientiæ studio ad aliud aliquod vitæ institutum transeant, eos sequemur, abrepti et ipsi una cum iis a virtutis scopo aberrantibus, sed quacunque maxime possumus ratione conabimur amicum in rectam viam reducere : quodsi ei persuadere nequeamus, tum quiescemus, neque inimicum illum facientes propter amicitiam prægressam, nec pro amico in posterum habentes propter mutationem in deterius. Itaque hac de causa amicum aliquando repudiabimus, quum virtutis, cujus gratia primum factus est amicus, particeps nobiscum amplius esse non queat. Cavendum autem ne hæc repudiatio in inimicitiam vertatur. Quamvis enim ille ab amicitia se subduxerit, nos certe decet curare diligentissime, ut ad officium revocetur, nequaquam amici lapsu lætantes et judicii ejus inopiam despicientes, sed lamentis potius et ploratu vicem ejus dolentes et pro eo precantes, atque omnia facere conantes, quibus ille facti pœnitens ad salutem reducatur. Talia autem sunt, ut nec de pecuniis, nec de gloria cum eo contendamus, neque cum contumelia eum societate privemus, neque ejus infortunium nobis gloriæ ducamus. Quandoquidem vero tum ad amicos optime retinendos justeque repudiandos, tum ad eos pœnitentiæ beneficio sanam ad mentem revocandos plurimum confert nostra injuriarum tolerantia, et si de minutis rebus cum amicis nunquam litigemus; nec ad amussim omnia exigamus, sed quantum fieri potest patiamur : ideo hoc, *quoad possis,* adjecit. Deinde ne quis hanc facultatem voluntatis suæ modulo metiretur, sed illa naturæ patientia, quantam necessitas ingruens suggerit, porro addidit : « *facultas enim prope necessitatem habitat.* » Unusquisque enim urgente necessitate plus posse convincitur, quam ipse se posse arbitratur. In tantum igitur nos promte amicos ferre debemus, in quantum nos posse ostendit necessitas, et id quod primo aspectu intolerabile videtur, amicitiæ necessitate tolerabile reddere. Nequaquam enim putandum est, ea tantum, quæ vi imponuntur, fortiter esse patienda, sed ea etiam, quæ ad conservandos et revocandos amicos conferunt, majore patientia digna esse debemus

ὑπομονῆς ἄξια δεῖ τίθεσθαι, ὡς τῆς θείας ἀνάγκης ἐπιτάγματα. Δυνατωτέρα δὲ παρὰ τοῖς εὖ φρονοῦσιν ἡ τοῦ νοῦ ἀνάγκη τῆς ἔξωθεν βίας. Εἴτε οὖν πρὸς τὴν ἐκ περιστάσεως ἀνάγκην ἀπίδοις, εἴτε πρὸς τὴν ἑκούσιον, τὴν ἐκ τῶν ἐπιστημονικῶν ὅρων συμπληρουμένην καὶ ἐκ τῶν θείων νόμων καθήκουσαν, ἐξευρήσεις τὸ ἐνυπάρχον σοι τῆς δυνάμεως μέτρον, ὃ νῦν ὁ λόγος εἰσηγεῖται δεῖν τοῖς φίλοις προσφέρειν, ἐν τῷ προστάττειν μὴ προχείρως αὐτοῖς εἰς ἀπέχθειαν καθίστασθαι ἁμαρτάδος εἵνεκα μικρῆς, τὰ ἔξω τῆς ψυχῆς πάντα μικρὰ θέμενος καὶ ἀπαγορεύων μὴ φειδοῖ τούτων τὸν φίλον ἐχθρὸν ποιεῖν, ἀδιαφορίᾳ δὲ μᾶλλον τῇ περὶ τὰ τοιαῦτα καὶ τὸν ἀποπεσόντα φίλον ἀνακαλεῖσθαι καὶ πανταχοῦ τοῦτο ἑαυτοῖς συνειδέναι, ὅτι ὅσον ἐφ' ἡμῖν καὶ τοὺς ὄντας φίλους ἐτηρήσαμεν καὶ τοὺς πρὸς τὸ χεῖρον ὑπενεχθέντας ἀνεκτησάμεθα, καὶ οὔτε τὴν ἀρχὴν εἰς ἔχθραν τινὰ κατεστήσαμεν, οὔτε παρ' ἑαυτοῦ γενόμενον ἐχθρὸν τοῖς ἴσοις ἠμειψάμεθα. Ταῦτα γὰρ ὁ τῆς φιλίας ὑπαγορεύει θεσμός, μεγίστης οὔσης ἀρετῆς καὶ ταῖς ἄλλαις ὡς τελειότητος ἐπιφαινομένης. Πέρας μὲν γὰρ τῶν ἀρετῶν ἡ φιλία, ἀρχὴ δὲ ἡ εὐσέβεια. Καί ἐστιν ὁ τῆς εὐσεβείας λόγος σπέρμα τῶν ἀγαθῶν ἁπάντων ἡμῖν· ἡ δὲ τῆς φιλίας ἕξις ὁ τελειότατος τῶν ἀρετῶν καρπός. Ὥσπερ οὖν δικαιοσύνης ποιεῖσθαι δεῖ λόγον οὐ μόνον πρὸς τοὺς δικαίως ἡμῖν προσφερομένους, ἀλλὰ καὶ πρὸς τοὺς ἀδικεῖν ἐγχειροῦντας, ἵνα μὴ τῷ ἀνταδικεῖν εἰς τὴν ἴσην καχεξίαν αὐτοῖς ἔλθωμεν· οὕτω καὶ τῆς φιλίας ἀντέχεσθαι δεῖ, τοῦτ' ἔστι τῆς φιλανθρωπίας τῆς πρὸς ἅπαντας, οἳ τοῦ γένους ἡμῖν κοινωνοῦσιν. Ἐν τάξει δὲ τῇ πρεπούσῃ τὰ τῆς φιλίας μέτρα ποιησόμεθα, τοὺς μὲν ἀγαθοὺς ὡς ἀποσώζοντας τὴν τοῦ ἀνθρώπου τελειότητα καὶ διὰ τὴν φύσιν καὶ διὰ τὴν γνώμην παντοίως ἀσπαζόμενοι, τοὺς δὲ φαύλους ὡς μηδὲν ἀπὸ γνώμης εἰς αἵρεσιν φιλίας ἡμῖν ὑπέχοντας διὰ μόνην τὴν κοινὴν φύσιν ἀγαπῶντες. Διὸ καὶ λέγεται ὀρθῶς, ὡς οὐδεὶς ἐχθρὸς τῷ σπουδαίῳ, καὶ μόνος ὁ ἀγαθὸς ἀγαθῷ φίλος. Ὡς μὲν γὰρ τὸν ἄνθρωπον φιλῶν, οὐδὲ τὸν κακὸν ἐχθρὸν τίθεται, ὡς δὲ τὸν ἀρετῇ κεκοσμημένον ζητῶν πρὸς κοινωνίαν τὸν ἀγαθὸν ἐκ πάντων ἐκλέγεται, μιμούμενος καὶ ἐν τοῖς τῆς φιλίας μέτροις τὸν θεόν, ὃς μισεῖ μὲν οὐδένα ἄνθρωπον, τὸν δὲ ἀγαθὸν διαφερόντως ἀσπάζεται. Τὸ γὰρ τῆς φιλανθρωπίας ἀγαθὸν κοινῇ τῷ γένει προτείνων τῆς προσηκούσης μοίρας ἕκαστον ἀξιοῖ, τοὺς μὲν ἀγαθοὺς πρὸς ἑαυτὸν ἀνάγων, τοὺς δὲ τῆς ἀρετῆς φυγάδας τοῖς τῆς δίκης νόμοις πρὸς τὸ δέον ἀπευθύνων. Τοῦτο γὰρ τοῖς ἑκατέροις σύμμετρόν τε καὶ ὠφέλιμον. Οὕτω καὶ ἡμᾶς προσήκει τὴν φιλίαν τηρεῖν πρὸς πάντας ἀνθρώπους μετὰ τῆς πρὸς τὴν ἀξίαν ἀπονεμήσεως.

Καὶ γὰρ σωφροσύνην καὶ δικαιοσύνην πρὸς ἅπαντας ἕξομεν, καὶ οὐ πρὸς μόνους τοὺς δικαίους καὶ σώφρονας· οὐδὲ ἀγαθοὶ μὲν τοῖς ἀγαθοῖς ἐσόμεθα, κακοὶ δὲ τοῖς

existimare, tanquam divinæ necessitatis mandata. Mentis vero necessitas apud eos qui recte sapiunt, plus valet quam vis externa. Sive igitur ad illam necessitatem respicias, quæ ex rerum statu oritur, sive ad voluntariam, quæ scientiæ terminis continetur quæque divinis legibus consentanea est, invenies eam in te esse facultatis potestatisque mensuram, quam nunc carmen amicis esse præstandam docet, dum nos *parvi peccati causa* vetat eorum inimicitiam temere suscipere; quippe quod omnia, quæ extra animum sunt, in parvis habet, præcipitque, non, ut his parcendo ex amico inicum faciamus, sed ut iis potius neglectis amicum lapsum recuperemus, nobisque in omnibus conscii simus, nos quoad potuimus, et eos qui amici erant conservasse et in deterius prolapsos recuperasse, ac neque inimicitiæ cuiquam causam præbuisse, nec ei qui sponte sua nobis inimicus erat paria paribus retulisse. Hæc enim dictat amicitiæ lex, quæ virtutum maxima est et in cæteris tanquam earum perfectio elucet. Nam virtutum finis est amicitia, principium vero pietas. Atque pietatis ratio nobis bonorum omnium semen est, amicitiæ vero habitus perfectissimus est virtutum fructus. Quemadmodum igitur justitiam colere debemus non solum erga eos qui juste nobiscum agunt, sed et erga eos qui nobis injuriam conantur inferre, ne dum injuriam illatam ulciscimur in idem cum illis vitium incidamus: sic et amicitiam, id est, humanitatem colere oportet erga omnes qui ejusdem nobiscum generis participes sunt. Recte autem et ordine amicitiam metiemur, si bonos, ut humanæ naturæ perfectionem servantes, cum propter naturam, tum ob animum voluntatemque omnino amplectamur, malos autem propter communem naturam solum amemus, quippe qui n hil ab animo ad expetendam ipsorum amicitiam nobis afferant. Quapropter et recte dicitur nemo inimicus esse viro bono solusque bonus bono amicus. Is enim, ut hominem diligens, ne malum quidem pro inimico habet; ut vero virtute præditum sibi socium quærens bonum ex omnibus deligit, in ipsis etiam amicitiæ regulis deum imitans qui hominum neminem odit, bonum vero præcipue amplectitur. Ille enim benevolentiæ suæ commoda humano generi communiter porrigens convenientem singulis sortem tribuit, probos ad se adducens, virtutis autem desertores justa castigatione ad officium reducens. Hoc enim utrisque congruum atque utile est. Similiter et nos omnium hominum amicitias colere oportet, adhibita singulorum dignitatis distinctione. Etenim temperantiam et justitiam exercebimus erga omnes, ac non solum erga justos et temperatos; nec

κακοῖς. Οὕτω γὰρ ῥᾳδίως συμμεταβαλλόμενοι τοῖς προσπίπτουσιν οὐδὲν οἰκεῖον ἕξομεν ἀγαθόν, ὃ διὰ παντὸς καὶ πρὸς πάντας τηρήσομεν. Εἰ δὲ ἕξιν τὴν ἀρετὴν κεκτήμεθα, οὐκ ἔστιν ἐπὶ τῷ βουλομένῳ ταύτης ἡμᾶς ἀποστῆσαι· οὐδὲ τοῖς ἐντυγχάνουσι τὰς διαθέσεις συναλλοιώσομεν, τὸ μόνιμον τῆς ἀρετῆς εὐτυχοῦντες. Ὅπερ οὖν ἐπὶ τῶν ἄλλων ἀρετῶν, τοῦτο καὶ ἐπὶ τῆς φιλίας δεήσει φυλάττειν, φιλίας, ὡς ἔφαμεν, μεγίστης οὔσης ἀρετῆς, φιλανθρωπίας δὲ κοινῶς μὲν πρὸς ἅπαντας, ἰδίως δὲ πρὸς τοὺς ἀγαθοὺς θεωρουμένης, ὅτι καὶ τὸ τῆς φιλανθρωπίας ὄνομα αὐτῇ μᾶλλον ἐπιπρέπει. Ταῦτα δὲ περὶ τούτων, ἐπὶ δὲ τὰ ἑξῆς ῥοίωμεν.

VIII. 9—11.

Ταῦτα μὲν οὕτως ἴσθι· κρατεῖν δ' εἰθίζεο τῶνδε·
γαστρὸς μὲν πρώτιστα καὶ ὕπνου λαγνείης τε
καὶ θυμοῦ.

Συστέλλειν δεῖ ταῦτα πάντα καὶ τάττειν, ἵνα μὴ παρενοχλῇ τὸν λογισμόν. Φέρε οὖν, τὴν ἀλογίαν ὅλην ἐν τάξει χαλινώσωμεν ὀρθαῖς παιδαγωγίαις, ἐπειδὴ καὶ τὰ ταύτης μέρη χορηγά ἐστι κακίας ἀλλήλοις ἐφεξῆς. Οἷον γαστὴρ ἄγαν πληρουμένη ὕπνον πολὺν ἐπάγεται· ἀμφότερα δὲ ἀφθονίαν παρέχεται σπέρματος, ἥτις ἀμέτρως ἐγείρει πρὸς ἀφροδίσια καὶ τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς πρὸς τὸ ἀκόλαστον ἐποξύνει. Τούτῳ δὲ τὸ θυμικὸν συνεκφερόμενον διὰ πάσης ἴεται μάχης, νῦν μὲν σιτία καὶ ποτὰ ἐκδικοῦν, νῦν δὲ περὶ ἑταίρας μαχόμενον καὶ ἄλλοτε ἄλλας ἡδονὰς φιλονεικοῦν κτήσασθαι. Κρατεῖν οὖν ἐθίζου τούτων, ἀπὸ τῆς γαστρὸς πρώτης ἀρξάμενος, ἵνα τοῦ τε λόγου κατήκοα γένηται τὰ ἄλογα τῆς ψυχῆς εἴδη, καὶ αὐτὸς ἐπὶ σαυτοῦ τὴν εὐσέβειαν καὶ τὴν περὶ γονέας τιμὴν καὶ πάντα, ἃ μικρῷ πρόσθεν παρῄνεσεν ὁ λόγος, ἀπαραγώγως φυλάξαι δυνηθῇς. Δύναμις γὰρ τῆς τῶν προτέρων τηρήσεως ταυτὶ τὰ ἑπόμενα. Ἐπεὶ παραβαθείη ἂν πάντα ἐκεῖνα, μὴ ἑπομένων τῷ λογισμῷ τῶν παθητικῶν δυνάμεων. Ἢ γὰρ θυμὸς ἐξετάραξε κατὰ γονέων, ἢ ἐπιθυμία πρὸς ἀπείθειαν αὐτῶν ὥπλισε. Καὶ πάλιν, ἢ θυμὸς πρὸς βλασφημίαν ἐπήγειρεν, ἢ ἐπιθυμία χρημάτων πρὸς ἐπιορκίαν. Καὶ ὅλως τὰ κακὰ διὰ ταύτας πράττεται τὰς δυνάμεις, μὴ τῆς λογικῆς ψυχῆς πρὸς τὸ δέον αὐτὰς ἀπευθυνούσης. Ἐντεῦθεν ἀσέβειαι παντοῖαι καὶ πόλεμοι συγγενικοὶ καὶ φίλων προδοσίαι καὶ πάντα τῆς παρανομίας τὰ εἴδη, ὡς καὶ βοᾶν ἀναγκάζεσθαί τινας·

μανθάνω μὲν οἷα μέλλω δρᾶν κακά,
θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,

ἄλλους δὲ ἢ τοὺς αὐτοὺς ἄλλοτε βοᾶν,

---

boni bonis erimus, malis autem mali. Ita enim facile, prout res contingunt, mutati, nihil proprii nobis boni conservabimus, quo semper et erga omnes utamur. Quodsi virtutis habitum comparaverimus, non erit volentis, nos ab ea dimovere; neque pro re nata affectus nostros variabimus, si stabili virtutis possessione fruamur. Quod igitur in aliis virtutibus, id in amicitia quoque observandum erit, quum amicitia, uti diximus, virtus sit maxima, humanitas vero communiter erga omnes, sed præsertim erga bonos exerceatur, unde humanitatis nomen ei præcipue convenit. Sed de his hactenus : ad ea igitur quæ sequuntur pergamus.

VIII. 9-11.

Hæc quidem sic teneas, sed istis imperare assuesce :
ventri primum et somno, deinde libidini
et iræ.

Coerceri oportet hæc omnia et in ordinem cogi, ne rationem perturbent. Age igitur, id totum quod rationi repugnat rectis institutis ordinatim refrenemus, quoniam et hujus partes sibi invicem vitia subministrant. Verbi gratia venter multo cibo refertus multum somnum inducit; ambo autem seminis copiam præbent, quæ ad res venereas immoderate excitat animique partem ad concupiscendum propensam ad incontinentiam incitat. Cum hac vero una impetum faciens pars irritabilis per omne genus pugnæ grassatur, modo esculenta et potulenta sibi vindicando, modo de meretrice rixando atque nunc de his, nunc de illis voluptatibus comparandis acriter contendendo. His igitur imperare assuescas, facto a ventre initio, ut et animi partes rationis expertes rationi obsequantur, et ipse in te pietatem et erga parentes honorem cæteraque omnia, ad quæ paulo ante hortabatur carmen, constanter servare possis. Nam priora illa observandi potestas posterioribus hisce continetur. Violabuntur enim illa omnia, si facultates perturbationibus obnoxiæ rationi non obtemperent. Aut enim ira ad resistendum parentibus excitat, aut cupiditas ad eorum consilia contemnenda armat. Et rursus, aut ira ad maledicta impellit, aut pecuniarum cupiditas ad perjurium. Atque omnino mala ab his facultatibus perpetrantur, nisi ad decorum a ratione diriguntur. Hinc omnis generis impietates et bella inter consanguineos et amicorum proditiones et cuncta flagitiorum genera, adeo ut nonnulli exclamare cogantur,

Intelligo quidem, qualia moliar mala;
sed ira potentior est meis consiliis,

alii vero, aut iidem alias exclamare,

μανθάνω μὲν οἷα μέλλω δρᾶν κακά,
ἐπιθυμία δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,

καί,

Εὖ μέν μοι δοκεῖς λέγειν, πέπονθα δὲ τὸ τῶν πολλῶν πάθος, οὐ πάνυ σοι πείθομαι.

Τὸ γὰρ λογικὸν γένος πρὸς τὴν τῶν καλῶν αἴσθησιν εὐφυῶς διακείμενον, εὐανάμνηστόν ἐστι καὶ εὐάγωγον πρὸς τὴν τοῦ ὀρθοῦ λόγου διδασκαλίαν, ὅταν μὴ ταῖς παθητικαῖς ὁλκαῖς, ὥσπερ τισὶ μολυβδίσιν, ὑποφέρηται πρὸς κακίαν. Δεῖ οὖν καὶ αὐτοὺς ἡμᾶς εἰδέναι τὰ δέοντα, καὶ τὰς ἀλόγους δυνάμεις ἐθίσαι, ὅσον οἷόν τε, καὶ αὐτὰς τῷ ἐν ἡμῖν λόγῳ συνέπεσθαι. Οὕτω δὲ ταχθέντων τῶν παθῶν, ἱκανὸς ὁ λογισμὸς γένοιτο ἂν ἀπερισπάστως φυλάξαι τὰ πρῶτα παραγγέλματα, περὶ ὧν εἴρηται ταῦτα μὲν οὕτως ἴσθι. Περὶ δὲ τῶν ἑξῆς ἐθίζου κρατεῖν εἶπεν, ἐνδεικνύμενος, ὅτι τὸ μὲν λογικὸν διδασκαλίᾳ καὶ ἐπιστήμῃ τάττεται, τὸ δὲ ἄλογον ἐθισμοῖς καὶ πλάσεσι τρόπον τινὰ σωματικαῖς· οὕτω δὲ καὶ τῶν ζώων τὰ ἄλογα μόνῳ ἔθει ἄγεται ὑπὸ τῶν ἀνθρώπων. Ἐθισθεῖσα οὖν γαστὴρ ζητεῖν τὰ μέτρια, τάς τε ἄλλας ἐπιθυμίας τοῦ σώματος κοσμιωτέρας παρέχεται καὶ τὸν θυμὸν ἐμμελέστερον, ἵν' ἐφ' ἡσυχίας τὰ περὶ τῶν δεόντων βουλευώμεθα, μὴ σφόδρα ὑπὸ τῶν συνεχόντων παθῶν ἐνοχλούμενοι, ὅθεν καὶ τὸ ἑαυτοὺς γνῶναι ὅ ἐσμεν τῇ ἀληθείᾳ καὶ τὸ αἰδεῖσθαι οὓς ἔγνωμεν διδασκόμεθα. Ἐκ δὲ τῆς γνώσεως ταύτης καὶ τῆς συνούσης αὐτῇ αἰδοῦς ἡ τῶν αἰσχρῶν φυγὴ παραγίνεται. Τὰ γὰρ κακὰ αἰσχρὰ λέγεται, ὡς ἀπρεπῆ καὶ ἀνάξια δρᾶσθαι ὑπὸ λογικῆς οὐσίας· περὶ ὧν τὰ ἑξῆς ἐπιλέγει.

IX. 11—12.

Πρῆξις δ' αἰσχρόν ποτε μήτε μετ' ἄλλου,
μήτ' ἰδίῃ· πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν.

Ἢ γὰρ καθ' ἑαυτοὺς πράττοντές τι αἰσχρὸν ἀδιάφορον αὐτὸ ἡγούμεθα, ὃ μετ' ἄλλου οὐκ ἂν ἐπράξαμέν ποτε, τὸν κοινωνὸν τῆς πράξεως αἰσχυνόμενοι· ἢ ἀνάπαλιν, συμπεριφερόμενοί τισι πράττομεν ἃ μή ποτ' ἂν καθ' ἑαυτοὺς ἐδράσαμεν, τῇ κοινωνίᾳ τῶν συμπραττόντων εἰς παῤῥησίαν τοῦ ἔργου προκαλούμενοι. Διὰ τοῦτο προανεῖλεν ἑκατέραν ὁδὸν τῆς εἰς τὸ αἰσχρὸν καὶ τὸ κακὸν παρεκβάσεως. Εἰ γὰρ τὸ αἰσχρὸν τῇ ἀληθείᾳ φευκτόν, οὐκ ἄν ποτε διὰ περίστασιν αἱρετὸν γένοιτο. Διὸ συνάψας εἶπε, μήτε μετ' ἄλλου, μήτ' ἰδίῃ· ἵνα μήτε μόνωσις ἐπεγείρῃ σε πρὸς τὸ μὴ πρέπον, μήτε κοινωνία εὐαπολόγητόν σοι ποιήσῃ τὴν ἁμαρτίαν. Εἶτ' ἐπήγαγε τὴν αἰτίαν, τὴν μόνην τῶν κακῶν ἀποτρέπουσαν, πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν. Ἐὰν γὰρ ἐθισθῇς σαυτὸν αἰσχύνεσθαι, ἕξεις πανταχοῦ, ὃν αἰδεσθήσῃ, οἰκειότατον φύλακα καὶ

Intelligo quidem, qualia moliar mala,
sed ratione fortior mihi cupiditas est.

Et,

Nec absurde sane mihi videris dicere; laboro autem vulgari malo, obtemperare tibi nequeo

Etenim suboles mentis compos, quum ad honestas res percipiendas naturâ comparata sit, earum memor est et docilis ad rectæ rationis monita, quando non affectuum ponderibus, tanquam plumbeis quibusdam globis, ad vitia deorsum rapitur. Oportet igitur nos ea, quæ nostri sunt officii, scire, irrationales autem facultates, quantum fieri potest, assuefaciendæ sunt et ipsæ rationi, quæ in nobis est, obtemperare. Affectibus vero sic in ordinem redactis, tum demum poterit ipsa ratio nulla re interveniente prima illa præcepta observare, de quibus dictum est : *hæc quidem sic teneas*. De sequentibus autem dicit, *imperare assuesce*, significans, id quod est ratione præditum disciplina ac scientia regi, illud autem quod ratione caret assuetudine et formatione quodammodo corporea institui : sic enim et bruta animalia homines sola consuetudine condocefaciunt. Venter igitur qui moderata appetere consueverit, cum cæteras corporis cupiditates reddit temperantiores, tum iram ipsam remissiorem, ut de iis quæ ad officium pertinent tranquille deliberemus, commotionibus internis minime agitati : unde et nosmet ipsi quid vere simus nosse, et sic notos revereri discimus. Ex hac vero cognitione eamque comitante pudore eorum fuga fit quæ (αἰσχρὰ) turpia sunt; vitia enim αἰσχρὰ dicuntur, ut indecora et indigna quæ ab intelligenti natura fiant, de quibus ea quæ sequuntur adjicit.

IX. 11-12.

Ne quid unquam turpe committas sive cum alio
sive seorsum, sed maxime omnium verere te ipsum.

Aut enim turpe aliquid soli facientes indifferens illud arbitramur, quod præsente alio nunquam fecissemus, facinoris testem adhibere verecundantes; aut contra aliis obsequentes illa simul facimus, quæ soli nunquam fecissemus, ab ipsa facinoris societate ad id fidenter patrandum allecti. Quapropter utramque ad illud, quod turpe et vitiosum est, transgrediendi viam præclusit. Si enim quidquid turpe est, reapse fugiendum sit, nunquam id propter tempora quædam rerumque statum erit eligendum. Quocirca conjunctim dixit *neque cum alio neque seorsum*, ut neque solitudo te ad id quod indecorum est incitet, nec facilem peccati excusationem tibi præbeat societas. Deinde rationem, quæ sola a vitiis deterreat, hanc sub-

ἀναπόδραστον. Ἐπεὶ πολλοὶ μονωθέντες φίλων, ἢ οἰκετῶν, ἔδρασαν ταῦτα, ἃ πρότερον δι' ἐκείνους ποιῆσαι ᾐσχύνοντο. Ἆρ' οὖν οὐδένα εἶχον συνόντα; ἐῶ Θεόν· (πορρωτέρω γὰρ οὗτος τῆς τῶν κακῶν συνειδήσεως·) ἀλλὰ ἑαυτοὺς οὐκ εἶχον καὶ τὸ τοῦ συνειδότος κριτήριον; Εἶχον μὲν οὖν· ἀλλ' ἠγνόουν ὅτι εἶχον, τοῖς πάθεσι κατατεινόμενοι. Οἱ δὲ τοιοῦτοι τὸ ἐν αὐτοῖς λογικὸν ἄτιμον καὶ ἀνδραπόδου φαυλότερον ἔθεντο. Οἰκειότατον οὖν ἐπίτροπον ἔχε σαυτόν· καὶ πρὸς τοῦτον ἐπιστρέφων κατάρχου τῆς ἀποτροπῆς τῶν κακῶν. Ἡ γὰρ ἑαυτοῦ αἰδὼς ἑκάστῳ φυγὴ τῶν αἰσχρῶν καὶ ἀναξίων τῆς λογικῆς οὐσίας ἐξ ἀνάγκης γίνεται. Ὁ δὲ οὕτως ἀπαξιῶν τὰ κακὰ πῶς πρὸς ἀρετὴν οἰκειοῦται, ἐπάγει.

X. 13—16.

Εἶτα δικαιοσύνην ἄσκει ἔργῳ τε λόγῳ τε·
μηδ' ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε·
ἀλλὰ γνῶθι μὲν ὡς θανέειν πέπρωται ἅπασι.
Χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φίλει, ἄλλοτ' ὀλέσσαι.

Ὁ ἑαυτὸν αἰσχυνόμενος φύλαξ ἑαυτοῦ γίνεται μηδαμοῦ κακίᾳ περιπεσεῖν. Κακίας δὲ εἴδη πλείονα. Κατὰ μὲν τὸ λογικόν, ἀφροσύνη· κατὰ δὲ τὸ θυμικόν, δειλία· κατὰ δὲ τὸ ἐπιθυμητικόν, φιληδονία καὶ φιλοχρηματία· κατὰ δὲ πάσας ὁμοῦ τὰς δυνάμεις, ἀδικία. Τετράδος οὖν ἀρετῶν ἐδέησεν ἡμῖν πρὸς τὴν τῶν τοιούτων κακῶν ἀποτροπήν· φρονήσεως μέν, περὶ τὸ λογιζόμενον· ἀνδρείας δέ, περὶ τὸ θυμούμενον· σωφροσύνης δέ, περὶ τὸ ἐπιθυμητικόν· δικαιοσύνης δέ, περὶ πάσας ὁμοῦ τὰς δυνάμεις, τελειοτάτης οὔσης πασῶν ἀρετῶν καὶ περιεκτικῆς τῶν ἄλλων, ὡς οἰκείων μερῶν. Διὸ καὶ ταύτης πρώτης ἐμνημόνευσεν ὁ λόγος· εἶτα φρονήσεως, καὶ ἐφεξῆς τῶν ἀπὸ τῆς φρονήσεως ἀπογεννωμένων ἀρίστων ἐπιτηδευμάτων, καὶ εἰς τὴν τῆς δικαιοσύνης ὁλότητα συντελούντων. Ὁ γὰρ ὀρθῷ λογισμῷ χρώμενος, ἐν μὲν τοῖς δεινοῖς τὴν ἀνδρείαν σύμμαχον κτᾶται· ἐν δὲ τοῖς ἡδέσι τὴν σωφροσύνην, ἐν πᾶσι δὲ ὁμοῦ τὴν δικαιοσύνην. Καὶ οὕτως ἀρχὴ μὲν τῶν ἀρετῶν ἡ φρόνησις εὑρίσκεται· πέρας δέ, ἡ δικαιοσύνη· διὰ μέσου δέ, ἡ ἀνδρεία καὶ ἡ σωφροσύνη. Ἡ γὰρ πάντα ἐκλογιζομένη δύναμις, καὶ τὸ ἑκάστου πρόσφορον ταῖς πράξεσιν ἀεὶ ζητοῦσα, ἵν' εὐλόγως ἕκαστα διατεθείη, ἡ τῆς φρονήσεώς ἐστιν ἕξις· ἀρίστη διάθεσις οὖσα τῆς λογικῆς ἡμῶν οὐσίας, ἀφ' ἧς καὶ ταῖς ἄλλαις δυνάμεσιν ἡ εὐκοσμία παραγίγνεται, ὡς ἀνδρίζεσθαι μὲν τὸν θυμόν, σωφρονεῖν δὲ τὴν ἐπιθυμίαν, καὶ τὴν δικαιοσύνην τῆς ἀναλογίας ἔχεσθαι, καὶ ταύτῃ κοσμεῖσθαι τὸν θνητὸν ἡμῶν ἄνθρωπον ἐκ περιουσίας τῆς ἐνούσης ἀρετῆς τῷ ἀθανάτῳ ἀνθρώπῳ. Προηγουμένως γὰρ αἱ ἀρεταὶ ἀπὸ νοῦ εἰς ψυχὴν λογικὴν ἐλλάμπονται, καὶ ταύτης εἰσὶν οἰκεῖον εἶδος, καὶ τελειότης, καὶ εὐζωΐα. Εἰς δὲ τὴν ἀλογίαν καὶ τὸ

---

jungit, *sed maxime omnium verere te ipsum.* Si enim *te ipsum revereri* consueveris, domesticum habebis ubique custodem quem verearis et quem effugere non possis. Etenim multi soli ab amicis aut domesticis relicti ea admiserunt quæ antea illis præsentibus facere verebantur. Neminemne igitur secum præsentem habuerunt? non dico Deum; (abest enim ille longius a malorum hominum conscientia;) at se ipsos non habuerunt et conscientiam judicem? habebant sane, sed habere se ignorabant, perturbationibus agitati. Qui autem tales sunt, insitam rationem nihili æstimant et mancipio viliorem ducunt. Te ergo ipsum tui curatorem familiarissimum adhibe, atque ad hunc conversus vitiorum propulsationem auspicare. Qui enim se ipsum veretur, necesse est fugiat turpia et intelligenti naturâ indigna. Verum quomodo qui ita dedignatur vitia, virtutis satelles fiat, subjungit.

X. 13-16.

Deinde justitiam exerce factis atque dictis :
neve te ulla in re inconsiderate gerere assuescas :
sed scito omnibus fatali lege moriendum esse.
Divitias autem libenter aliquando quære, aliquando [amitte.

Qui se ipsum reveretur, cavet ne qua in vitium prolabatur. Sunt autem vitiorum genera compluria : in animi parte rationali imprudentia, in irritabili ignavia, in parte ad concupiscendum propensa voluptatis et divitiarum amor, atque in omnibus simul facultatibus injustitia. Nobis igitur quatuor virtutum comitatu opus est ad ejusmodi vitia propulsanda, prudentia quidem in facultate rationis compote, fortitudine in irritabili, temperantia in parte ad concupiscendum proclivi, justitia autem in omnibus simul facultatibus, quippe quæ omnium virtutum perfectissima sit atque reliquas tanquam partes proprias contineat. Quapropter et hujus primum meminit carmen, deinde prudentiæ et optimorum deinceps studiorum quæ a prudentia orta ad justitiæ consummationem conducunt. Is enim qui recta ratiocinatione utitur, sociam sibi asciscit in adversis fortitudinem, in jucundis temperantiam, in omnibus vero simul justitiam. Atque ita virtutum principium reperitur prudentia, finis autem justitia, mediæ vero fortitudo atque temperantia. Facultas enim illa, quæ omnia considerat, et quæ quid cujusque actionibus accommodatum sit semper inquirit, ut ad rationis normam singula componantur, prudentiæ habitus est, quæ optima est naturæ nostræ intelligentis affectio, unde reliquis etiam facultatibus decor accedit, adeo ut in fortitudinem mutetur iracundia, in

θνητὸν σῶμα μετουσία τις τῶν ἀρετῶν ἔρχεται, ὅπως ἂν καὶ τὰ συμπεφυκότα τῇ λογικῇ οὐσίᾳ εὐσχημοσύνης καὶ μετριότητος πληρωθῇ. Τὸ δὲ τῶν θείων ἀγαθῶν ἡγεμονοῦν ἡ φρόνησις αὕτη, καλῶς ἐνιδρυθεῖσα τῇ λογικῇ ψυχῇ, δίδωσι περὶ πάντων εὖ βουλεύεσθαι, καὶ τὸν μὲν θάνατον ἀνδρείως φέρειν, τὴν δὲ ἀποβολὴν τῶν χρημάτων πρᾴως καὶ ἐμμελῶς. Πάσας γὰρ τὰς μεταβολὰς τῆς θνητῆς φύσεως, καὶ τῆς ἑπομένης αὐτῇ τύχης, σωφρόνως καὶ ἀνεκπλήκτως ὑπομένειν ἡ φρόνησις δύναται. Τὴν γὰρ φύσιν ἐκλελόγισται τῶν πραγμάτων, καὶ οἶδεν, ὡς ἀνάγκη τὸ συμπλασθὲν ἐκ γῆς καὶ ὕδατος διαλυθῆναι πάλιν εἰς αὐτά· καὶ πρὸς τὴν ἀνάγκην οὐκ ἀγριαίνεται· οὐδὲ ἀπρονόητα εἶναι τίθεται τὰ καθ' ἡμᾶς, ἐὰν τὸ θνητὸν ἀποθνήσκῃ. Γινώσκει γὰρ ὡς θανέειν πέπρωται ἅπασι, καί τις ὡρισμένος ἐστὶ χρόνος πρὸς διαμονὴν τοῖς θνητοῖς ἡμῶν σώμασιν, οὗ ἐνστάντος, οὐ δεῖ χαλεπαίνειν, ἀλλ' ὡς νόμῳ θείῳ ἑκόντας ἕπεσθαι. Τοῦτο γὰρ νῦν ἡ πεπρωμένη δηλοῖ, ὅροις τισὶν ἀναγκαίοις πεπερατῶσθαι τὴν θνητὴν ἡμῶν ζωήν· φρονήσεως δὲ ἴδιον εἶναι τοῖς τῶν κρειττόνων ἕπεσθαι δόγμασιν, οὐ τὸ μὴ ἀποθανεῖν, ἀλλὰ τὸ εὖ ἀποθανεῖν, ζητούσης. Ὁμοίως δὲ καὶ τὴν τῶν χρημάτων φύσιν οὐκ ἀγνοεῖ, ὅτι νῦν μὲν ἦλθε, νῦν δὲ ἀπῆλθε, κατά τινας ὡρισμένας αἰτίας, αἷς ἀντιτείνειν ἀβέλτερον. Τῶν γὰρ οὐκ ἐφ' ἡμῖν τῆς κτήσεως ἡμεῖς οὐ κύριοι. Οὐκ ἐφ' ἡμῖν δὲ τὸ σῶμα καὶ τὰ χρήματα· καὶ ἁπλῶς, ὅσα τῆς λογικῆς ἡμῶν οὐσίας ἔξω κεῖται, οὔτε τὴν ἀρχὴν κτήσασθαι ἐφ' ἡμῖν, οὔτε φυλάξαι ἐφ' ὅσον βουλόμεθα· τὸ δέ, προσγινομένων καὶ ἀπογινομένων αὐτῶν, μετὰ ἀρετῆς ἀποδέχεσθαι αὐτά, καὶ ἀποτίθεσθαι, τοῦτο ἦν ἐφ' ἡμῖν, καὶ τῆς λογικῆς οὐσίας ἴδιον, ἂν μὴ ἀλογίστως ἔχειν περὶ τῶν συμβαινόντων ἑαυτὴν ἐθίζῃ, ἀλλὰ τοῖς θείοις ἕπηται μέτροις, οἷς πάντα τὰ περὶ ἡμᾶς ὥρισται. Ἐνταῦθα οὖν τὸ ἐφ' ἡμῖν δύναμιν ἔχει μεγίστην, ἐν τῷ εὖ κρῖναι περὶ τῶν οὐκ ἐφ' ἡμῖν, καὶ μὴ τῇ τούτων προσπαθείᾳ τὴν τοῦ αὐτεξουσίου ἀρετὴν προσαπολέσαι. Τί οὖν ἡ ἔμφρων κρίσις λέγει; Παρόντι μὲν τῷ σώματι καὶ τῷ πλούτῳ καλῶς χρῆσθαι, καὶ πρὸς ὑπηρεσίαν ἀρετῆς· ἀπιόντων δέ, εἰδέναι τὸ δέον, καὶ πρὸς ταῖς ἄλλαις ἀρεταῖς ἀλυπίαν κερδαίνειν. Οὕτω γὰρ καὶ ἡ πρὸς θεοὺς εὐσέβεια τηρηθήσεται, καὶ τὰ τῆς δικαιοσύνης μέτρα, εἰ τὸ λογικὸν ἐκμάθοι ταῖς περιστάσεσιν εὖ καὶ καλῶς χρῆσθαι, καὶ τοὺς τῆς φρονήσεως ὅρους ἀντιτιθέναι τοῖς δοκοῦσιν ὡς ἔτυχε καὶ ἀτάκτως συμβαίνειν. Ἄλλως γὰρ οὐκ ἂν ἀρετὴ φυλαχθείη, ἂν μὴ

temperantiam cupiditas, justitia vero proportionem conservet, atque hoc modo mortalis noster homo ornatum accipiat ex abundantia virtutis, quæ immortali homini insita est. Etenim præcipue virtutes a mente in animum rationalem immissæ lucent ejusque propria forma sunt et perfectio et vitæ beatitas. In illud autem quod rationis expers est et in mortale corpus virtutum quædam transit communio, ut ista etiam, quæ rationali naturæ conjuncta sunt, decore et modestia repleantur. Hæc vero prudentia, quæ divinorum bonorum principatum tenet, rite in animo rationali insita, facit ut recta de omnibus consilia capiamus, atque ut mortem ipsam fortiter, facultatum vero jacturam placide et decenter toleremus. Nam prudentia præditus naturæ mortalis fortunæque ei adjunctæ mutationes omnes composita mente et impavide potest sustinere. Etenim considerata rerum natura scit, id quod ex terra et aqua formatum est, in ea rursus necessario dissolvi atque adeo in necessitatem non instigatur, nec statuit providentia res humanas non regi, si id quod mortale est moritur. Quippe omnibus fatali lege moriendum esse cognovit, et quoddam caducorum corporum nostrorum permansioni tempus esse definitum, quo instante, nos non irasci, sed ei, ut divinæ legi, lubentes obsequi oportet. Id enim fatum hic significat, terminis quibusdam necessariis vitam nostram mortalem definiri, esse autem prudentiæ proprium, deorum decretis obsequi, quippe quæ non mortis effugium, sed bene moriendi rationem quærat. Similiter et divitiarum natura perspecta non ignorat, eas nunc accedere, nunc decedere, ex fixis quibusdam causis, quibus obluctari stultum est, quandoquidem eorum, quæ non sunt nostri arbitrii, possessio in nostra non est potestate. Nostri autem arbitrii non sunt corpus et divitiæ, atque in summa, quæcunque extra rationalem nostram naturam posita sunt, eorum neque comparatio penes nos initio est, neque retentio quamdiu volumus, sed ea, quum accedunt atque decedunt, cum virtute accipere et deponere, id penes nos est et naturæ rationalis proprium, si illa non inconsiderate se gerere in iis quæ contingunt assuescat, sed divinis legibus obsequatur quibus omnia nostra definita sunt. Hic igitur id quod nostri arbitrii est vim habet maximam, sitam in recto judicio de rebus, quæ non sunt in nostra potestate, atque in cautione ne harum cupiditate liberi arbitrii virtutem amittamus. Quid igitur prudens judicium suadet? ut corpore et divitiis, quum adsunt, recte et ad virtutis ministerium utamur, quum autem decedunt, ut meminerimus quid deceat, et ad alias virtutes indolentiam lucrifaciamus. Ita enim et pietas in deos et justitiæ regulæ conservabuntur, si id quod ratione præditum est rerum casibus recte atque honeste uti didicerit et prudentiæ decreta illis opponere, quæ fortuito nulloque ordine videntur contingere. Aliter enim virtus conservari non

ὀρθοδοξία τις ἐνυπάρχῃ τῇ λογικῇ οὐσίᾳ. Οὔτε γὰρ τοῖς κρείττοσιν ἕπεσθαι δύναται, ὡς κρείττοσιν, ἀλλὰ ὡς ὑπὸ τυράννων βιαζόμενος διατεθήσεται· οὔτε τῶν συζώντων λόγον τινὰ ποιήσεται, οὔτε σώματος, ἢ χρημάτων τὴν ἀρίστην οἰκονομίαν ἐξευρήσει, ἀλογίστως ἔχειν ἑαυτὸν ἐθίσας. Ὅρα γὰρ ὅτι οἱ ἐξ ἅπαντος φεύγοντες τὸν θάνατον, ἢ τὰ χρήματα τηρεῖν ἐπιθυμοῦντες, πολλαῖς ἐξ ἀνάγκης ἀδικίαις χρήσονται καὶ βλασφημίαις, ἀρώμενοι μὲν κατὰ θεῶν ἀνόσια, καὶ μὴ προνοεῖσθαι φάσκοντες, ἐπειδὰν περιπέσωσιν οἷς ἀνοήτως ἔφευγον, ἀφειδῶς δὲ τοὺς ἄλλους ἀδικοῦντες, καὶ τὰ πάντων ἀθροίζειν πειρώμενοι πρὸς τὸ ἑαυτοῖς λυσιτελές, ὡς οἴονται. Καὶ οὕτως ἐκφανὴς ἡ τῆς ψευδοδοξίας ἐν αὐτοῖς γίνεται βλάβη, ὡς τὰ μέγιστα τῶν κακῶν ἐκβλαστάνειν· ἀδικίαν μὲν πρὸς τοὺς ὁμοίους, ἀνοσιότητα δὲ πρὸς τοὺς κρείττονας. Ὧν καθαρεύσειεν ἂν ὁ τοῖς προκειμένοις στίχοις πειθόμενος, ὁ τῇ εὐλογίστῳ κρίσει τὸν θάνατον γενναίως ὑπομένων, καὶ τὴν τῶν χρημάτων ἀποβολὴν οὐκ ἀφόρητον ἡγούμενος. Ἐξ ὧν καὶ πρὸς δικαιοσύνην ἀφορμὰς λαμβάνει, ὡς δέοι τῶν ἀλλοτρίων ἀπέχεσθαι, καὶ βλάπτειν μηδένα, μηδὲ ὠφέλειαν ἑαυτοῦ τὰς τῶν ἄλλων ποιεῖσθαι συμφοράς. Τούτων δὲ οὐδὲν τηρῆσαι δυνατὸς ἔσται ὁ θνητὴν ὑπολαμβάνων εἶναι τὴν ἑαυτοῦ ψυχήν, καὶ ἀλογίστως ἔχειν ἑαυτὸν ἐθίσας, τί μέν ἐστι τὸ ἀποθνῆσκον ἡμῶν μηδαμῶς λογιζόμενος, καὶ τὸ τῶν χρημάτων δεόμενον, τί δὲ τὸ ἀσκοῦν τὴν ἀρετήν, καὶ τὸ ἐκ ταύτης ὠφελούμενον. Μόνη γὰρ ἡ τούτων διάκρισις προθυμίαν εἰς ἀρετῆς ἄσκησιν ἂν παράσχοι, καὶ πρὸς τὴν τῶν καλῶν κτῆσιν ἐπεγείρειεν ἡ ἐκ τοῦ γνῶθι σεαυτὸν καὶ αἰσχύνεο σαυτὸν ἔνθεος ὁρμή. Πρὸς γὰρ τὴν ἡμετέραν ἀξίαν καὶ τὰ τῶν ἄλλων καθήκοντα παραμετρεῖσθαι δεῖ ἔν ἔργοις τε καὶ λόγοις. Ἡ δὲ τῶν καθηκόντων τήρησις ἀπαράβατος δικαιοσύνη ἂν εἴη· διὸ καὶ προτέτακται τῶν ἄλλων ἀρετῶν, ἵνα τῶν καθηκόντων γένηται μέτρον. Δικαιοσύνην γάρ, φησιν, ἄσκει ἔργῳ τε λόγῳ τε. Οὐκ οὖν οὐδὲν βλάσφημον ἐρεῖς ἐν ἀπωλείαις χρημάτων, ἢ νόσων ἀλγηδόσιν, ἵνα μὴ ἀδικῇς ἐν λόγῳ· ἀλλ' οὐδὲ τὰ τῶν πλησίον ἁρπάσεις, οὐδὲ μηχανήσῃ δυστυχίας ἀνθρώποις, ἵνα μὴ ἀδικῇς ἐν ἔργῳ. Δικαιοσύνης γὰρ τὴν ψυχὴν φρουρούσης, τὰ προσήκοντα ἂν πράττοιμεν καὶ περὶ ἀνθρώπους, καὶ περὶ ἡμᾶς αὐτούς. Τῆς δὲ δικαιοσύνης τὸ ἄριστον μέτρον ἐστὶν ἡ φρόνησις· ὅθεν

---

possit, nisi natura rationalis rectas opiniones imbiberit. Neque enim superis, quatenus superi sunt, homo obsequi poterit, sed ita, quasi tyrannorum vi coactus, erga eos afficietur; neque ullam eorum, quibuscum vivit, rationem habebit, neque optimum corporis aut pecuniæ usum inveniet, si inconsiderate se gerere assueverit. Vide enim, ut ii qui quoquo modo mortem evitare aut divitias retinere cupiunt, multa necessario injuste faciant et maledicta effutiant, impiis utique adversus deos exsecrationibus utentes, et providentiam esse negantes, quum in ea inciderunt, quæ stulte fugiebant, aliis vero crudeliter nullam non injuriam inferentes et cæterorum omnium res in suum, quemadmodum opinantur, usum coacervare conantes. Atque ita manifesta in iis falsæ opinionis labes est, ut malorum maxima oriantur, injustitia in similes, impietas autem adversus superos. A quibus ille erit immunis qui versibus hic propositis auscultans judicio ad rationis normam composito mortem fortiter pati potest atque facultatum jacturam haud intolerabilem esse existimat. Unde et justitiæ colendæ materiam sumit, quod ab alienis abstinere oporteat neminique nocere, neque ex aliorum incommodis sua comparare commoda. Horum vero nihil observare is poterit, qui mortalem esse animum suum arbitratur quique inconsiderate se gerere assueverit, nunquam secum reputans, quid sit illud nostrum quod moritur et quod divitiis eget, quid vero id quod virtutem colit et ex ea commodum percipit. Sola enim horum dijudicatio nos ad exercitationem virtutis promtos reddat atque ad honesta comparanda excitet divinus ille impetus, qui ex hisce præceptis, *nosce te ipsum* et *verere te ipsum*, oritur. Oportet enim ex nostra dignitate cæterorum etiam officia in factis dictisque metiri. Officiorum autem inviolata observatio est justitia; quapropter et hic cæteris virtutibus præponitur, ut officiorum mensura sit. Dicit enim : *justitiam exerce factis atque dictis.* Nihil igitur maledictorum dices, amissis divitiis aut inter morborum cruciatus, ne verbis justitiam violes : sed neque vicinorum bona auferes, nec calamitates hominibus strues, ne factis sis injustus. Si enim justitia animum custodiat, nos et diis et hominibus et nobismet ipsis debita præstabimus officia. Optima vero justitiæ regula est prudentia; unde huic præcepto, *justitiam exerce,* adjecit illud, *neve te ulla in re inconsiderate gerere assuescas,* quasi justitia sine prudentia non possit exstare. Id enim revera justum est quod perfecta prudentia decernit. Hæc vero est ea, quæ nulla in re inconsiderate se gerit, sed et mortale corpus et ea quæ illi sunt usui diligenter considerat; omnia autem virtute inferiora ducens maximam etiam commoditatem esse judicat optimam animi rationalis affectionem, per quam et cætera, quantum fieri potest, exornantur. Hujusmodi igitur est versuum propositorum scopus, ut quatuor actuosarum virtutum comitatum ostendant easque tradant auditoribus vigilanter custodiendas, et quem-

τῷ, δικαιοσύνην ἄσκει, ἐπήγαγε, μηδ' ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε· ὡς μὴ δυναμένης ὑποστῆναι δικαιοσύνης ἄνευ φρονήσεως. Τοῦτο γάρ ἐστιν ὄντως δίκαιον, ὃ ἡ τελεία φρόνησις ὁρίζει. Αὕτη δ' ἂν εἴη ἡ περὶ μηδὲν ἀλογίστως ἔχουσα, ἀλλ' ἐπεσκεμμένως μὲν περὶ τοῦ σώματος ἔχουσα, ἐπεσκεμμένως δὲ καὶ περὶ τῶν εἰς τὴν τούτου χρείαν συντελούντων· πάντα δὲ ἀτιμότερα ἀρετῆς τιθεμένη, καὶ μεγίστην ὠφέλειαν τὴν ἀρίστην διάθεσιν τῆς λογικῆς ψυχῆς, ἀφ' ἧς καὶ τὰ ἄλλα κοσμεῖται κατὰ δύναμιν. Τοιοῦτος μὲν τῶν προκειμένων ἐπῶν ὁ σκοπός, τὴν τετράδα τῶν πρακτικῶν ἀρετῶν ἀναφῆναι καὶ παραδοῦναι τοῖς ἀκροαταῖς, μετὰ τῆς ἀγρύπνου τηρήσεως, καὶ παραφυλακῆς τῆς ἐν λόγοις καὶ ἔργοις πρεπούσης. Τὸ μὲν γὰρ φρόνησιν, τὸ δὲ ἀνδρείαν, τὸ δὲ σωφροσύνην, παραδίδωσι· τὸ δὲ προηγούμενον αὐτῶν τὴν ἐπὶ πάσαις ταῖς ἄλλαις ἀρεταῖς κοινῶς ἐπιθεωρουμένην δικαιοσύνην ἀσκεῖσθαι παραινεῖ· τὸ δέ, χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φίλει, ἄλλοτ' ὀλέσσαι, παρίστησιν, ὅτι τῇ σωφρονικῇ διαθέσει καὶ ἡ ἐλευθεριότης παρέπεται, ἀρετὴ οὖσα περὶ χρήματων πρόσοδον καὶ δαπάνην. Τὸ γὰρ μόνον τότε αὐτὰ κτᾶσθαι, καὶ ἀποκτᾶσθαι, ὅτε δίδωσιν ὁ λόγος, μικρολογίας καὶ ἀσωτίας προαναιρεῖ τὰς ἀφορμάς. Ταῦτα δὲ πάντα, ὡς ἀπὸ πηγῆς καὶ ἀρχῆς πρώτης, τοῦ ἑαυτὸν αἰσχύνεσθαι προάγεται. Τοῦτο δὲ τὸ παράγγελμα προείληφεν ἐν ἑαυτῷ τὸ Σαυτὸν γνῶθι, ὃ πασῶν μὲν σπουδαίων πράξεων, πασῶν δὲ θεωρητικῶν γνώσεων προϋποκεῖσθαι δεῖ. Ἐπεὶ πόθεν εἰσόμεθα, ὅτι προσήκει ἡμῖν μετριάσαι τῶν παθῶν, καὶ γνῶναι τὰ ὄντα; Ἀπορεῖται γὰρ περὶ αὐτῶν· πρῶτον μέν, εἰ δυνατὰ ἀνθρώποις ταῦτα· ἔπειτα, εἰ ὠφέλιμα τοῖς ἔχουσι γίνεται. Φαίνεται γὰρ πᾶν τοὐναντίον ἐλαττούμενος ἐν τοῖς κατὰ τὸν βίον ὁ σπουδαῖος, τῷ μὴ λαμβάνειν ἀδίκως ὅθεν οὐ δεῖ, καὶ τῷ ἀναλίσκειν δικαίως εἰς ἃ δεῖ· καὶ περὶ τὸ σῶμα παντὸς μᾶλλον εὐεπιχειρήτως διάκειται, μήτε ἀρχὴν αὐτὸς ἐπιτηδεύων, μήτε ἀνελευθέρως θεραπεύων τοὺς ἄρχοντας. Ὥστε, εἰ μή τις ἄλλη οὐσία ἐν ἡμῖν εἴη ἀπὸ τῆς ἀρετῆς ὠφελουμένη, σχολῇ γε ἂν πλοῦτον ἢ δυναστείαν δι' αὐτὴν προησοίμεθα. Ὅθεν καὶ οἱ θνητὴν οἰόμενοι τὴν ψυχὴν περὶ τοῦ μὴ προΐεσθαι τὴν ἀρετὴν κομψεύονται μᾶλλον, ἢ ἀληθεύουσιν. Εἰ γὰρ μὴ εἴη τι ὑπομένον ἡμῶν μετὰ θάνατον, καὶ τοῦτο φύσιν ἔχον ἀληθείᾳ καὶ ἀρετῇ κοσμεῖσθαι, (οἷον δή φαμεν εἶναι τὴν λογικὴν ψυχήν,) οὐκ ἂν ἔφεσις ἡμῖν καθαρὰ γένοιτο τῶν καλῶν. Προαναιρεῖται γὰρ ἡ ὑποψία τῆς φθορᾶς τὴν περὶ ταῦτα σπουδήν, καὶ πρὸς ἀπολαύσεις

---

admodum decet in dictis factisque observandas. Docet enim ex iis unus prudentiam, alter fortitudinem, tertius temperantiam; eorum vero primus hortatur ad justitiæ exercitationem, quæ communiter in cæteris omnibus virtutibus cernitur: iste autem versus, *divitias autem libenter aliquando quære, aliquando amitte,* docet porro temperantis affectionis comitem esse liberalitatem, quæ in virtutum numero posita circa pecuniarum reditum et sumtus versatur. Hæ enim tunc tantum, quum ratio suadet, quæsitæ et expendendo amissæ sordium et prodigentiæ occasiones præcidunt. At omnia istá ab eo quod est *se ipsum vereri,* tanquam a fonte et principio ducuntur. Hoc vero præceptum in se anticipatum continet illud *te ipsum nosce,* quod omnium bonarum actionum omnisque contemplativæ scientiæ fundamentum esse debet. Nam unde sciemus affectus esse moderandos et eorum quæ vere sunt notitiam comparari oportere? Quippe de istis dubitatur, primum, an in hominum potestate sint, deinde an utilia habentibus sint. Apparet enim omnino contra eo deteriorem esse viri probi in hac vita conditionem, quod non injuste inde sumit, unde non debet, et quod juste sumtus facit, in quæ oportet: quin et ille, quod ad corpus attinet, injuriis omnium maxime est obnoxius, quippe qui nec imperium affectet, nec imperantibus serviliter aduletur: adeo ut nisi alia quædam natura in nobis sit, cui virtus prodest, vix ejus causa divitias aut principatum repudiaturi simus. Quamobrem et illi, qui animum mortalem esse arbitrantur, quum de virtute non projicienda disputant, scite cavillantur potius, quam vera proferunt. Nisi enim nobis inesset aliquid post mortem superstes futurum atque ita naturâ comparatum, ut virtute et veritate ornari queat, (cujusmodi esse dicimus animum rationalem,) nullum nobis sincerum foret honestorum desiderium. Præcludit enim horum studium suspicio interitûs et nos ad corporeas voluptates, qualescunque tandem illæ sunt et undecunque comparari possunt, attrahit. Quo enim pacto de illorum sententia viri prudentis aut etiam mediocri judicio præditi esse videatur, non omnia corpori indulgere, per quod etiam ipsa animi substantia conservatur, quippe qui per se non exstet, sed e corporis quapiam conformatione oriatur? Quomodo autem virtutis gratia corpus projiciemus, si una cum corpore animum quoque ipsum perdemus, adeo ut nusquam sit virtus, cujus amore mortem passi sumus. Sed de his a viris divinis abunde demonstratum est, immortalem esse animum et natura talem, ut sola virtute ornari possit. Nunc autem probato hoc dogmate ad ea quæ sequuntur transeamus, hoc tantum prius dictis addentes, quemadmodum ex naturæ nostræ ignoratione nullum non vitium irrepit, ita, si nosmet ipsos noscamus eaque de-

ἄγει σωματικάς, ὁποῖαί ποτ' ἂν ὦσιν αὗται, καὶ πόθεν ἂν πορίζεσθαι δύνωνται. Πῶς γὰρ δόξει ἔμφρονος εἶναι, κατ' αὐτούς, ἢ μετρίως καθεστηκότος, μὴ πάντα χαρίζεσθαι τῷ σώματι, δι' ὃ καὶ ἡ τῆς ψυχῆς ὑπόστασις σώζεται, οὐκ οὔσης μὲν καθ' αὑτήν, ἐπιγινομένης δὲ τῇ ποιᾷ διαπλάσει τοῦ σώματος; Πῶς δὲ προησόμεθα δι' ἀρετὴν τὸ σῶμα, μέλλοντες καὶ τὴν ψυχὴν αὐτὴν ἅμα τῷ σώματι διαφθείρειν, ὥστε μηδαμοῦ εἶναι τὴν ἀρετήν, ἧς ἐφέσει τὸν θάνατον ὑπεμείναμεν; Ἀλλὰ περὶ μὲν τούτων ἱκανῶς τοῖς θείοις ἀνδράσιν ἀποδέδεικται, ὅτι τε ἀθάνατος ἡ ψυχή, καὶ ὅτι διὰ μόνης ἀρετῆς κοσμεῖσθαι πέφυκε. Νῦν δὲ τὸ παρὸν ἐπισφραγισάμενοι δόγμα, ἐπὶ τὰ ἑξῆς μεταβαίνωμεν, τοσοῦτον τοῖς προειρημένοις ἐπειπόντες, ὅτι ὥσπερ τῇ ἀγνοίᾳ τῆς οὐσίας ἡμῶν πᾶσα ἐπεισρεῖ κακία, οὕτω τῇ ἑαυτῶν γνώσει, καὶ ἀπαξιώσει τῶν μὴ πρεπόντων τῇ λογικῇ φύσει, ἡ τῶν καθηκόντων ἀπαραλόγιστος τήρησις εὑρίσκεται πανταχοῦ· τοῦτο δὲ τῶν κατὰ μέρος ἀρετῶν γίνεται μέτρον. Ὡς γὰρ πρὸς κανόνα τὴν οὐσίαν ἡμῶν ἀποβλέποντες, τὸ δέον ἐν πᾶσιν εὑρίσκομεν, κατὰ τὸν ὀρθὸν λόγον συμφώνως τῇ ἑαυτῶν οὐσίᾳ διαζῶντες. Πᾶν γὰρ ὃ ἀμείνονα τὴν ψυχὴν ποιεῖ, καὶ πρὸς τὴν φύσει πρέπουσαν εὐζωΐαν αὐτὴν ἀνάγει, τοῦτο ὄντως ἀρετὴ καὶ φιλοσοφίας νόμος· τὰ δὲ μόνον πρὸς ἀνθρωπίνην εὐσχημοσύνην τείνοντα, δουλοπρεπῆ ἐστι σοφίσματα καὶ σκιαγραφία τῶν καλῶν, τὸν παρὰ τῶν πολλῶν ἔπαινον θηρωμένη, καὶ τοῦ δοκεῖν μόνον, οὐ τοῦ εἶναι, ἀγαθὸν τὴν πᾶσαν ποιουμένη φροντίδα. Καὶ ταῦτα μὲν περὶ τούτων.

Τοῖς δὲ ὀρθοῖς λογισμοῖς ἐξ ἀνάγκης ἕπεται καὶ περὶ τῶν δοκούντων ἀτάκτως κατὰ τὸν βίον συμβαίνειν μὴ ἀλογίστως ἔχειν, ἀλλ' εὖ καὶ γενναίως ἀπολελογίσθαι τὰς τούτων αἰτίας, καὶ φέρειν αὐτὰ μηδὲν ἐγκαλοῦντας τοῖς ἐπιμεληταῖς ἡμῶν, οἳ πρὸς ἀξίαν ἀπονέμοντες ἑκάστῳ τὰ προσήκοντα, οὐ τῶν ἴσων ἠξίωσαν ἅπαντας τοὺς μὴ ὁμοίως προβεβιωκότας. Πῶς γὰρ ἂν προνοίας μὲν οὔσης, καὶ τῆς ψυχῆς ἡμῶν ἀφθάρτου μὲν κατ' οὐσίαν, προαιρέσει δὲ αὐτοκινήτῳ πρὸς ἀρετὴν ἢ κακίαν ὁρμώσης, ἐνῆν τὰ ἴσα τοῖς μὴ ἴσοις τοὺς τοῦ πρὸν ἀξίαν φύλακας νόμου ἀποδιδόναι, ἀλλὰ μὴ τὴν προσήκουσαν ἀπονέμειν ἑκάστῳ τύχην, ἣν καὶ προϊὼν εἰς γένεσιν ὁ ἄνθρωπος κληροῦσθαι λέγεται; Εἰ οὖν μὴ μῦθος τὸ εἶναι πρόνοιαν, ἀπονέμουσαν ἑκάστῳ τὰ πρέποντα, καὶ τὴν ψυχὴν ἡμῶν ἀθάνατον εἶναι, δῆλον, ὡς μεταστῆσαι δεῖ τὴν αἰτίαν τῶν ἀλγεινῶν ἀπὸ τοῦ διοικοῦντος ἐφ' ἡμᾶς αὐτούς, ἐξ οὗ καὶ τὸ ἰᾶσθαι τὰ δυσχερῆ δύνασθαι δώσει ὁ λόγος. Ἐν ἑαυτοῖς γὰρ εὑρόντες τὰς αἰτίας τῆς τοσαύτης ἀνωμαλίας, πρῶτον μὲν τῷ ὀρθῷ τῆς κρίσεως ἐπελαφρυνοῦμεν τῶν συμβαινόντων τὸ μοχθηρόν· ἔπειτα ταῖς ἱεραῖς μεθόδοις καὶ ταῖς ὀρθαῖς νουθετήσεσι μεθαρμόζοντες τὴν ψυχὴν πρὸς τὸ ἄμεινον, παντελῶς ἑαυτοὺς τῶν ἀλγεινῶν ἐλευθερώσομεν. Τὸ δὲ πάσχοντα κακῶς μηδ' αἰσθάνεσθαι τὰς αἰτίας, μηδὲ καταμαντεύεσθαι τοῦ εἰκότως συμβαίνοντος, ἑαυτὸν ἦν ἐθίσαντος ἀλογίστως ἔχειν περὶ παντός, ὃ νῦν ἀπηγόρευσεν ὁ λόγος. Ἀνάγκη γὰρ τὸν ἀζητήτως ἔχοντα τῆς ἀληθοῦς αἰτίας ἐπὶ τὴν κρείττονα οὐσίαν μεταφέρειν τὸ ἔγκλημα, ἢ ὅτι οὐκ

---

dignemur quæ naturam rationalem dedecent, justam officiorum observationem ubique reperiri. Hæc autem singularum virtutum mensura est. Nam si naturam nostram tanquam regulam spectamus, id quod decet in omnibus invenimus, secundum rectam rationem nostræ naturæ congruenter viventes. Quidquid enim animum meliorem reddit eumque ad vitæ beatitudinem naturæ convenientem evehit, id revera virtus est et philosophiæ lex : quæcunque autem ad hominem solum decorandum pertinent serviles astutiæ sunt et inanis virtutum species, quæ laudem apud vulgus venatur atque in hoc omnem ponit curam, ut quis videatur tantum, non ut sit bonus. Atque hæc quidem de his dicta sufficiant. Ex recta autem rerum consideratione sequitur necessario, ut circa ea quoque, quæ in vita nullo ordine videntur contingere, non inconsiderate nos geramus, sed ut probe et ingenue commemoratis causis illa toleremus, sine ulla curatorum nostrorum incusatione, qui pro dignitate suum cuique tribuentes non paribus præmiis omnes, quorum dispar fuit anteacta vita, dignati sunt. Nam quum mundus providentia administretur et animus noster natura quidem immortalis, sed spontaneo voluntatis motu ad virtutem aut vitium propensus sit, qui fieri potuit, ut illi qui legis ad merita spectantis custodes sunt, paria non paribus redderent ac non unicuique convenientem fortunam tribuerent, quam et ipse homo in hunc mundum proficiscens sortiri dicitur? Si ergo providentiam esse, quæ suum cuique tribuit, et animum nostrum esse immortalem, non sit fabula, manifestum est eorum quæ nobis molesta sunt causas ab administratore ad nosmet ipsos esse transferendas, unde et sanandi ærumnas nostras facultatem præbebit carmen. Nam quum in nobis ipsis tantæ inæqualitatis causas deprehenderimus, primum recto judicio mala quæ nobis accidunt leviora efficiemus, deinde sacris artibus et rectis monitis animum corrigentes ærumnis nos prorsus liberabimus. Sed male affectum nec rei causas sentire nec de re merito evenienti conjicere hominis est in omni re inconsiderate se gerere soliti, quod nunc prohibet carmen. Est enim necesse eum, qui veram causam non scrutatur, culpam in superiorem naturam

ἔστι παντελῶς, ἢ ὅτι οὐκ ἐπιμελεῖται ἡμῶν ὀρθῶς. Τὰ δὲ τοιαῦτα δοξάσματα οὐ μόνον τὰ ἐκ προβιοτῆς κακὰ ἐπιτείνει, ἀλλὰ καὶ εἰς πᾶσαν πονηρίαν τὴν ψυχὴν ἐπεγείρει, καὶ τῆς αὐτεξουσίου θεραπείας αὐτὴν ἀποστερεῖ, τῷ προστιθέναι λανθανούσας αἰτίας τῶν νῦν δυσχεραινομένων. Πῶς δὲ δεῖ περὶ τούτων φιλοσοφεῖν, ἐπάκουσον αὐτῶν τῶν ἐπῶν.

XI. 17—20.

Ὅσσα τε δαιμονίῃσι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν
ὧν ἂν μοῖραν ἔχῃς πράως φέρε, μηδ' ἀγανάκτει.
Ἰᾶσθαι δὲ πρέπει, καθόσον δύνῃ· ὧδε δὲ φράζευ·
οὐ πάνυ τοῖς ἀγαθοῖς τούτων πολὺ μοῖρα δίδωσι.

Πρὸ τῆς ἄλλης ἐξηγήσεως ἐκεῖνο προειπεῖν δεῖ, ὅτι ἄλγεα νῦν λέγει τὰ ἐπίπονα, καὶ τραχυτέραν ἡμῖν τὴν ὁδὸν τοῦ βίου παρασκευάζοντα· οἷον νόσον, πενίαν, φιλτάτων ἀποβολήν, ἀδοξίαν ἐν πόλει. Ταῦτα γὰρ χαλεπὰ μέν ἐστι, καὶ δυσδιάθετα κατὰ τὸν βίον· οὐ μὴν ὄντως κακά, οὐδὲ αὐτῇ τῇ ψυχῇ βλαβερὰ τυγχάνει, ἐὰν μὴ αὐτὴ ἐθέλῃ διά τι τούτων εἰς κακίαν ἀποκλῖναι· ὃ καὶ ἐπὶ τῶν ἀγαθῶν δοκούντων πάθοι ἄν, μὴ βουληθεῖσα καλῶς αὐτὰ μεταχειρίζεσθαι· οἷον ὑγίειαν καὶ πλοῦτον καὶ δυναστείαν. Ἔστι γὰρ καὶ ἐν τούτοις κακυνθῆναι, καὶ ἐν τοῖς ἐναντίοις ἀρετὴν κτήσασθαι. Τὰ δὲ ὄντως κακά, τὰ ἐκ προαιρέσεώς ἐστιν ἁμαρτανόμενα, οἷς συνεισελθεῖν ἀρετὴν φύσιν οὐκ ἔχει. Ταῦτα δέ ἐστιν Ἀδικία, καὶ Ἀκολασία, καὶ πάντα ὅσα τὴν τοῦ καλοῦ σύζευξιν οὐκ ἐπιδέχεται. Οὐ γάρ ἐστιν οὐδενὶ τῶν τοιούτων τὸ καλῶς ἐπιφθέγγεσθαι· οἷον, ἀδικεῖ καλῶς, ἀκολασταίνει καλῶς, ὥσπερ ἐπὶ τῶν ἐκτὸς κακῶν λέγομεν, νοσεῖ καλῶς, πένεται καλῶς· ὅταν εὖ καὶ κατὰ τὸν ὀρθὸν λόγον τὰ τοιαῦτα φέρῃ ὁ ἄνθρωπος. Ταῖς δὲ ψυχικαῖς πονηρίαις οὐκ ἐπιφέρεται τὸ καλῶς, διότι ἀποστροφαί εἰσι καὶ ἀποτεύγματα τοῦ ὀρθοῦ λόγου, ὃν φύσει ἐνόντα, καὶ ἐγγεγραμμένον αὐτῇ, παρορᾷ ἡ ἀνθρώπου ψυχὴ ὑπὸ τῆς προσπαθείας ἀποτυφλουμένη. Τεκμήριον δὲ τοῦ ἐνεῖναι τὸν ὀρθὸν λόγον τοῖς ἀνθρώποις, τὸ καὶ τὸν ἄδικον, ἐν οἷς μηδὲν αὐτῷ διαφέρει, κρίνειν δικαίως, καὶ τὸν ἀκόλαστον, σωφρονικῶς· καὶ ὅλως, τὸν κακὸν ὀρθαῖς ἐπιβολαῖς χρῆσθαι, ἐν οἷς ἀπροσπαθής ἐστι. Διὸ καὶ μεθίστασθαι δύναται ὁ φαῦλος εἰς ἀρετὴν καταγνώσει τῆς προτέρας κακίας. Οὐ μὴν διὰ τοῦτο ἐνυπάρχειν δεῖ καὶ τὸν μὴ ὀρθὸν λόγον, ἵνα ἀρχὴ τῶν κακιῶν οὗτος γένηται, ὥσπερ ἐκεῖνος τῶν ἀρετῶν. Ἀρκεῖ γὰρ παρὼν ὁ ὀρθὸς λόγος, ὥσπερ νόμος ἐν πόλει, τά τε κατ' αὐτὸν πραττόμενα καὶ τὰ παρ' αὐτὸν διορίζειν, καὶ τὰ μὲν ἀποδέχεσθαι, τὰ δὲ σωφρονίζειν. Καὶ οὐδὲν δεῖ κακῶν ἀρχῆς, οὔτε ἐνυποκειμένης οὔτε ἔξωθεν κακοποιὸν αἰτίαν ἐνδιδούσης· ἀγαθῶν δὲ δεῖ ἀρχῆς μάλιστα καὶ

---

transferre, vel nullum omnino esse Deum dicendo vel non recte ab eo res nostras administrari. At vero ejusmodi opiniones non solum mala ex anteacta vita repetenda augent et intendunt, sed etiam animum ad omnem nequitiam incitant, eumque curatione, quæ penes ipsum est, privant præsentia quibus vexamur mala ad occultas causas referendo. Quomodo autem de his philosophari oporteat, ex ipsis versibus disce :

XI. 17-20.

Quibus porro infortuniis divinitus anguntur homines,
horum partem fatalem quamcunque sortitus es, leniter fer et sine indignatione.
Sed remedium adhibere decet quantum potes : sic autem tecum reputa,
haud admodum multa bonis talia fatum invehere.

Antequam ad cæterorum explicationem accedamus, hoc præfari oportet, ea nunc ἄλγεα appellari, quæ molesta sunt et asperiorem nobis vitæ viam reddunt, velut morbum, paupertatem, carissimorum jacturam et in civitate ignominiam. Nam hæc quidem gravia sunt nec concoqui in vita facile queunt, quæ tamen non revera sunt mala, nec animo nocent, nisi ipse ab his se in vitium deflecti sinat; quod et in iis quæ bona videntur ei accidat, si illis recte uti noluerit, verbi gratia sanitate et divitiis et potentia. Nam et in his vitio affici et in contrariis virtutem consequi possumus. Illa autem revera mala sunt, quæ voluntatis sunt peccata, quibuscum coire virtus naturâ non potest. Hæc autem sunt injustitia, intemperantia et quæcunque honesti bonique conjunctionem non admittunt. Neque enim ulli hujusmodi rei adjungi licet verbum *bene*, ut *bene* injuriam facit, *bene* libidinatur, quemadmodum de malis externis dicimus, *bene* ægrotat, *bene* paupertatem fert, quando quis decenter et ut recta ratio dictat, hujusmodi mala tolerat. At animi malis non adjicitur illud *bene*, quia illa declinationes sunt et aberrationes a recta ratione, quam etsi naturâ insitam atque insculptam habet animus humanus, tamen cupiditate occæcatus negligit. Inesse autem hominibus rectam rationem argumento est, quod injustus, ubi nihil ejus interest, juste judicat et intemperans temperanter, atque in summa, malus rectis utitur consiliis, ubi nulla cupiditate trahitur. Unde fit ut etiam malus ad virtutem transire queat, repudiata priore sua vitiositate. Non ideo tamen rationem etiam non rectam homini inesse oportet, ut hæc vitiorum sit principium, sicut illa virtutum. Sufficit enim præsens recta ratio, tanquam lex in civitate, tum ad eas, quæ secundum eam et præter eam fiunt, distinguenda, tum ad hæc probanda et illa corrigenda. Nec omnino opus est malorum

μόνης, καὶ τῆς μὲν κεχωρισμένης τῶν λογικῶν οὐσιῶν, οἷός ἐστιν ὁ Θεός· τῆς δὲ ἐνυπαρχούσης αὐταῖς, καὶ τῇ κατ' οὐσίαν ἐπαφῇ κυβερνώσης, οἷός ἐστιν ὁ ὀρθὸς λόγος. Τοιαύτη μὲν ἡ τῶν κακῶν διάκρισις· ὧν οὐ τὰ προαιρετικά φησιν ἐκ τῆς δαιμονίας τύχης τοῖς ἀνθρώποις ἀπονέμεσθαι, ἀλλὰ τὰ περιστατικά, ἃ νῦν μὲν ἐν τοῖς οὐκ ἐφ' ἡμῖν κεῖται, πάλαι δὲ προαιρετικαῖς ἁμαρτίαις ἐπηκολούθησεν, ἀλγεινὰ μὲν ὄντα, ὡς ἔφαμεν, τὸν δὲ παρὰ τῆς ἀρετῆς κόσμον ἐπιδεχόμενα. Καὶ γὰρ πενίαν ἐκόσμησε σώφρων δίαιτα καὶ ταπεινότητα γένους ἐπηνωρθώσατο φρόνησις· καὶ παίδων ἀποβολὴν πράως ἤνεγκεν ὁ δίκαιος βίος, ὁ δυνάμενος εἰπεῖν, Τέθνηκε τὸ παιδίον; οὐκοῦν ἀπεδόθη· καὶ Ἤδειν θνητὸν γεγεννηκώς. Ὁμοίως δὲ καὶ τὰ ἄλλα πάντα, τῷ τῆς ἀρετῆς κάλλει περιβληθέντα, γίνεται εὐσχημονέστερα. Ἑξῆς δὲ ζητεῖ ὁ λόγος τίνες αἱ δαιμόνιαι τύχαι, καθ' ἃς οἱ βροτοὶ τὰς ἐκτὸς δυσχερείας ἔχουσιν. Εἰ μὲν γὰρ προηγουμένως ἡ θεία κρίσις δίδωσι τῷδε μὲν πλοῦτον, ἑτέρῳ δὲ πενίαν· δαιμονίαν ἔδει ταύτην προαίρεσιν καλεῖν, καὶ μὴ τύχην. Εἰ δὲ μηδὲν ἐπιστατεῖ ταῖς τῶν τοιούτων λήξεσιν, ἀλλ' ὡς ἔτυχε καὶ αὐτομάτως συμπίπτει, τὸν μὲν εὐτυχῆ εἶναι, ὥς φασι, τὸν δὲ δυστυχῆ· τύχην ἔδει ταύτην καλεῖν, καὶ μὴ δαιμονίαν τύχην. Εἰ δὲ πρὸς τὴν ἀξίαν ἑκάστῳ τὰ προσήκοντα ἀπονέμει ὁ ἐπιτροπεύων ἡμῶν Θεός, καὶ τοῦ μὲν εἶναι τοιούσδε ἢ τοιούσδε ἡμᾶς οὐκ ἔστιν αἴτιος· τοῦ δὲ τὰς ἀμοιβὰς ἀποδοῦναι κατὰ τοὺς θεσμοὺς τῆς δίκης μόνος ἐστὶ κύριος, εἰκότως συνάψας εἶπε δαιμονίας τύχας τὰς τῆς κρίσεως ἀποφάνσεις· ᾗ μὲν θεῖον καὶ νοερόν ἐστι τὸ κρῖνον, δαιμονίας καὶ ἐπιστημονικὰς αὐτὰς προσειπών· ᾗ δὲ οἰκείᾳ προαιρέσει κακύνεται τὸ κρινόμενον, καὶ διὰ τοῦτο γίνεται τῶν δυσχερῶν τούτων ἄξιον, προσθεὶς τὸ τύχας, ὅτι οὐ προηγουμένως τόνδε τινὰ κολάσαι ἢ τιμῆσαι πρόκειται τῷ θεῷ, ἀλλ' ἀεὶ τὸν τοιόνδε ἢ τοιόνδε γενόμενον· τούτου δὲ τὴν αἰτίαν ἐν ἡμῖν κεῖσθαι. Τὴν μὲν οὖν ἐπιπλοκὴν τῆς ἡμετέρας προαιρέσεως καὶ τῆς ἐκείνου κρίσεως τύχην ἀπογεννᾶν, ὥστε εἶναι τὸ ὅλον τοῦτο, δαιμονίαν τύχην, τὴν ἐπὶ τοῖς ἡμαρτημένοις θείαν ψῆφον· καὶ συνεισάγειν οὕτω τὴν τῶν ὀνομάτων τεχνικὴν εὕρεσιν, τήν τε θείαν ἐπιστασίαν, καὶ τὸ αὐτεξούσιον τῆς ψυχῆς, καὶ ἀθάνατον· καὶ μήτε καθ' εἱμαρμένην ἢ πρόνοιαν πάντα γίνεσθαι, μήτε ὡς ἔτυχε, καὶ ἀπὸ ταὐτομάτου, μήτε κατὰ τὸ αὐτοπροαίρετον ἡμῖν τὸν βίον διατίθεσθαι πάντα. Ἀλλ' ὅσα μὲν ἐν τοῖς ἐφ' ἡμῖν ἁμαρτάνομεν, ταῦτα εἰς προαίρεσιν ἀναφέρεσθαι· ὅσα δὲ ἐπὶ καὶ ἡμαρτημένοις κατὰ τοὺς τῆς δίκης ἕπεται νόμους, εἰς εἱμαρμένην· τὰ δὲ προηγουμένως παρὰ τοῦ θεοῦ ἐνδιδόμενα ἀγαθά, εἰς πρόνοιαν· εἰς δὲ τὸ εἰκῆ, καὶ ὡς ἔτυχεν, οὐδὲν τῶν ὄντων ἀναφέρειν τὴν αἰτίαν· ἀλλ' οὐδὲ τῶν γινομένων· εἰ μὴ ἄρα κατὰ συμβεβηκός, καὶ κατ' ἐμπλοκὴν τῶν ἀπὸ προνοίας καὶ εἱμαρμένης καὶ προαιρέσεως προηγουμένως ἐνεργουμένων, ἐπακολουθήσει τὸ ὡς ἔτυχε τοῖς πρωτουργοῖς αἰτίοις. Οἷον φέρε, ὁ δικαστὴς τὸν φονέα κολάζειν βούλεται, καὶ οὐ τόνδε τὸν ἄνθρωπον· κολάζει δὲ καὶ τοῦτον, ὃν οὐκ ἐβούλετο, ὅταν αὐτὸς

---

principio, sive insito, sive externo, quod male agendi causam præbeat; bonorum vero principio omnino opus est eoque solo, tum ab intelligentibus naturis separato, qualis est Deus, tum ipsis insito, quod interiore motu ea ciere et gubernare possit, qualis est recta ratio. Hujusmodi igitur est malorum distinctio, e quibus non ea quæ voluntaria sunt, dicit a divina fortuna hominibus distribui, verum calamitosa illa, quæ non sunt in nostra nunc potestate, sed e peccatis, quæ volentes olim commisimus, manarunt: quæ dolore quidem nos afficiunt, ut diximus, sed a virtute ornatum accipiunt. Etenim paupertatem exornat victûs ratio temperans, et generis humilitatem emendat prudentia, et liberorum jacturam placide fert vir justus, qui potest dicere: *obiit filius?* ergo *redditus est*; et, *sciebam me genuisse mortalem.* Similiter vero et reliqua omnia, virtutis pulchritudine induta, fiunt decentiora. Deinceps autem inquiritur, quæ sint illæ divinæ fortunæ, per quas homines externis incommodis implicantur. Si sane divinum judicium ex professo huic divitias, illi paupertatem daret, divinam par erat hanc voluntatem vocari, non autem fortunam. Sin autem nihil talium distributioni, quæ sorte fit, præest, sed fortuito et casu evenit, ut hic fortunatus, uti dicunt, ille vero infortunatus sit, fortunam solum vocare hanc oportuit, et non divinam fortunam. Quodsi Deus, qui nobis præest, unicuique ea tribuit quæ meritis ejus conveniunt, neque ipse est causa, cur boni aut mali simus, sed remunerationis tantum, quæ secundum leges justitiæ fit, auctor est, merito carmen conjunctis nominibus judicii hujus decreta fortunas divinas appellavit; quatenus quidem divinus est judex et intellectu præditus, eas divinas vocans et scientiæ plenas, quatenus vero ille qui judicatur sponte sua in vitium prolabitur et ideo calamitatibus istis dignus est, fortunas adjungens, quia Deo non ex professo huncce hominem vel supplicio vel præmio afficere propositum est, sed eum semper qui talis vel talis fuerit: hujus autem rei causam in nobismet ipsis sitam esse. Nostræ vero voluntatis et judicii ejus implicationem fortunæ beneficio effici, ita ut totum hoc *divina fortuna* sit Dei de peccatis sententia eaque ratione artificiosa illa vocabulorum inventio Dei imperium et animi tum libertatem tum immortalitatem junctim inducat, ac neque fato aut providentia omnia fiant, neque fortuito et casu res eveniant, neque

ἑαυτὸν εἰς τὴν τοῦ φονέως ἐναρμόσῃ τάξιν. Καὶ γίνεται προηγουμένη μὲν ἡ κατὰ τοῦ φονέως αὐτῷ ψῆφος· κατὰ συμβεβηκὸς δέ, ἡ κατὰ τοῦδε τοῦ ἀνθρώπου, ὅτι ἑκὼν ὑπέδυ τὸ τοῦ φονέως πρόσωπον. Καὶ πάλιν, ὁ πονηρὸς ἄνθρωπος φονεῦσαι μὲν ἠβούλετο, δοῦναι δὲ ἐπὶ τούτῳ δίκας οὐκ ἤθελεν. Ὥστε καὶ ἐπὶ τούτου γίγνεσθαι προηγουμένην μὲν τὴν φονικὴν διάθεσιν, ὡς ἀπὸ τοῦ αὐτεξουσίου τῆς ψυχῆς ἠρτημένην· κατὰ συμβεβηκὸς δὲ ἐπακολουθεῖν τὰς ἐπὶ ταύτῃ στρεβλώσεις τε καὶ αἰκίας. Τούτων δὲ πάντων αἴτιος ὁ νόμος, ὁ καὶ τῷ δικαστῇ τὴν προαίρεσιν τοῦ κολάζειν τοὺς φαύλους ἐντιθείς, καὶ τῷ φονεῖ τὴν τιμωρὸν ψῆφον ἐπάγων. Ταὐτὸ δή μοι τοῦτο καὶ ἐπὶ τῆς θείας ἐπιστασίας λογίζου· προαιρέσεως ἀνθρωπίνης δρᾶσαι κακὰ βουληθείσης, καὶ προαιρέσεως νομοφυλάκων δικαστῶν ἐπανορθοῦσθαι τὰ κακὰ πάσῃ μηχανῇ πειρωμένης, τὴν συνδρομὴν δαιμονίαν τύχην ἀποτελεῖν, καθ' ἣν ὁ τὰ τοιάδε εἰργασμένος τῶν τοιῶνδε γίνεται ἄξιος τιμωρημάτων· τοῦ μὲν προῃρῆσθαι τὰ φαῦλα εἰς τὸ αὐτεξούσιον τοῦ κρινομένου τὴν αἰτίαν ἀναφέροντος, τοῦ δὲ ἑπομένου τῇ ἀξίᾳ τιμωρήματος εἰς τὴν τῶν κρινόντων νομοφυλακικὴν ἐπιστήμην· τούτων δὲ συναγωγέα εἶναι τὸν νόμον, τὸν ἀγαθὰ μὲν εἶναι πάντα κατὰ δύναμιν, φαῦλον δὲ μηδὲν εἶναι, διατεταγμένον. Οὗτος γὰρ προϋφεστὼς ἐν τῇ τοῦ θεοῦ ἀγαθότητι οὐκ ἐᾷ ἀνευθύνους εἶναι τοὺς κακούς, ἵνα μὴ ἐμμένον τὸ κακὸν εἰς ἀναισθησίαν παντελῆ τῶν ἀγαθῶν ἐλάσῃ, ὧν τὴν ἀναγκαίαν ὑπόμνησιν ἡ παρὰ τῶν νομοφυλάκων δίκη χορηγεῖ. Συνάγει οὖν ὁ νόμος, ὡς εἴρηται, τοὺς πεφυκότας κρίνειν, καὶ τοὺς πεφυκότας κακύνεσθαι, δι' ἀμφοτέρων τὸ οἰκεῖον ἀπεργαζόμενος ἀγαθόν. Εἰ γὰρ τὸ διδόναι δίκην τοῦ μὴ διδόναι ἐστὶ λυσιτελέστερον, καὶ πρὸς σωφρονισμὸν τῆς ἀμετρίας τῶν κακῶν ἡ δίκη βλέπει, δῆλον ὅτι πρὸς τὸ ὠφελεῖν καὶ ὠφελεῖσθαι συνήρμοσεν ὁ νόμος τὰ δύο ταῦτα γένη· τὸ μὲν κριτικόν, ὡς νομοφυλακικόν, τοῦ ἑτέρου προτάξας· τὸ δὲ ἁμαρτάνειν καὶ κρίνεσθαι πεφυκός, ὡς παρανομητικόν, τῷ ἀμείνονι παραδοὺς γένει, κατὰ τὴν ἀξίαν αὐτὸ μεταχειρίζεσθαι, ὅπως ἂν εἰς ἀνάμνησιν καὶ ἔννοιαν ἔλθῃ ποτὲ τοῦ νόμου, δι' οὗ πάσχει κακῶς. Ὃν γὰρ ἐν τῷ πράττειν κακῶς ἀπηρνοῦντο, τοῦτον ἐν τῷ πάσχειν κακῶς ἐπιποθοῦσιν οἱ ἄνθρωποι. Οἷον, ὁ ἀδικῶν οὐ βούλεται εἶναι θεόν, ἵνα μὴ τὸ διδόναι δίκην, ὥσπερεί τινα Ταντάλου λίθον, ἐπικρεμάμενον ἔχῃ· ὁ δὲ

etiam ad nostrum arbitrium tota vita a nobis instituatur : sed quæcunque peccamus in iis quæ nostri sunt arbitrii, ea ad voluntatem nostram referantur, et quæcunque sequuntur peccata secundum justitiæ leges, ea fato ascribantur; bona autem illa, quæ a Deo ex professo dantur, providentiæ debeantur; nihil vero, quod in rerum natura reperitur, ad casum et fortunam ortum suum referat, imo nec eorum quidquam, quæ fiunt, nisi forte ex eventu et ex implicatione eorum, quæ providentia et fatum et voluntas primitus agunt, fortuitum illud primas illas efficientes causas subsequitur. Exempli gratia; vult judex homicidam punire, sed non huncce hominem, punit vero et hunc, quem nolebat, quum ipse homicidæ locum et conditionem assumsit. Ac primaria quidem ejus sententia est contra homicidam, ex eventu autem contra huncce hominem, quia sponte sua homicidæ personam suscepit. Contra cædem quidem patrare sceleratus volebat, sed hujus pœnas dare nolebat : adeo ut in hoc etiam præcesserit truculenta affectio homicidæ ex animi libertate pendens, ex eventu vero tormenta et verbera, quæ in hac accidere solent, subsecuta sint. Horum autem omnium causa est lex, quæ et judici voluntatem improbos puniendi indit, et homicidæ supplicium decernit. Idem plane de imperio etiam divino sentias, quum voluntas humana sceleribus admittendis intenta sit, judicum autem legis custodum voluntas scelera omni modo corrigere conetur, ex earum rerum concursu effici *divinam* illam *fortunam*, secundum quam is qui talia admisit, talibus pœnis dignus fit : (malorum consiliorum causam reo ad liberum arbitrium referente, debitæ autem pœnæ scelus secutæ ad judicum in legibus tuendis scientiam;) horum vero conciliatricem esse legem, quæ statuit, ut omnia, quantum fieri potest, bona sint, malum autem nihil. Hæc enim quum antea in Dei bonitate fuerit, non sinit inultos esse malos, ne malum permanens ad omnem bonorum sensum exstinguendum progrediatur, quorum recordationem pœnæ per legum vindices sontibus irrogatæ necessariam reddunt. Lex igitur, uti diximus, judices simul cum peccantibus inducit, per utrosque bonum sibi proprium efficiens. Si enim pœnas dare quam non dare utilius est et pœna ad corrigendam malorum enormitatem spectat, manifestum est, legem duo ista genera, alterum ut juvet, alterum ut juvetur, conjungere, quoniam illud quidem quod judicat, tanquam legis custodem, alteri præfecit, id vero quod natura comparatum est ut peccet atque judicetur, præstantiori tradidit, ut ipsum, tanquam legis violatorem, pro merito tractet, eo consilio ut legem, per quam malis afficitur, in memoriam aliquando mentemque revocet. Quam enim, quum male agebant, homines repudiabant, eam, quum mala patiuntur, expetunt. Exempli gratia, qui injuriam facit non vult Deum esse, ne vindictam, velut Tantali saxum, semper sibi impendentem habeat; at is qui injuria afficitur Deum vult esse, ut ejus

ἀδικούμενος βούλεται εἶναι θεόν, ἵν' ἐπικουρίας ὧν πέπονθε τύχῃ. Διὸ τοὺς ἀδικοῦντας εἰς τὸ ἀδικεῖσθαι περιστῆναι δεῖ, ἵν' ὃ μὴ ἔβλεπον ἐν τῷ δρᾷν, τῷ τῆς πλεονεξίας πάθει μεθύοντες, ἐν τῷ πάσχειν μεταμάθωσι, τῷ τῆς ἐλαττώσεως ἀνιαρῷ παιδευόμενοι, εἴ γε καλῶς ὑπέχοιεν δίκας. Εἰ δὲ τῇ ἰταμότητι τῆς προαιρέσεως ἔτι κακύνοιντο, αὐτοὶ μὲν ἴσως ἧττον ὠφελοῦνται· παράδειγμα δέ που γίνονται πάντως παιδευτικὸν τοῖς εὖ φρονοῦσι, καὶ διαισθάνεσθαι δυναμένοις τὰς αἰτίας τῶν τοιούτων παθῶν. Ταύτας τῆς κρίσεως ἀρχὰς κυριωτάτας ἀποδεχώμεθα, τὴν ἀγαθότητα τοῦ θεοῦ, τὸν ἀπὸ ταύτης νόμον, τὸν ἐν ἡμῖν παρανομούμενον ὀρθὸν λόγον, καί, ὥσπερ τινὰ ἔνοικον θεόν, πλημμελούμενον· ἀποτέλεσμα δὲ τῆς κρίσεως, τὰ ἄλγεα, ὥς φησι, ταῦτα, ὅσα τραχύτερον ἡμῖν ποιεῖ τὸν βίον ταῖς περὶ σῶμά τε καὶ τὰ ἐκτὸς λύμαις· ἃ δὴ πρᾴως φέρειν ὁ παρὼν εἰσηγεῖται λόγος ἐνθυμουμένους τὰς αἰτίας αὐτῶν, καὶ ὅσον οἷόν τε περικόπτοντας, καὶ μετατιθέντας εἰς ὠφέλειαν τὰ δοκοῦντα βλαβερά· μάλιστα μὲν τῶν θείων ἀγαθῶν ἑαυτοὺς ἀξίους παρέχεσθαι διὰ τῆς ἀκροτάτης ἀρετῆς. Εἰ δέ τῳ τοῦτο οὔπω ἐν ὀρέξει, τῶν γοῦν πολιτικῶν ἀγαθῶν διὰ τῆς μέσης ἀρετῆς τυγχανέτω. Τοῦτο γὰρ ἦν, ὃ πρὸς τὸ πάσχειν καλῶς τὰ ἀλγεινὰ καὶ ἰᾶσθαι αὐτὰ ἐπιταττόμεθα. Τίς οὖν ἡ ἴασις, ἢ τὰ προειρημένα πάντα, ἀφ' ὧν καὶ ἡ εὐλόγιστος τῶν ἀλγεινῶν ὑπομονή, καὶ ἡ θεραπευτικὴ μέθοδος ὑποδείκνυται; Κεφάλαιον δὲ τῶν εἰρημένων, ὅτι ὁ θεός, νομοθέτης ὢν ἅμα καὶ δικαστής, τίθεται μὲν τὰ ἀγαθά, ἀναιρεῖ δὲ τὰ κακά· διὸ καὶ πάντῃ κακῶν ἐστιν ἀναίτιος· τοὺς δὲ κακυνθέντας αὐτεξουσίοις ὁρμαῖς, καὶ τὸν ἐν αὐτοῖς ὀρθὸν λόγον ἀμνημονήσαντας, ὡς μὲν κακοὺς κολάζει τῷ νόμῳ τῷ ἀπαγορεύοντι τὰ κακά· ὡς δὲ ἀνθρώπους, τῇ ἐπεισιούσῃ ἐπιπλοκῇ τοῦ νόμου πρὸς τὴν προαίρεσιν, ἣν δὴ τύχην καλοῦμεν. Οὐ γὰρ ἁπλῶς τὸν ἄνθρωπον, ᾗ ἄνθρωπον, κολάζει ὁ νόμος, ἀλλ' ᾗ κακόν. Τοῦ δὲ κακὸν γενέσθαι τὴν πρώτην αἰτίαν εἶχεν ἡ προαίρεσις· ἐπειδὰν δὲ κακὸς γένηται, (ὅπερ ἦν ἐφ' ἡμῖν, ἀλλ' οὐκ ἐπὶ τῷ θεῷ,) τότε δίδωσι δίκας, (ὅπερ ἦν ἐπὶ τῷ θείῳ νόμῳ, ἀλλ' οὐκ ἐφ' ἡμῖν). Σκοπὸς δὲ τοῦ νόμου μόνος ἂν εἴη πρέπων τε θεῷ, καὶ ἡμῖν ἐπωφελής, τὸ διακόψαι τὴν κακίαν, καὶ ἀποκαθᾶραι τοῖς παντοδαποῖς τῆς δίκης σωφρονισμοῖς, καὶ ἐπιστρέψαι τὴν ὑποπεσοῦσαν τῇ πονηρίᾳ ψυχὴν εἰς ἀνάμνησιν τοῦ ὀρθοῦ λόγου. Καὶ οὕτως ἑστῶτος τοῦ νόμου, καὶ τὰ αὐτὰ ἀεὶ φθεγγομένου, τὴν ἀξίαν ἕκαστος τὴν ἑαυτοῦ ἄλλοτε ἄλλην ποιήσας οὐ τῶν αὐτῶν ἀεὶ τυγχάνει· οὐ γὰρ δίκαιον τοῦτό γε, οὐδὲ ἡμῖν συμφέρον. Τὴν δὲ μεταβολὴν τῆς κρίσεως ἡ τοῦ κρινομένου μεταβολὴ δίδωσι· τὸν γὰρ μὴ τὸν αὐτὸν διαμείναντα πῶς τῶν αὐτῶν ἐστιν ἀξιοῦν; Καλῶς φέρειν οὖν τὰς δαιμονίας τύχας δεῖ, καὶ μὴ ἀγανακτεῖν διδόντα δίκην, καί, ὅσον ἐπὶ τῇ θείᾳ κρίσει, καθαιρόμενον, διὰ τῶν δοκούντων ἐμποδίων εἶναι πρὸς εὐπάθειαν τοῦ τῇδε βίου. Ὁ δὲ τοιοῦτος λογισμὸς ἴασίς τε γίνεται τῶν προημαρτημένων, καὶ ἐπιστροφὴ πρὸς τὸν ἐνυπάρχοντα ἡμῖν

---

auxilio remedium eorum quæ passus est consequatur. Oportet igitur eos qui injuriam inferunt, ipsos injuria affici, ut quod in ea inferenda lucri cupiditate ebrii non videbant, id patiendo addiscant, damni molestia edocti, si modo recte supplicium ferant. Sin autem voluntatis protervitate ducti in malo perseverent, ipsi fortasse minus ex ea re utilitatis percipiant; at exemplum certe præbent quo doceantur alii qui sapiunt et qui ejusmodi malorum causas sensu percipere queunt. Primaria igitur judicii fundamenta hæc agnoscamus, Dei bonitatem, legem ab ea manantem, et rectam quæ nobis inest rationem violatam et, tanquam domesticum quendam Deum, injuriâ affectam: judicii autem effectum ἄλγεα illa, uti vocat, quæcunque asperiorem nobis vitam corporis malis atque externis vexationibus faciunt; quæ quidem carmen hic patienter nos ferre docet, illorum causas reputantes et quantum possumus præcidentes, atque ea quæ noxia videntur in nostram rem convertentes: præcipue vero cœlestibus bonis nos per summam virtutem dignos præstare. Si quis vero nondum horum desiderio tenetur, civilia saltem bona mediæ virtutis ope consequatur. Hoc enim illud est quod ad calamitates recte ferendas easque sanandas nobis præcipitur. Quodnam igitur remedium est, nisi ante dicta illa omnia, quibus et ærumnarum tolerantia rationi consentanea et sanandi methodus demonstratur? Eorum vero quæ dicta sunt summa est, quod Deus qui legumlator simul et judex est ea ponit quæ bona sunt, mala autem tollit, unde fit ut ille nequaquam malorum causa sit, sed eos qui sua sponte in flagitia se ingurgitaverint rectamque in se rationem neglexerint, tanquam improbos secundum legem quæ mala prohibet pœnis afficiat, tanquam homines vero, secundum eam legis cum voluntate implicationem accedentem, quam utique fortunam nominamus. Lex enim hominem non simpliciter, quatenus homo est, sed quatenus malus est, punit. Prima autem causa, cur quis malus fieret, sua ipsi fuit voluntas: postquam vero malus factus est, (quod nostri erat arbitrii, non autem in Dei potestate,) tunc pœnas dat, (quod in lege, non autem in nostra potestate positum est). Solus porro legis scopus et Deo conveniens et hominibus utilis fuerit vitiorum coercitio et per quaslibet justitiæ castigationes purgatio atque animi in vitium prolapsi conversio ad rectæ rationis recordationem.

ὀρθὸν λόγον· πῶς γὰρ ὁ κακίας εἶναι καρποὺς τὰ ἀλγεινὰ τιθέμενος, οὐ φεύξεται τὴν εἰς ταῦτα κατάγουσαν αὐτὸν αἰτίαν, καί, εἰ δεῖ χαλεπαίνειν ἐν τοῖς λυπηροῖς, ἑαυτῷ μᾶλλον οἰήσεται δεῖν χαλεπαίνειν, ἢ τῷ κωλύοντι τὴν πονηρίαν θεῷ διὰ τῶν ὀργάνων τῆς δίκης, δι' ὧν ἔστι συνιέναι καὶ ἀναμιμνήσκεσθαι, οἷον ἦν ἄρα ἀγαθὸν μὴ ἀφίστασθαι τῶν θείων νόμων, μηδὲ ἑκόντας κακύνεσθαι. Οὐ γὰρ ὡς ἔτυχε τὰ ἀλγεινὰ τοῖς ἀνθρώποις διανέμεται, εἴπερ θεὸς καὶ δίκης ὅροι προεστήκασιν ἡμῶν, τὴν ἀξίαν μοῖραν ἐφ' ἑκάστοις ἐπάγοντες· διό, καὶ τὸ οὐ πάνυ τοῖς ἀγαθοῖς τὰ ἀλγεινὰ συμπίπτειν, εὔλογον. Πρῶτον μὲν γὰρ οἴσουσιν αὐτὰ πράως τῇ εὐαρεστίᾳ τῆς θείας κρίσεως, καὶ τῇ τῆς ἀρετῆς προσκτήσει, δι' ἣν πραότερα μὲν τὰ χαλεπὰ γίνεται. Καὶ εὔελπις δὲ τοῦ λοιποῦ ὁ βίος μηδαμῶς ἐνοχλήσειν ἡμᾶς τὰ τοιαῦτα, εἴπερ ἀγαθοῖς γενομένοις, κατὰ μὲν τὴν ἀκροτάτην ἀρετὴν τὰ θεῖα ἀγαθὰ ἡμῖν ἀπόκειται, κατὰ δὲ τὴν μέσην ἕξιν, τὰ ἀνθρώπινα. Ἔπειτα καὶ ἰάσονται κατὰ δύναμιν τὰ τοιαῦτα ἐξ αὐτοῦ τοῦ φέρειν πράως, τὰς μεθόδους τῆς θεραπείας αὐτῶν διδασκόμενοι. Πῶς γὰρ οἷόν τε ταῖς ἱεραῖς ἱκετείαις θεοπρεπῶς χρήσασθαι, μὴ πρόνοιαν καὶ δίκην ἐφορᾷν τὰ ἀνθρώπινα τιθεμένους, καὶ τὴν ψυχὴν ἡμῶν ἀθάνατον οὖσαν τοιούτων ἑκάστοτε τυγχάνειν τῶν ἔξωθεν, οἵων ἂν ἑαυτὴν ἀξίαν παράσχηται ἐκ τῶν προαιρετικῶν κινημάτων; Ὁ γὰρ μὴ εἰς ταῦτα ἀναφέρων τὴν παροῦσαν μοῖραν, πόθεν τοῦ πράως φέρειν αὐτὴν τὰς ἀφορμὰς λήψεται; πόθεν δὲ τοῦ ἰᾶσθαι τὴν τέχνην; οὐκ ἔστιν εἰπεῖν. Εὐαρεστῆσαι μὲν γὰρ αὐτόθεν τοῖς τοιούτοις οὐκ ἔστιν, ὡς ἀδιαφόροις, ἢ καὶ ἀμείνοσι τῶν ἐναντίων, ἐπειδὴ παρ' ἑαυτῶν φευκτὰ εἶναι φαίνεται, ἀλγεινὰ ὄντα καὶ ἐπίπονα. Τὰ δὲ τοιαῦτα οὐ προσίεται ἡμῶν ἡ φύσις, ὡς τὰ δι' ἑαυτὰ αἱρετά, εἰ μὴ ἄρα ἀγαθόν τι προσδοκώμενον εἴη ἐπὶ τῇ τληπαθείᾳ τῶν δυσχερῶν. Ἀνάγκη οὖν δυσχεραίνειν, καὶ δυσαρεστίας ἐμπίπλασθαι, καὶ προσεπιτείνειν τὰ ἀλγεινὰ ἐκ τῆς περὶ τὴν οὐσίαν ἡμῶν ἀγνοίας, καὶ οὐδὲν μὲν ἧττον διδόναι δίκας· τὴν μεγίστην δὲ ἐπικτᾶσθαι κακίαν, ἐὰν ἀπρονόητον τὸ πᾶν, ἢ κακῶς φροντιζόμενον, οἰηθῶμεν. Τοῦτο δὲ ταὐτόν ἐστι τῷ μὴ οἴεσθαι εἶναι θεόν, ἢ ὄντα μὴ προνοεῖν, ἢ προνοοῦντα μὴ ἀγαθὸν εἶναι, καὶ δίκαιον· ἃ δὴ τῆς παντοδαπῆς ἀσεβείας ἐστὶ συνεκτικώτατα, καὶ πρὸς πᾶσαν κακίαν συνωθοῦντα τὸν τοῖς τοιούτοις ἑαλωκότα δοξάσμασιν. Ὡς γὰρ ἡ εὐσέβεια μήτηρ τῶν ἀρετῶν ἀνεφάνη, οὕτω καὶ πάσης κακίας ἡγεμὼν, ἡ τῆς εὐσεβείας ἀπόπτωσις. Μόνος οὖν ἐξευρήσει τούτων τὴν ἴασιν ὁ πράως αὐτὰ φέρειν ἐκδεδιδαγμένος. Τοῦτο δὲ διὰ φιλοσοφίας μόνης παραγίνεται, τὰς πάντων τῶν ὄντων οὐσίας ἀκριβῶς ἐπισταμένης, καὶ τὰς ἑπομένας ταῖς οὐσίαις αὐτῶν ἐνεργείας, ὧν εἱρμὸς καὶ σύνταξίς ἐστιν ἡ τῶν ὅλων διοίκησις, ἀφ'

Cum igitur ita fixa sit lex eademque semper loquatur, is non semper eadem consequitur, qui dignitatem suam subinde mutavit; neque enim illud justum esset, neque nobis utile. Sed judicii mutationem facit ejus qui judicatur mutatio : quo enim pacto ille, qui non idem manet, iisdem dignus haberi possit? Igitur *leniter ferenda est divina fortuna ;* nec indignari oportet eum qui pœnas luit et, quoad potest judicium divinum, purgatur per ea quæ hujus vitæ voluptatibus obstare videntur. Hujusmodi vero consideratio est et priorum delictorum medicina et ad rectam, quæ nobis inest, rationem conversio : qui enim fieri potest, ut is qui credit vitiorum fructus esse dolores, non devitet causam illos ipsi afferentem, et, si in miseriis decet indignari, sibi potius succensendum esse arbitretur, quam Deo, qui vitium iis justitiæ instrumentis castigat, unde quis intelligere et recordari possit, quale fuerit bonum non desciscere a divinis legibus neque sponte sua in flagitia se ingurgitare? Non enim fortuito calamitates distribuuntur hominibus, siquidem Deus justitiæque leges nobis præsunt et meritam singulis sortem tribuunt : quamobrem consentaneum est, non ita magnas bonis calamitates accidere. Primum enim eas *leniter ferent*, quia in divino judicio acquiescunt et virtutis possessione gaudent, propter quam mitiora fiunt ea quæ molesta sunt. Quin et bona spes est, talem in posterum nostram fore vitam, ut nequaquam hujusmodi res nos perturbent, quandoquidem nobis bonos mores assecutis, si summa virtus contigit, divina bona, si medius habitus, humana reservantur. Præterea etiam medebuntur talibus quoad poterunt, ipsa leniter ferendi ratione medendi viam edocti. Quomodo enim ii sacris supplicationibus ad divinum numen accommodate uti possunt, qui providentiam et justitiam res humanas inspicere et administrare negant, et animum nostrum, quum sit immortalis, externa illa semper nancisci, quibus se ex voluntariis motibus dignum præbuerit? Qui enim ad hæc sortem præsentem non retulerit, unde eam leniter ferendi facultatem consequi aut unde medendi artem discere possit, dici profecto nequit. Neque enim in talibus confestim acquiescere licet, quasi indifferentia sint aut etiam contrariis meliora, quia per se fugienda ea esse apparet, ut quæ gravia sint et molesta. Ea autem, quæ ejusmodi sunt, natura nostra non, ut per se eligenda, admittit, nisi boni quid e malorum patientia exspectetur. Quocirca necesse est, nos ea ægre ferre eorumque tædio compleri et propter naturæ nostræ ignorantiam dolores augere ac nihilominus pœnas dare, in maximum vero im-

ἧς καὶ τὰς δαιμονίας τύχας ἀπονέμεσθαι ἀνάγκη· εἶναι δὲ τὴν ἑκάστῳ ἀπονεμηθεῖσαν ἀξίαν, τὴν νῦν λεγομένην μοῖραν, ἠρτημένην τῆς τε προνοίας τοῦ Θεοῦ καὶ τῆς κοσμικῆς εὐταξίας καὶ τῆς ἀνθρωπίνης προαιρέσεως. Εἰ γὰρ μὴ εἴη Θεοῦ πρόνοια, οὐκ ἂν εἴη τάξις ἐν κόσμῳ, ἣν καὶ εἱμαρμένην ἂν εἴποι τις. Εἰ δὲ μὴ ταῦτα εἴη, δίκη καὶ κρίσις τῶν κακῶν οὐκ ἂν γένοιτο· ἀλλ' οὐδὲ τιμὴ καὶ ἀποδοχὴ τῶν ἀγαθῶν. Προνοίας δὲ οὔσης καὶ τάξεως, πάντας ἔδει τοὺς νῦν γεννωμένους τῶν ἴσων ἀγαθῶν τυγχάνειν, εἰ μηδὲν παρ' ἑαυτῶν εἰς τὴν ἀνισότητα συνετέλεσαν. Φαίνονται δὲ οὐ τῶν ἴσων τυγχάνοντες. Δῆλον οὖν, ὡς τὸ τῆς προαιρέσεως ἄνισον, ὑποβληθὲν τῇ τῆς προνοίας κρίσει, οὐκ ἐᾷ τὴν ἴσην αὐτοῖς ἀπονέμεσθαι μοῖραν, εἴγε τῶν πρὸς ἀξίαν ἀνάγκη τυγχάνειν. Μὴ ταραττέτω δὲ ἡμᾶς τὸ καὶ ἐπὶ ζώων ἀλόγων, καὶ φυτῶν, καὶ αὐτῶν τῶν ἀψύχων τὴν αὐτὴν ἀνωμαλίαν ἐπιφαίνεσθαι, ἣν καὶ ἐπ' ἀνθρώπων. Οὐ γὰρ διὰ τοῦτο τὰ καθ' ἡμᾶς ἀπρονόητα, εἴγε ἐκείνοις ταῦτα, ὡς ἔτυχε, συμβαίνει, ἢ καὶ ἐπ' ἐκείνων δίκη καὶ κρίσις, καὶ ἀρετῆς καὶ κακίας ἐκλογισμοί, ἐπεὶ τὰ καθ' ἡμᾶς οὕτως ἠκρίβωται. Πρῶτον μὲν γὰρ τὰ ἄψυχα οὕτως ἔκκειται ὡς κοινὴ ὕλη φυτοῖς, καὶ ζῴοις, καὶ ἀνθρώποις· ἔπειτα τὰ φυτὰ ζῴοις καὶ ἀνθρώποις κοινὴ τροφὴ πρόκειται, καὶ ἔνια δὲ ζώων ζῴοις τε καὶ ἀνθρώποις. Διὸ καὶ ποιεῖ ταῦτα εἰς ἄλληλα, οὐ τὴν τῶν πασχόντων ἀξίαν ἐπισκεπτόμενα, ἀλλὰ τὴν ἑαυτῶν πεῖναν ἢ τὴν νόσον θεραπεύοντα, καὶ ὅλως τὸ ἐνδεὲς αὐτῶν πληροῦντα, ὅθεν ἂν τοῦτο ποιεῖν ἐξῇ. Ὥστε δυστυχίας ἀφορμὴν εἶναι τοῖς ζῴοις τὴν ἡμετέραν χρείαν ἐκ τῶν παρατυχόντων πληρουμένην, καὶ τῆς δοκούσης εὐτυχίας αὐτοῖς αἴτιον τὸ παρ' ἡμῶν προσπαθές. Εἰ μὲν οὖν προϊὼν ὁ λόγος καὶ ἄλλους κρείττονας ἡμῶν τινας ἀντεισήγαγεν οὕτως ἀποχρωμένους ἡμῖν πρὸς πλήρωσιν τῆς ἑαυτῶν ἐνδείας, ὡς ἡμεῖς τοῖς ἀλόγοις φαινόμεθα χρώμενοι· θνητοὺς ἐκείνους ἔδει ὁμολογεῖν, καὶ φαίνεσθαι τὰ σώματα τῶν ἀνθρώπων εἰς τὴν ἐκείνων χρείαν ἀναλισκόμενα. Εἰ δὲ μηδὲν τῶν πρὸ ἀνθρώπου θνητόν, (ἐπειδὴ καὶ αὐτὸς ἔσχατος ὢν τῶν λογικῶν γενῶν, καὶ διὰ τοῦτο ἀθάνατος εἰς σῶμα θνητὸν ἐκ περιστάσεως ἔρχεται, καὶ συγγενές τι τοῖς ἀλόγοις ἀναλαβὼν ὄργανον ἐπὶ γῆς πολιτεύεται,) οὐδὲν ἂν εἴη τὸ ταῖς ἡμετέραις δυστυχίαις εἰς τὴν ἑαυτοῦ θοίνην ἀποχρησόμενον· οὐκοῦν οὐδὲ τὸ ἀτάκτως χρησόμενον ἡμῖν προθυμίᾳ πληρώσεως. Δίκη τοίνυν καὶ τάξις τοῖς πρὸ ἡμῶν ἀθανάτοις τοὺς ὅρους τῆς περὶ ἡμᾶς, διοικήσεως νομοθετεῖ, ταῦτα μηχανᾶσθαι περὶ ἡμᾶς ἃ τήν τε ἐνταῦθα κακίαν ἡμῶν ἐλαττοῖ, καὶ πρὸς αὐτοὺς ἐπιστρέφειν ἡμᾶς δύναται. Κήδονται γὰρ ἡμῶν, ὡς συγγενῶν ἐκπεσόντων. Ὅθεν αἰδὼς καὶ νέμεσις

---

probitatis crimen incurrere, si mundum providentia non regi aut male administrari existimemus. Hoc vero idem est ac si quis putet Deum non esse, vel, si sit, minime providere, vel denique, si provideat, bonum et justum non esse; quæ quidem nullum non impietatis genus complectuntur, eumque cui tales insederunt opiniones ad quælibet scelera impellunt. Ut enim pietas erga Deum virtutum mater apparuit : ita vitiorum omnium dux pietatis desertio est. Horum igitur medicinam is solus invenerit qui ea leniter ferre didicerit. Id autem per philosophiam solam efficitur, quæ rerum omnium naturas actionesque earum naturis consentaneas accurate novit, quarum series et ordo est illa universitatis administratio, a qua et *divinas fortunas* dispensari necesse est; suam vero cuique pro meritis tributam mercedem *sortem* esse quæ hic vocatur, quæ ex Dei providentia et recto mundi ordine atque hominum voluntate pendet. Si enim nulla esset Dei providentia, nullus foret in mundo ordo, quod et fatum quis appellet. Si vero hæc abessent, nullum foret jus et de sceleratis judicium, imo nec bonorum præmium et comprobatio. Positis vero providentia atque ordine, oportuit omnes jam natos æqualibus frui bonis, si nihil de suo ad inæqualitatem contulissent. Apparet autem eos æqualia non consequi. Manifestum igitur est, voluntatis inæqualitatem, providentiæ judicio subjectam, obstare quo minus æqualis eis sors distribuatur, siquidem eos meritis digna consequi necesse est. Verum ne nos id conturbet, quod in brutis quoque animalibus et plantis et ipsis etiam inanimis eadem quæ in hominibus appareat inæqualitas. Non enim ideo res nostræ sine providentia gubernantur, quia illis hæc fortuito contingunt; neque etiam in illis jus et judicium et virtutis vitiique rationes valent, quoniam res nostræ ad normam illam exiguntur. Primum enim inanima ita in medio posita sunt, ut communis materia plantis et bestiis et hominibus; deinde plantæ bestiis et hominibus tanquam commune alimentum cedunt, quin et bestiæ nonnullæ bestiis atque hominibus. Quapropter hoc modo se invicem tractant, non spectatis eorum quibus nocent meritis, sed ut famem suam depellant vel morbum curent, atque omnino ut suam inopiam, undecunque liceat, levent; adeo ut bestiis infelicitatis occasio sit nostra indigentia, quæ e rebus forte obviis expletur, atque felicitatis qua frui videntur causa sit nostra erga eas affectio. Si igitur progressa oratio et alios quosdam vicissim nobis præstantiores induxisset, qui nobis eodem modo ad levandam inopiam suam uterentur, quo nos fere brutis animalibus utimur, mortales eos esse fatendum foret hominumque corpora in eorum

καὶ αἰσχύνη ἀποτρέπουσαι τῶν κακῶν, ἀνθρώπους μόνους ἐπιστρέφεσθαι λέγονται ὀρθῶς. Τὸ γὰρ λογικὸν ζῶον μόνον συναισθάνεσθαι τῆς δίκης πέφυκε. Τοῖς μεγίστοις οὖν ὅροις διεστῶτας ἡμᾶς ἀπὸ τῶν ἀλόγων διεστώσῃ πάμπολυ καὶ τῇ διοικήσει χρῆσθαι προσήκει. Σύμμετρος γὰρ ταῖς οὐσίαις τῶν ὄντων καὶ ὁ τῆς προνοίας θεσμός· καὶ ὡς ἕκαστα ὑπέστη παρὰ τοῦ δημιουργοῦ θεοῦ, οὕτω καὶ προνοίας ἀξιοῦται. Φαίνεται δέ, ἐπὶ μὲν τῶν ἀνθρωπίνων ψυχῶν, ἑκάστην αὐτὸς ὑποστήσας· ἐπὶ δὲ τῶν ἀλόγων μόνα γένη, προτείνων τῇ διαπλαττούσῃ αὐτὰ φύσει, ὡς Πλάτωνι δοκεῖ, καὶ Τιμαίῳ τῷ Πυθαγορείῳ, οὐδὲν μὲν προσεχὲς τῶν θνητῶν δημιούργημα εἶναι τοῦ θεοῦ τιθεμένοις, τὰς δὲ ἀνθρωπίνας ψυχὰς γίνεσθαι ἐκ τοῦ αὐτοῦ κρατῆρος τοῖς τε ἐγκοσμίοις θεοῖς, καὶ τοῖς δαίμοσιν, ἢ τοῖς ἀγαυοῖς ἥρωσι· διὸ πρόνοια ἐπ' ἀνθρώπων ἐστὶ καθ' ἕνα ἕκαστον, πῶς ἀφίσταται τῶν ἐκεῖ· πῶς πρὸς τὰ τῇδε νεύει· πῶς ἐνταῦθα πολιτεύεται· πῶς ἂν ἐντεῦθεν ἀνακομισθείη ἐκεῖσε· ὧν οὐδὲν δεῖ περὶ τῆς ἀλόγου ζωῆς πραγματεύεσθαι. Οὔτε γὰρ ἦλθεν ἀδυνατήσασα ἐπισπέσθαι θεῷ· οὔτε ἐπὶ γῆς δύναται πολιτεύεσθαι, ὡς φυτὸν οὖσα οὐράνιον· οὔτε πρός τι ξύννομον ἄστρον ἀνάγεσθαι πέφυκε. Καὶ ταῦτα μὲν πρὸς τὸ παρὸν ἀπολελογήσθω ἡμῖν πρὸς τοὺς δυσχεραντικούς, καὶ πανταχόθεν τὸ ἀπρονόητον κατασκευάζοντας· πρὸς οὓς καὶ ταῦτα εἰπεῖν δίκαιον, ὅτι ἐκ μὲν τοῦ πράως τὰ δυσχερῆ φέρειν ὁ ἀνθρώπινος τρόπος εὐλόγιστος ἀναφαίνεται, καὶ πρὸς τὸ παρὸν ἐπελαφρύνων τὰ δυσχερῆ, καὶ πρὸς τὸ μέλλον ἰώμενος. Ὑμεῖς δὲ ἀγανακτοῦντες τί καὶ ὀνήσετε, εἰ μὴ μόνον προσθείητε τοῖς πόνοις τὸ μέγιστον τῶν κακῶν ἀσέβειαν, καὶ αὐτὰ δὲ τὰ χαλεπὰ τραχύτερα ἑαυτοῖς ἐξεργάσησθε τῷ παρὰ τὴν ἀξίαν πάσχειν αὐτὰ δοκεῖν; Ὁ γὰρ νοσῶν ἐὰν ἀγανακτῇ ὅτι νοσεῖ, δι' αὐτὸ τοῦτο μᾶλλον νοσήσει. Διὸ οὐδὲ χαλεπαίνειν δεῖ πρὸς τὴν ἀξίαν τῆς ἀποδόσεως γινομένης, ἵνα μὴ καὶ χειρόνων ἐν ἕξει γενώμεθα, διὰ τὴν ἐπὶ τοῖς παροῦσι βλάσφημον δυσφορίαν. Σκεψώμεθα δὲ αὐτὸ καὶ τῇδε· εἴ τις πενίαν λαβὼν πράως φέρει, πρὸς τῇ ἀπὸ τῆς πραότητος ἀλυπίᾳ, καὶ ἐξευρήσει τινὰ τοῦ βίου παραμυθίαν· τοῦτο μέν, τοῦ λογισμοῦ πόρον ἐξευρίσκοντος εὐλόγου διατροφῆς, τῷ μὴ συγκεχύσθαι τῇ λύπῃ· τοῦτο δέ, ἀγαμένων αὐτὸν τῶν πλησίον τῆς ἔμφρονος καρτερίας, καὶ συνεκποριζόντων, ὅση δύναμις, τὰ ἀναγκαῖα πρὸς τὸν βίον. Ὁ δὲ ἀγανακτῶν, καὶ γυναικείως πικραινόμενος, πρῶτον μὲν ἐξουσίας λύπας προσκτᾶται· ἔπειτα προσδεδεμένος τῷ

---

usum consumta videri. Quodsi nihil eorum quæ homine superiora sunt morti obnoxium sit (quoniam ipse in intelligentium naturarum genere ultimum locum tenens atque idcirco immortalis in mortale corpus casu adverso oppressus venit, assumtoque organo quodam bestiis cognato in terra versatur), nihil esse queat, quod miseriis nostris ad suas epulas abutatur, ideoque nihil etiam quod nobis immoderate ad cupiditatem suam explendam utatur. Justitia igitur et ordo immortalibus illis, qui nobis superiores sunt, suæ rerum nostrarum administrationis leges præscribunt, ut ea circa nos moliantur, quæ et nostram hic pravitatem minuant et eo valeant, ut ad ipsos reducamur. De nobis enim, tanquam de cognatis exsulibus, solliciti sunt. Quapropter pudor et ultio divina et dedecus, quorum ope a malis avertimur, homines solos ad virtutem revocare recte dicuntur. Solum enim rationale animal justitiæ sensu afficitur. Nos igitur qui longissimo a bestiis intervallo distamus, gubernationis etiam modo longe diverso tractari oportet. Est enim rerum naturis congruens etiam providentiæ lex, et quemadmodum singula a mundi opifice Deo creata sunt, sic et providentia ejus fruuntur. Videtur autem Deus in hominibus singulas ipse animas creasse, in brutis vero animalibus sola genera naturæ eorum fictrici proposuisse, uti Platoni et Timæo Pythagorico placet, qui nihil dignitate proximum e mortalium genere a Deo creatum esse statuunt, animas autem humanas ex eodem cratere, e quo mundani dii et dæmones sive illustres heroes exstiterunt, esse factas; quamobrem circa unumquemque hominem providentiæ observatio versatur, quomodo a superis discedat, quomodo in hæc terrestria inclinet, quomodo hic degat, quomodo hinc demum illuc revertatur : quorum nihil de anima rationis experte dici convenit. Neque enim illa huc venit, quando Deum amplius sequi non potuit, nec potest in terra versari, ut quæ planta cœlestis sit, neque natura talis est, ut ad astrum aliquod ipsi congruens reducatur. Atque hæc quidem a nobis adversus indignabundos, qui quovis modo providentiam tollunt, in præsens dicta sint, adversus quos et hæc jure dicantur, hominum mores ex eo apparere rationi consentaneos, quod res adversas leniter ferendo in præsens allevent et remedium earum in posterum parent. Vos autem qui indignamini, quid tandem proficietis, nisi quod impietatem, malorum omnium maximum, calamitatibus vestris additis, atque ipsas etiam ærumnas vobis eo asperiores facitis, quod iis præter merita vos affici existimatis? Is enim, qui morbo laborat, si morbum indignetur, eo ipso gravius laborabit. Quare non est quod succenseamus, si quid pro meritis nobis retribuitur, ne propter maledicam præsentium malorum impatientiam in deteriorem etiam habitum prolabamur. Consideremus vero rem istam hoc quoque modo : si quis ad egestatem redactus

τὴν πενίαν πενθεῖν, ἄπορος παντελῶς γίνεται, οὔτε παρ' ἑαυτοῦ τι σχολάζων εἰς πόρον συμβάλλεσθαι, οὔτε παρὰ τῶν πλησίον συντελούμενος, ὅσον μὴ ἐλέου χάριν αὐτῷ τις προσρίψειεν· ὃ πάλιν ἐκ τῆς διαθέσεως τοῦ διδόντος ἐπιτείνει τὴν λύπην τῷ εἰς τοῦτο χρείας καταστάντι. Ἐκ πάντων οὖν τῶν εἰρημένων πράως φέρειν δεῖ τὰ συμβαίνοντα, καὶ ὅσῃ δύναμις ἰᾶσθαι δεῖ, ταῖς ἀδιαστρόφοις ἐννοίαις τὰς αἰτίας αὐτῶν ἐκλογιζομένους, καὶ συνορῶντας, ὅτι προνοίας οὔσης, οὐκ ἀμελεῖται ὁ ἀγαθὸς νῦν γενόμενος, κἂν παλαιῶν μηνιμάτων ἐφέλκηται στίγματα. Κατ' αὐτὸ γὰρ τὸ κτᾶσθαι τὴν ἀρετὴν καὶ τὸ ἐπίπονον αὐτῶν διαφεύγει, καὶ τὴν ἴασιν ἐξευρίσκει, παρ' ἑαυτοῦ μὲν τὴν βοήθειαν τῆς ἀλυπίας εἰσφέρων, παρὰ δὲ τῆς προνοίας τὴν ἀπόλυσιν τῶν χαλεπῶν κομιζόμενος. Ἡ γὰρ ἡμετέρα κακία, καὶ κρίσις θεία τιμωρουμένη τὴν πονηρίαν, τὰ χαλεπὰ συνεφόρησεν· εἰκότως δὲ ταῦτα λύεται πάλιν ἀρετῇ τε ἡμετέρᾳ, καὶ νόμῳ προνοίας, ἀπολύοντι τῶν κακῶν τοὺς παρ' ἑαυτῶν πρὸς τὸ ἀγαθὸν ἐπιδεδωκότας. Τοσαῦτα ἂν λάβοιμεν καὶ ἐκ τούτων τῶν ἐπῶν δόγματα πρὸς ἀρετῆς στοιχείωσιν συντελοῦντα. Τοὺς γὰρ περὶ προνοίας, καὶ εἱμαρμένης, καὶ τοῦ ἐφ' ἡμῖν, ἀληθεστάτους λόγους περιέχοντα ἀναπέφηνε, δι' ὧν τὸ τῆς τῶν φαινομένων ἀνωμαλίας δύσκολον ἀπηύθυνεν ὁ λόγος, καὶ διὰ πάντων ἀπέδειξε τῶν κακῶν ἀναίτιον τὸν θεόν. Εἰ δέ τις ταῦτα τοῖς προτέροις ἐπισυνάψειεν, εἷς ἐκ πάντων ἀναφανήσεται λόγος, τὴν τῆς ψυχῆς ἀϊδιότητα βεβαιούμενος. Τὸ γὰρ δικαιοσύνην ἀσκεῖν, καὶ γενναίως ἀποθνήσκειν, καὶ περὶ τὰ χρήματα ἐλευθερίως διακεῖσθαι, τοῦ μὴ συναποθνήσκειν τῷ σώματι τὴν ψυχὴν μάλιστα χρῄζει πρὸς κατασκευήν, ὡς ἤδη εἴρηται. Τὸ δὲ τὰς δαιμονίας τύχας πράως φέρειν, καὶ ἰᾶσθαι δύνασθαι, τοῦ μὴ συγγεννᾶσθαι τῷ σώματι τὴν ψυχὴν νῦν ἐφάνη δεόμενον· ἐκ δὲ ἀμφοτέρων τὸ γενέσεως καὶ φθορᾶς κρείττονα εἶναι τὴν ψυχὴν ἀποδείκνυται, καὶ ἑτέραν οὐσίαν παρὰ τὸ θνητὸν σῶμα, αὐτὴν καθ' ἑαυτὴν οὖσαν ἀΐδιον. Οὐ γὰρ οἷόν τέ ἐστιν ἀπό τινος χρόνου προελθόν τι εἰς γένεσιν εἰς ἀεὶ διαμένειν, ὥσπερ οὐδὲ τὸ ἐξ ἀϊδίου τὴν ὑπόστασιν ἔχον ποτὲ φθορὰν ἀναδέξασθαι. Εἴπερ οὖν μετὰ τὴν τοῦ σώματος φθορὰν ἡ ἀνθρωπίνη ψυχὴ διαμένουσα δίκης καὶ κρίσεως τυγχάνει, καὶ τῶν ἐπιτηδευθέντων ἐν τῷ βίῳ τὰς πρὸς ἀξίαν ἀμοιβὰς ἀποδέχεται, οὐχ οἷόν τε δὲ εἰς ἀεὶ διαμένειν τὸ ἀπὸ χρόνου γενόμενον· δῆλον, ὡς καὶ πρὸ τούτου ἦν τὸν ἅπαντα χρόνον. Καὶ οὕτω τῶν ἀϊδίων

---

rerum omnium inopiam leniter ferat, is præter indolentiam ex animi lenitate ortam simul vitæ solatium aliquod inveniet, partim, quod ratio idonei victus viam patefaciet, si dolore non conturbetur, partim quod vicini, patientiæ ejus prudentiam admirantes, ei suppeditabunt, quantum possunt, quæ ad vitam necessaria erunt. Is vero qui indignatur et muliebriter exacerbatur primum dolores sponte sibi arcessit, deinde in lugenda paupertate defixus omnino inops fit, quum neque ipsi vacet ad sublevandam inopiam suam quidquam conferre, neque vicinorum collationibus sublevetur, nisi quis misericordia commotus aliquantulum ei stipis projecerit, quod rursus ex dantis affectu dolorem ejus auget, quem tanta urget penuria. Sequitur igitur ex ante dictis omnibus, nos casus adversos leniter ferre debere eisque quantum possumus mederi, causas eorum recto judicio expendentes intelligentesque, quum præsit nobis providentia, eum non negligi qui jam factus sit bonus, quamvis veteris iræ signa retineat. Nam per ipsam virtutis adeptionem eorum etiam molestiam effugit et medicinam invenit, ex se ipso indolentiæ præsidium afferens et a providentia malorum liberationem obtinens. Nostra enim pravitas et Dei improbitatem ulciscentis judicium calamitates invexerunt; hæ vero rursus jure dissolvuntur virtute nostra et providentiæ lege, quæ eos malis liberat qui sponte sua virtuti se dediderint. Tot sane vel ex hisce versibus præcepta haurire queamus, quæ ad virtutis traditionem conferunt. Hi enim videntur providentiæ et fati et liberi arbitrii verissimas rationes complecti, quibus nos inæqualitatis, quæ in rebus apparet, difficultatem explicavimus et malorum culpam Deo nequaquam attribuendam esse demonstravimus. Quodsi quis hæc cum superioribus conjungat, una ex omnibus apparebit ratio quæ animi æternitatem confirmet. Ad hanc enim opinionem probandam, justitiam colendam esse, mortem fortiter occumbendam, liberaliter divitiis utendum animus corporis morte non deletus, ut jam diximus, maxime necessarius est. Ad divinam autem fortunam leniter ferendam ejusque vulnera, quantum possumus, sananda egere nos animo, qui non una cum corpore generatus sit, apparet : ex utroque vero demonstratur, animum generationis et corruptionis expertem esse diversamque a mortali corpore naturam, quæ ipsa per se æterna sit. Neque enim fieri potest, ut quod inde ab aliquo tempore ortum est, id in æternum duret, quemadmodum neque illud quod ex omni æternitate exstitit unquam corruptionem admittet. Si igitur animus post corporis interitum superstes pœnam atque judicium subit et eorum quæ in vita gessit mercedem pro meritis accipit, neque id perpetuo manere potest quod ortum aliquando habuit, manifestum est animum etiam ante hoc corpus semper fuisse. Atque ita inter æterna rerum parentis Dei opera humanus etiam animus

γεννημάτων τοῦ δημιουργοῦ θεοῦ καὶ ἡ ἀνθρωπίνη ψυχὴ ἀνευρίσκεται, ὅθεν αὐτῇ καὶ τῆς θείας ὁμοιώσεως μέτεστιν. Ἐπεὶ δὲ καὶ τοῦτο μετρίας ὑπομνήσεως ἔτυχε, καιρὸς ἂν εἴη καὶ τὰ λοιπὰ ἐπισκέψασθαι.

XII. 21—24.

> Πολλοὶ δ' ἀνθρώποισι λόγοι δειλοί τε καὶ ἐσθλοὶ
> προσπίπτουσ', ὧν μήτ' ἐκπλήσσεο, μήτ' ἄρ' ἐάσῃς
> εἴργεσθαι σαυτόν· ψεῦδος δ' ἤνπερ τι λέγηται,
> πράως εἶκε.

Ἡ ἀνθρωπίνη προαίρεσις μήτ' ἐν ἀρετῇ ἀεὶ ἑστῶσα, μήτ' ἐν κακίᾳ, καὶ τοὺς διὰ φωνῆς προϊόντας λόγους ἐπαμφοτερίζοντας ἀπεγέννησεν, ὡς ἐοικότας ταῖς ἐναντίαις αὐτῆς διαθέσεσι. Διὸ τῶν λόγων ἐγένοντο οἱ μὲν ἀληθεῖς, οἱ δὲ ψευδεῖς, οἱ δὲ ἀγαθοί, οἱ δὲ κακοί. Ἡ δὲ διαφορὰ αὕτη ἐπιστημονικῆς δεῖται διακρίσεως, ὅπως τοὺς μὲν ἀμείνονας ἐκλεξώμεθα, τοὺς δὲ χείρους ἀποβάλωμεν, καὶ μήτε μισολογίαν νοσήσωμεν παντελῆ, διὰ τὴν τῶν χειρόνων λόγων κατάγνωσιν, μήτε ἀδιακρίτως πάντας εἰσδεξώμεθα, διὰ τὴν τῶν ἀμεινόνων ἀποδοχήν. Ἕπεται γὰρ τῇ μὲν μισολογίᾳ τὸ καὶ τῶν ἀγαθῶν λόγων ἑαυτοὺς ἀποστερεῖν, τῇ δὲ ἀκρίτῳ φιλολογίᾳ, τὸ λανθάνειν βλαπτομένους ὑπὸ τῶν κεκακουργημένων λόγων. Φιλολογίαν οὖν ἀσκήσωμεν μετὰ κρίσεως τῆς ἀρίστης, ἵνα ἡ φιληκοΐα πᾶν ἕλκῃ τὸ γένος τῶν λόγων, ἡ δὲ κρίσις ἀπωθῆται τὸν χείρονα. Καὶ οὕτω τὸ Πυθαγορικὸν τηρήσομεν παράγγελμα, μήτε ἐκπληττόμενοι τοὺς πονηροὺς τῶν λόγων, καὶ δι' αὐτὸ τοῦτο, ὅτι λόγοι εἰσίν, ἀκρίτως αὐτοὺς εἰσδεχόμενοι· μήτε τῶν ἀγαθῶν εἰργόμενοι, διότι λόγοι ἦσαν ὁμοίως τοῖς χείροσι. Πρῶτον μὲν γὰρ οὐχί, ᾗ λόγοι, μεταδιώκοιντο, ἀλλ' ᾗ ἀληθεῖς· οὐθ' οἱ ἕτεροι καταγινώσκοιντο, ὡς λόγοι, ἀλλ' ὡς ψευδεῖς. Ἔπειτα κἀκεῖνο εὐθαρσῶς ἂν εἴποιμεν, ὡς μόνοι λόγοι εἰσὶν οἱ ἀληθεῖς. Μόνοι γὰρ τῆς λογικῆς οὐσίας τὸ ἀξίωμα τηροῦσι, καί εἰσι γεννήματα ψυχῆς πρὸς τὸ ἄριστον ἀνατεταμένης, καὶ τὸν οἰκεῖον κόσμον κεκτημένης· οἱ δὲ ψευδεῖς τῶν λόγων οὐδὲ λόγοι ὄντως εἰσί, πρὸς γὰρ κακίαν καὶ ψευδοδοξίαν φέροντες, καὶ τὴν εὐγένειαν τῶν λόγων ἠρνήσαντο, καί εἰσιν ἠλογημένης ψυχῆς καὶ πάθεσι συμπεφυρμένης φωναί. Μήτε οὖν πάντας καταδέχου, φησίν, ἵνα μὴ καὶ τοὺς ψευδεῖς· μήτε πάντας ἀπόβαλλε, ἵνα μὴ καὶ τοὺς ἀληθεῖς. Ἑκάτερον γὰρ ἄτοπον, τούς τε ἀγαθοὺς μισῆσαι σὺν τοῖς χείροσι, καὶ τοὺς ψευδεῖς προσίεσθαι διὰ τοὺς ἀμείνους. Δεῖ δὴ τοὺς μὲν ἀγαθοὺς ἐπαινεῖν, καὶ εἰσδεξάμενον αὐτοὺς ἀσκεῖσθαι, καὶ ζητεῖν ὅπῃ καὶ ἐφ' ὅσον τῆς ἀληθείας ἐφάπτονται, πρὸς δὲ τοὺς ψευδεῖς τὴν ἀγωνιστικὴν

---

reperitur, unde et ipse divinæ similitudinis particeps est. Cum vero de hac etiam re satis dictum sit, tempus est reliqua quoque considerare.

XII. 21-24.

> Multi autem ad hominum aures tum mali tum boni sermones
> accidunt, quos ne cum stupore accipias, neve sinas (ab iis audiendis)
> te avocari : si quid autem falsi dicatur,
> leniter cede.

Voluntas humana nec in virtute nec in vitio semper permanens, sermones etiam voce edit utrique accommodatos; quippe qui contrariis ejus affectionibus respondeant. Quo fit ut sermonum alii sint veri, alii falsi, alii autem boni, alii mali. Hæc autem diversitas prudentem postulat distinctionem, ut meliores seligamus, deteriores rejiciamus, et neque omnium prorsus sermonum odio concepto tanquam morbo quodam laboremus propter malorum improbationem, nec ob bonorum comprobationem quoslibet promiscue admittamus. Sequitur enim ex sermonum omnium aversatione, ut illis etiam qui boni sunt nos privemus, e promiscua vero eorum cupiditate, ut perniciosorum noxam non sentiamus. Optimo igitur judicio sermonum cupiditatem temperemus, ut audiendi voluntas omne sermonum genus eliciat et ad se attrahat, judicium autem deteriores repudiet. Atque ita Pythagoricum præceptum observabimus, neque malos sermones admirantes eosque ob id ipsum, quia sermones sunt, promiscue admittentes, neque a bonis deterriti, quia sermones sunt æque ac mali. Primum enim neque hi quatenus sermones, sed quatenus veri sunt, quærantur; neque illi ut sermones, sed ut falsi rejiciantur. Deinde et illud confidenter dicamus, eos solum esse sermones qui veri sunt. Soli enim illi intelligentis naturæ conservant dignitatem, animique fœtus sunt ad id quod optimum est intenti suumque decus obtinentis; illi autem qui falsi sunt ne sermones quidem revera sunt : quum enim ad vitium opinionesque falsas ducant, non solum a sermonum ingenuitate recesserunt, sed et animi ratione destituti et affectibus contaminati voces sunt. Quare noli omnes, inquit, probare, ne et falsos; noli etiam omnes rejicere, ne et veros. Utrumque enim est absurdum, tum bonos odisse una cum deterioribus, tum falsos admittere propter meliores. Oportet sane bonos laudare eosque admissos in animo versare et quærere quomodo et quatenus cum veritate consentiant, adversus eos autem qui falsi sunt concertatoriam facultatem adhibere, id est eam quam logica ars suppeditat ad veritatis et mendacii distinctionem; sed et quum possumus mendacia refellere, id nec vehementer nec contumeliose facere debemus, sed cum mansuetudine veritatem persequi et mollibus argumentis menda-

δύναμιν κτήσασθαι, αὕτη δ' ἂν εἴη ἡ χορηγουμένη ἐκ τῆς λογικῆς ἐπιστήμης εἰς διάκρισιν ἀληθείας καὶ ψεύδους· δυναμένους δὲ καὶ ἀνατρέπειν τὰ ψεύδη, μήτε σφοδρῶς, μήτε ὑβριστικῶς τοῦτο ποιεῖν· ἀλλὰ σὺν πραότητι τὴν ἀλήθειαν διώκειν, καὶ μετὰ εὐμενῶν ἐλέγχων τὸ ψεῦδος ἀνατρέπειν, καὶ ὡς αὐτό φησι τὸ ἔπος, ψεῦδος δ' ἤνπερ τι λέγηται, πράως εἴκοντας, οὐ συγχωροῦντας οὕτως ἔχειν, ὡς λέγεται, ἀλλὰ ἀοργήτως ἀκούοντας. Οὐ γὰρ συγκατατίθεσθαι δεῖν λέγει τῷ ψεύδει τὸ πράως εἶκε, ἀλλ' ἀνεκτικῶς ἀκροᾶσθαι, καὶ μὴ ἐκπλήττεσθαι, εἰ ἄνθρωποι ὄντες τινὲς τῆς ἀληθείας ἀποπεπτώκασιν ἀλυσιτελῶς. Γόνιμος γὰρ ἡ ἀνθρώπου φύσις πολλῶν διαστρόφων δοξασμάτων, ὅταν μὴ ταῖς κοιναῖς ἐννοίαις ὀρθῶς ἕπηται. Οὐδὲν οὖν, φησὶν ὁ λόγος, θαυμαστόν, εἰ ἄνθρωπος μηδὲν τῶν ἀληθῶν μήτε μαθών, μήτε εὑρών, εἰς τοῦτο τῆς ἀπονοίας ἦλθε, καὶ ἔθετο δόξας ὑπεναντίας τῇ ἀληθείᾳ. Τοὐναντίον γὰρ ἂν ἦν θαυμαστόν, εἰ μήτε μανθάνειν μήτε ζητεῖν ἐθέλων τις, αὐτομάτως τῇ ἀληθείᾳ περιέτυχεν, ὥσπερ ἐκ τραγῳδίας θεῷ τινι ἀναφανέντι. Δεῖ οὖν συγγνωμονικῶς ἀκούειν τῶν ψευδομένων, καὶ πείρᾳ μανθάνειν οἵων ἡμεῖς ἐκαθάρθημεν κακῶν, τῇ μὲν κοινωνίᾳ τοῦ συγγενοῦς ὑποκείμενοι τοῖς αὐτοῖς πάθεσι, τῷ δὲ ἀλεξικάκῳ τῆς ἐπιστήμης ἐξ ἐναντίας αὐτῶν γενόμενοι. Μέγα δὲ συντελεῖ πρὸς πραότητα καὶ τὸ τῆς ἐπιστήμης θάρσος· ἡ γὰρ ἱκανῶς παρεσκευασμένη ψυχὴ πρὸς τὸ καταγωνίσασθαι τὰς ἐκτροπὰς τῆς ἀληθείας ἀθορύβως οἴσει τὰς ψευδεῖς δόξας, ὡς προεκλελογισμένη πάντα τὰ παρὰ τὸ ἀληθὲς ἐν αὐτῇ τῇ τοῦ ἀληθοῦς κατανοήσει. Τί οὖν ταράξει τοῦτον, ὡς ἄλυτον ὄν; τί δὲ ἰσχυροῦ φαντασίαν παρέξει τούτῳ, ὃς προκατηγώνισται πᾶν τὸ ψεῦδος; Οὐ μόνον οὖν ἐκ τῆς ἠθικῆς ἀρετῆς τὴν ἀταραξίαν ἕξει ὁ ἐπιστήμων, ἀλλὰ καὶ ἐκ τοῦ θαρσεῖν τοὺς τοιούτους ἀγῶνας. Ταῦτα μὲν περὶ τῆς ἐπιστημονικῆς τῶν λόγων διακρίσεως. Περὶ δὲ τῆς διὰ πάντων ἀνεξαπατήτου ἕξεως, ἣν δεῖ κεκτῆσθαι τὸν ἐπιστήμονα, εὐθὺς ἐπισυνάπτει.

XIII. 24—26.

— Ὃ δέ τοι ἐρέω, ἐπὶ παντὶ τελείσθω·
μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ,
πρῆξαι, μηδ' εἰπεῖν, ὅ, τι τοι μὴ βέλτερόν ἐστι.

Τοῦτο διὰ πάντων τείνει τὸ παράγγελμα, ἰσοδυναμοῦν τῷ ἄνω που εἰρημένῳ,

Πρήξεις δ' αἰσχρόν ποτε μήτε μετ' ἄλλου,
μήτ' ἰδίῃ· πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν.

Ὁ γὰρ ἑαυτὸν αἰδεῖσθαι μεμαθηκώς, καὶ μήτε ἐν μονώσει, μήτε ἐν κοινωνίᾳ, τὴν τοῦ αἰσχροῦ πρᾶξιν ἀνεχόμενος, ἀλλὰ καὶ τὴν φαντασίαν αὐτὴν τοῦ τοιούτου παραιτούμενος διὰ τὸν εἴσω φύλακα λόγον, οὗτός ἐστιν

---

cium refutare, ut ipsum carmen dictat, leniter cedentes, si quid autem falsi dicatur, non concedentes ita rem se habere, ut dicitur, sed sine ira audientes. Nam illud, *leniter cede*, non significat nos id quod falsum est debere approbare, sed audire patienter, neque mirari, si nonnulli, quum homines sint, a veritate aberraverint nullo suo cum commodo. Fecunda enim est hominum natura multarum opinionum perversarum, quum notiones communes non recte sequitur. Nil mirum igitur, inquit carmen, si homo, qui nihil veri vel ab alio didicerit vel ipse investigaverit, eo amentiæ devenerit, ut veritati contrarias opiniones animo imbibat. Nam e contrario mirandum esset, si is, qui neque discere neque quærere vult, in veritatem forte fortuna incideret, tanquam in deum aliquem in tragœdia apparentem. Debemus igitur cum venia quadam mentientes audire et experientia discere, quantis a malis purgatione nos liberati simus, qui quum ejusdem generis communione iisdem, quibus illi, affectibus obnoxii essemus, per scientiam malis propulsatis contrariam illis vitæ morumque conditionem secuti sumus. Multum autem ad lenitatem confert ipsa etiam scientiæ fiducia : animus enim satis præparatus ad devias a veritate digressiones refellendas placide feret falsas opiniones, quum omnia a vero abhorrentia secum ante in ipsa veri consideratione agitaverit. Quid igitur hunc conturbabit tanquam insolubile? quid vero firmum ei apparebit, qui omne falsum jam expugnaverit? Quare non modo morum virtute conturbationis expers erit vir prudens, sed eo etiam, quod ejusmodi certamina non reformidabit. Hactenus de prudenti sermonum distinctione. De habitu autem erroris prorsus immuni, qui in viro prudenti inesse debet, statim subjungit.

XIII. 24-26.

————Quod vero tibi dicam, in omni negotio observetur :
nemo te aut dictis aut factis adducat, ut quidquam
aut facias aut dicas, quod tibi non sit commodum.

Hoc præceptum ad omnia pertinet et idem valet quod illud superius dictum,

Ne quid unquam turpe committas sive cum alio
sive seorsum, sed maxime omnium verere te ipsum.

Is enim qui se ipsum vereri didicit et neque solus neque in societate turpe quid admittit, sed vel ipsam ejus rei cogitationem ac speciem propter rationem, internam custodem, aversatur, ille ipse est qui nunc potest audire, *nemo te vel verbo vel*

ὁ δυνάμενος νῦν ἀκούειν, μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ. Μόνος γὰρ ἀνεξαπάτητος, καὶ ὑπ' οὐδενὸς οὐδαμῶς εὐπαραλόγιστος, ὁ τὴν ἀξίαν ἑαυτοῦ γνοὺς ἄνθρωπος, καὶ οὔτε κολακείαις θωπευόμενος, οὔτε τοῖς ἐκδειμαίνουσι ταπεινούμενος, κἂν πολέμιοι ἢ φίλοι ὁποτεραοῦν τούτων προτείνωσιν. Ἐν γὰρ τῷ μηδεὶς πᾶν πρόσωπον κεῖται, καὶ πατήρ, καὶ τύραννος, καὶ φίλος, καὶ ἐχθρός. Οἱ δὲ τρόποι τῆς παραγωγῆς ἢ διὰ λόγων ἢ ἔργων γίνονται· λόγων μέν, θωπευόντων ἢ ἀπειλούντων, ἔργων δέ, δωρεὰς ἢ τιμωρίας προτεινόντων. Πρὸς πάντα δὴ ταῦτα τετειχισμένην δεῖ τὴν ψυχὴν ἔχειν τῷ ὀρθῷ λόγῳ, πρὸς τὸ ἀμείλικτον καὶ ἀδούλωτον ὑπὸ τῶν ὁπωσοῦν ἔξωθεν προσπιπτόντων ἡμῖν ἡδέων τε καὶ λυπηρῶν. Ὁ γὰρ ὀρθὸς ἐνυπάρχων λόγος, σωφροσύνην καὶ ἀνδρείαν ἑκατέρωθεν παραστήσας τῇ ψυχῇ τοὺς ἀδαμαντίνους φύλακας, ἀνεξαπατήτους ἡμᾶς διατηρήσει καὶ ἀπὸ τῆς τῶν προσηνῶν θωπείας, καὶ ἀπὸ τῆς τῶν φοβερῶν καταπλήξεως· οἷς ἐπιγίνεται δικαιοσύνη ἀκριβής, ἣν παρήγγειλεν ἄνω που ἀσκεῖν ἔργῳ τε λόγῳ τε. Οὕτω μὲν οὖν οὐδεὶς οὐδαμῶς ἡμᾶς ἀναπείσει ἢ λόγον προέσθαι, ἢ ἔργον διαπράξασθαι, ὃ μὴ τῷ ὀρθῷ λόγῳ ἐστὶ σύμφωνον. Εἰ γὰρ πάντων μάλιστ' αἰσχυνοίμεθ' ἑαυτούς, δῆλον ὡς οὐδεὶς ἡμῖν αἰδεσιμώτερος ἡμῶν αὐτῶν φανήσεται, οὐδὲ φοβερώτερος, ὡς προκαλέσασθαι παρὰ τὸ δέον εἰπεῖν τι ἢ πρᾶξαι. Ἐπιβλαβὲς γὰρ τῇ ψυχῇ ἑκάτερον. Τὸ δὲ ἐκείνῃ βλαβερόν, τοῦτο καὶ ἡμῖν ἀσύμφορον· ἐπείπερ ἡμεῖς ἡ ψυχή. Ἀκριβῶς οὖν ἀκουστέον τοῦ ὅ, τι τοι μὴ βέλτερόν ἐστι· κατ' ἐκείνου φέροντας τὴν ἀντωνυμίαν τοι, ὃ κυρίως σὺ εἶ. Ἐὰν οὖν τὸ λεγόμενον, μηδεὶς μήτε δι' ἔργων, μήτε διὰ λόγων, παραγάγῃ σέ τι ποιῆσαι ἢ εἰπεῖν, ὅ, τι μὴ συμφέρον ἐστί σοι· σὺ δὲ ἦσθα ἡ λογικὴ ψυχή· οὐκ ἀνέξῃ, ἐὰν εὖ φρονῇς, τοῦ παραβλάπτοντός σε, τὸν ὄντα λογικὴν οὐσίαν. Σὺ γὰρ εἶ ἡ ψυχή· τὸ δὲ σῶμα, σόν· τὰ δὲ ἐκτός, τοῦ σώματος. Ἐκ γὰρ τῆς διαστάσεως ταύτης καὶ τὸ ἀσύγχυτον τηρήσεις τῶν φύσεων καὶ τὴν ἀνθρωπίνην οὐσίαν ἥτις ἐστὶν εὑρήσεις, οὐδέποτε τὸ σῶμα, οὐδὲ τὰ ἐκτός, σεαυτὸν εἶναι τιθέμενος, οὐδ' ὑπεραγωνιῶν τούτων ὥσπερ σαυτοῦ, ἵνα μὴ πρὸς φιλοσωματίαν καὶ φιλοχρηματίαν καθελκυσθῇς. Ὅλως γὰρ ὅ ἐσμεν ἀγνοήσαντες, καὶ οὗ τὴν ἐπιμέλειαν ποιώμεθα συναγνοήσομεν, πάντων μᾶλλον ἐπιμελούμενοι, ἢ ἡμῶν αὐτῶν, ὧν δεῖ προηγουμένην ποιεῖσθαι τὴν ἐπιμέλειαν. Εἰ γὰρ τὸ χρώμενον τῷ σώματί ἐστιν ἡ ψυχή, τὸ δὲ σῶμα ὀργάνου τάξιν ἐπέχει πρὸς αὐτήν, τοῦ δὲ ὀργάνου χάριν τὰ ἄλλα, πρὸς βοήθειαν τῆς ῥεούσης αὐτοῦ φύσεως, ἐξευρημένα· δῆλον ὡς τοῦ ἡγουμένου καὶ πρώτου προηγουμένην τε καὶ πρώτην δεῖ ποιεῖσθαι τὴν ἐπιμέλειαν· δευτέραν δέ, τὴν τοῦ δευτέρου. Ὅθεν οὐδὲ ὑγιείας ἀμελήσει ὁ σοφός· οὔτι προηγούμενον τὸ σῶμα δοξάζων, ἀλλὰ πρὸς τὴν τῆς ψυχῆς χρείαν αὐτὸ παιδαγωγῶν, ὅπως ἂν ταῖς ἐνεργείαις αὐτῆς ἀνεμποδίστως ὑπακούῃ· καὶ ἐκ τρίτου τῶν τρίτων ἐπιμελήσεται, οἰκονομῶν τὰ ἐκτὸς πρὸς τὴν τοῦ ὀργάνου σωτηρίαν. Πρώτης οὖν τῆς ψυχῆς, τάχα δὲ καὶ μόνης, ἐπιμελήσεται· εἴπερ ἡ τῶν μετ' αὐτὴν ἐπιμέλεια πρὸς τὴν

---

facinore ullo decipiat. Ille enim solus fraudibus non est obnoxius, neque facile potest a quoquam ulla ratione decipi, qui suæ sibi dignitatis conscius est et neque adulationibus capitur, nec terroribus deprimitur, utracunque horum ei vel hostes vel amici objecerint. Nam quod dixit *nemo,* illo omnes personæ, et pater, et tyrannus, et amicus et inimicus continentur. Deceptionis vero modi aut dictis aut factis fiunt, dictis quidem blandientium vel minitantium, factis autem munera vel pœnas proponentium. Oportet ergo nos adversus hæc omnia recta ratione munitum habere animum, ut neque jucundis quæ extrinsecus nobis accidunt deliniamur, neque acerbis in servitutem redigamur. Recta enim ratio nobis insita custodes animo utrinque adamantinos, temperantiam et fortitudinem, apponens nos tum a gratorum hominum blanditiis, tum a consternatione, terribilium comite, tutos præstabit; quibus virtutibus exacta illa justitia accedit, quam et in factis et in dictis exercendam esse superius monuit. Nobis igitur sic instructis nemo unquam persuadebit, ut aut verbum proferamus, aut facinus committamus, quod rectæ rationi non sit consentaneum. Si enim omnium maxime nos vereamur, manifestum est, neminem nobis aut magis reverendum aut reformidandum, quam nosmet ipsos, visum iri, ut ad aliquid dicendum vel faciendum præter officium nos inducat. Horum enim utrumque animo noxium est. Quod autem illi damnosum, id nobis quoque incommodum est, quandoquidem nos sumus animus. Ad illud igitur accurate animum intendamus oportet, *quod tibi non sit commodum*, referentes hoc pronomen *tibi* ad id quod proprie *tu* es. Si id igitur quod præcipitur sit, *nemo te nec factis nec dictis* adducat, ut aliquid aut facias aut dicas, *quod tibi non sit commodum, tu* autem sis animus ratione præditus, nequaquam patieris, si sapias, alium tibi detrimentum importare, quoniam natura intelligens es. Tu enim es animus, corpus vero, tuum; externa autem, corporis. Namque hac distinctione naturarum confusionem vitabis et quæ sit humana natura reperies, si nec corpus, nec externa unquam te esse existimes, nec de iis tanquam de te ipso sollicitus sis, ne ad nimiam corporis curam et divitiarum cupiditatem impellaris. Omnino enim, si quid ipsi simus nesciamus, id etiam, cujus cura nobis habenda sit, simul ne-

ταύτης προκοπὴν τείνει. Πᾶν δὲ τὸ παρὰ τὴν ἀρετήν, τοῦτο ἦν, ὅ, τι τοι μὴ βέλτερόν ἐστιν· ᾧ γὰρ συμφέρον ἡ ἀρετή, τούτῳ τὸ παρ' ἐκείνην ἀσύμφορον. Κύκλον οὖν περιβάλλεσθαι συμβουλεύει τῶν ἀρετῶν φυλακτικὸν ὁ μηδὲν πείθεσθαι δεῖν λέγων τῷ πειρωμένῳ τῆς ἀρετῆς ἀπάγειν, δι' οἵων ἂν ἔργων ἢ λόγων τῆς πρὸς τὸ χεῖρον ἐκτρεπούσης πειθοῦς προσαγάγῃ τὴν πεῖραν· οἷον, μὴ ὑποσχέσεις προσάγων τύραννος, ἢ ταύτας ἔργῳ βεβαιῶν· μὴ ἀπειλαῖς θορυβῶν, ἢ αἰκίαις βιαζόμενος· μὴ φίλιον πρόσωπον, τῇ οἰκειότητι τὴν ἀπάτην ἐπικρυπτόμενον, ἀπαγάγῃ σε τοῦ συμφέροντος τῇ ψυχῇ. Ἦν δὲ ἀλήθεια καὶ ἀρετὴ τὰ ταύτην ὠφελοῦντα μόνα. Ἀνεξαπάτητος δὲ ἔσῃ, εἰ τὴν οὐσίαν τὴν σαυτοῦ γνούς, ἥτις τέ ἐστι, καὶ ᾧ φύσει ἔοικε, τῆς πρὸς ἐκεῖνο ὁμοιώσεως ἀεὶ τὴν ἐπιμέλειαν ἔχοις· πᾶν δὲ τὸ τῆς ὁμοιώσεως ἀπάγον μεγίστην ἡγοῖο ζημίαν. Τοῦτο γὰρ ἦν, ὅ, τι τοι μὴ βέλτερόν ἐστι, τὸ τῆς θείας ὁμοιώσεως ἀπάγον· ἐπειδὴ καὶ βέλτερον ἡμῖν ἐστι τὸ πρὸς τὴν τοιαύτην ὁμοίωσιν φέρον. Τί οὖν προσάξει τις ἱκανὸν ἀποστῆσαι ἡμᾶς τῆς πρὸς θεὸν ὁμοιώσεως καὶ φιλοσοφίας; χρημάτων δόσιν ἢ ἀφαίρεσιν; Ἀλλὰ μεμαθήκαμεν μετὰ τοῦ ὀρθοῦ λόγου καὶ προσίεσθαι ταῦτα καὶ ἀποτίθεσθαι· καὶ τὸ ἄστατον τῆς κτήσεως αὐτῶν ἡμᾶς οὐ λανθάνει. Τί γάρ; ἂν μὴ οὗτος αὐτὰ ἀφέληται, κλέπτης αὐτὰ οὐκ ἀφαιρήσεται; καὶ γενναίως αὐτῶν ὑπομενοῦμεν τὴν ἀποβολὴν ὑπὸ τοῦ μὴ ἔχοντος. Ναυάγιον αὐτὰ οὐ παραιρήσεται; πόσοι δὲ ἄλλοι τρόποι διαφθορὰν χρημάτων ἐπάγουσιν; Ὧν ἕνεκα καὶ τὸν ὑπὲρ ἀρετῆς λογιούμεθα λόγον, ἑκουσίαν πενίαν μετὰ τοῦ καλοῦ ἀνταλλαττόμενοι χρημάτων, καὶ μετ' εὐλογίστου αἰτίας αὐτὰ ἀποδυόμενοι, καὶ τοσούτου τὴν ἀρετὴν ὠνούμενοι, ὅσον ἂν ἡμᾶς βλάπτῃ ὁ ταύτης παρακινεῖν ἐπιχειρῶν. Ἀλλὰ στρεβλώσεις προσοίσει, καὶ θάνατον. Πρόχειρον οὖν πρὸς ταῦτα ἀποκρίνεσθαι, ὡς οὐχ ἡμεῖς ταῦτα πεισόμεθα, ἐάν γε τὸ Ἡμεῖς τηρῶμεν· ἀλλὰ τὸ σῶμα ἔσται τὸ ὑβριζόμενον· τὸ σῶμα τὸ ἀποθνῆσκον, οὐδὲν παρὰ τὴν αὐτοῦ φύσιν πάσχον. Φύσει γάρ ἐστι θνητόν, καὶ τμητόν, καὶ μυρίοις ὑποκείμενον πάθεσιν, ἃ τυράννου μᾶλλον ἡ τυχοῦσα νόσος ἐπήγαγε. Τί οὖν φεύ-

sciemus, et omnia magis, quam nosmet ipsos curabimus, quorum præcipua cura haberi debet. Si enim id quod corpore utitur animus est, corpus vero cum eo comparatum instrumenti vice fungitur, instrumenti autem istius gratia reliqua etiam ad juvandam fluxam ejus naturam inventa sunt, manifestum est, illius quod omnium primum et caput est curam præcipuam primamque esse habendam, secundam autem ejus quod secundum est. Unde nec valetudinem negliget vir sapiens; non quod corpus primarium quiddam existimet, sed ut ipsum ad animi usum ita accommodet, ut ejus actionibus promte obtemperet : tertio vero loco eorum curam aget, quæ tertia sunt, atque ea quæ externa sunt ad instrumenti conservationem adhibebit. Animum igitur primum curabit eumque fortasse solum, siquidem illorum quæ eo inferiora sunt cura ad ejus profectum pertinet. Quidquid autem est præter virtutem, hoc ipsum est, quod *tibi non sit commodum* : cui enim prodest virtus, eidem obest quod ab ea abhorret. Ille igitur nobis auctor est, ut circumducto circulo virtutes muniamus, qui dicit non oportere nos auscultare ei qui a virtute nos conatur abducere, quibuscunque demum factis aut dictis ad deterius nos alliciendi periculum fecerit : verbi gratia, ne tyrannus promissa faciens aut ea *re* præstans, ne minis territans aut cruciatibus adigens, ne persona amici familiaritatis specie fraudem occultans ab eo te abducat quod animo prodest. Sola autem ei prosunt veritas et virtus. A fraude vero tutus eris, si substantiam tuam intelligens, quæ sit et cujus similitudinem naturâ præ se ferat, illam ejus similitudinem studiose conservaveris, id autem omne quod ab ea similitudine abducit damnum esse maximum existimaveris. Hoc enim illud est, *quod tibi non sit commodum*, i. e. quodcunque a divina similitudine abducit; quandoquidem id nobis *commodum* est, quod ad talem similitudinem perducit. Quid igitur afferet aliquis tanta vi præditum, ut nos a divina similitudine et philosophia abducat? num pecuniarum donationem aut ademtionem? atqui didicimus has recta cum ratione et accipere et amittere, neque nos latet, quam incerta earum possessio sit. Quid enim, si hic eas non adimat, nonne fur eas auferet? et magno animo nos illarum jacturam patiemur ab eo qui divitias non habet. Nonne naufragium nos iis spoliabit? Quot vero sunt alii modi quibus divitiæ amittuntur? Quamobrem nos et virtutis rationem habebimus, paupertatem honestam cum divitiis sponte commutantes easque justa de causa abjicientes et tanti redimentes virtutem, quantum est detrimentum quod is nobis importet, qui ab ea nos dimovere conatur. Atqui ille tormenta et mortem afferet. Ad hæc igitur promtum est respondere, non nos hæc esse passuros, siquidem illud *nos* tueamur, sed corpus esse quod cruciabitur, corpus quod morietur, nihil præter naturam suam passurum. Est enim naturâ suâ mortale et sectile et malis obnoxium innumeris, quæ quilibet morbus magis quam tyrannus potest inferre. Cur ea igitur fugimus, quæ effugere non possumus? ac non potius ea conservamus, quorum conservatio penes nos est? Quod enim natura sua mortale est, id capite damnatum nos nullo modo a morte liberare pos-

γομεν ἃ οὐκ ἔστιν ἐφ' ἡμῖν φεύγειν; οὐ τηροῦμεν δὲ μᾶλλον, ἅ ἐστιν ἐφ' ἡμῖν τηρῆσαι; Τὸ γὰρ θνητὸν φύσει καταδεδικασμένον θανάτῳ οὐκ ἔστιν ὁτιοῦν ποιοῦντας ἐκσῶσαι τούτου· τὸ δὲ ἀθάνατον ἡμῶν (ὅπερ ἐστὶν ἡ ψυχὴ καὶ ἡμεῖς) δυνατὸν ἀρετῇ κοσμῆσαι μὴ μαλακισθέντας περὶ τὸν ἀπειλούμενον θάνατον. Ὃν εἰ μετ' εὐλόγου αἰτίας ὑπομείνωμεν, κοσμήσομεν τῇ ὀρθῇ προαιρέσει τὴν ἀνάγκην τῆς φύσεως. Ταῦτα δή ἐστι τὰ μεγάλα, ὧν ἂν ἄλλος ἄλλῳ προτείνειέν τι παθεῖν, ἢ ἀποτῖσαι· τὰ δὲ εἴσω τῆς ψυχῆς ἀδούλωτα ἄλλῳ, καὶ ἐλεύθερα, ἐὰν ἡμεῖς ἐθελήσωμεν· ἐὰν μὴ τῇ πρὸς τὸ σῶμα, ἢ τὰ ἐκτός, ἀμέτρῳ προσπαθείᾳ τὴν ἐλευθερίαν ἡμῶν ἑκόντες δουλαγωγήσωμεν, ζωῆς ἐρημέρου καὶ χρημάτων τὸ ἀγαθὸν τῆς ψυχῆς ἀποδιδόμενοι. Ταῦτα ἡμῖν εἰσηγεῖται τὸ προκείμενον παράγγελμα ἐπὶ παντὶ τελεῖν, δι' ὧν τὸ μόνιμον καὶ ἀπαράγωγον τῆς ἀρετῆς ἐπισφραγίζεται. Ἀλλὰ ἐπὶ τὰ ἑξῆς μετίωμεν, πρὸς τὸ αὐτὸ δόγμα τὴν ἀναφορὰν ἔχοντα.

XIV. 27—29.

Βουλεύου δὲ πρὸ ἔργου, ὅπως μὴ μῶρα πέληται.
Δειλοῦ τοι πρήσσειν τε λέγειν τ' ἀνόητα πρὸς ἀνδρός·
ἀλλὰ τάδ' ἐκτελέειν, ἅ σε μὴ μετέπειτ' ἀνιήσει.

Η εὐβουλία καὶ γεννᾷ τὰς ἀρετὰς, καὶ τελειοῖ, καὶ συνέχει, μήτηρ ἅμα καὶ τιθήνη καὶ φύλαξ αὐτῶν γενομένη. Βουλευομένων γὰρ ἡμῶν ἐφ' ἡσυχίας ὅν τινα τρόπον χρὴ ζῆν, τὸ τῶν ἀρετῶν προαιρεῖται κάλλος. Ἑλομένη δὲ διαθλεῖν γενναίως πάντας τοὺς ὑπὲρ ἀρετῆς ἀγῶνας, καὶ συνεθισθεῖσα τῇ κτήσει τῶν καλῶν ἤδη, κἂν ταῖς τῶν περιστάσεων ταραχαῖς τηρεῖ τὴν γνώμην ἀκέραιον, οὐδὲν ὑπὸ τῶν ἔξωθεν θορυβούντων ἐκπληττομένη πρὸς τὸ μεταθέσθαι ἄλλον εὐδαίμονα εἶναι βίον, ἢ ἐκεῖνον, ὃν ἐφ' ἑαυτῆς ἐλογίσατο κάλλιστον. Ὅθεν τρία γίνεται τῆς εὐβουλίας τὰ ἔργα. Πρῶτον, ἐκλογὴ τοῦ ἀρίστου βίου· δεύτερον, ἄσκησις τοῦ προαιρεθέντος· τρίτον, τήρησις ἀμετάστατος τῶν μελετηθέντων ὀρθῶς. Τούτων δὲ τὸ μὲν πρῶτόν ἐστιν ὁ πρὸ ἔργου λόγος, ὁ τὰς ἀρχὰς τῶν πράξεων ὑποτιθέμενος. Τὸ δὲ μέσον, ὁ σὺν τῷ ἔργῳ λόγος, ὁ προσβιβάζων ἕκαστον τῶν πραττομένων ταῖς ἡγουμέναις ἀρχαῖς. Τὸ δὲ τρίτον, ὁ ἐπὶ τῷ ἔργῳ λόγος ἀναλογιζόμενος τὰ πεπραγμένα, καὶ κρίνων εἰ δεόντως πέπρακται. Διὰ πάντων δὲ τὸ τῆς εὐβουλίας καλὸν ἐπανθεῖ, νῦν μὲν κυούσης τὰς ἀρετὰς, νῦν δὲ ἐκτρεφούσης, καὶ φρουρούσης ἐκ τρίτου. Ὡς ἀρχήν τε καὶ μέσα καὶ τελευτὴν τῶν ἀγαθῶν ἐν ταύτῃ ἡμῖν κεῖσθαι, τήν τε ἀπαλλαγὴν τῶν κακῶν διὰ ταύτης μόνης ἡμῖν παραγίνεσθαι, καὶ τὴν τῶν ἀρετῶν τελείωσιν. Λογικῆς γὰρ τῆς φύσεως ἡμῶν οὔσης, καὶ διὰ τοῦτο βουλευτικῆς, οἰκείᾳ δὲ προαιρέσει πρὸς τὸ εὖ ἢ κακῶς βουλεύεσθαι προσαγομένης, ἡ μὲν κατὰ φύσιν ζωὴ σώζει τὴν οὐσίαν αὐτῆς, ἡ δὲ παρὰ τὸ δέον αἵρεσις

sumus; at quod immortale habemus (animum dico et nos), virtute possumus ornare, si intentata morte non frangamur. Quam si justa de causa patiamur, naturæ necessitatem recto instituto exornabimus Hæc utique sunt magna illa, quorum aliquid alius alii patiendum aut luendum possit intentare : illa vero, quæ sunt intra animum, servitutis immunia sunt et libera, modo nos voluerimus, nisi immodica erga corpus aut res externas affectione commoti ultro libertatem nostram in servitutem converterimus atque animi bonum brevi vita et divitiis vendiderimus. Hæc nos docet hoc præceptum in omni re observare, quibus virtutis stabilitas et constantia confirmatur. Sed ad sequentia, quæ ad idem dogma referuntur, transeamus.

XIV. 27-29.

Consilium vero cape ante rem gerendam, ne stulta [fiant;
hominis enim miseri est facere et dicere, quæ stulta [sunt.
At tu ea perage, quæ tibi postea non sint molesta.

Prudentia quæ in consiliis rite capiendis versatur virtutes et parit et perficit et conservat, quia earum parens simul et nutrix et custos est. Nobis enim tranquillo animo deliberantibus, quæ vitæ ratio sit ineunda, hæc virtutum eligit pulchritudinem. Quum autem virtutis causa omnia certamina fortiter ineunda esse decreverit, atque in iis quæ pulchra sunt comparandis se jam exercuerit, in ipso etiam casuum tumultu sententiam integram conservat, nec iis quæ foris conturbant ita percellitur, ut mutata sententia aliam felicem esse vitam existimet præter eam quam secum optimam judicavit. Unde triplex fit recti consilii munus, primum, optimæ vivendi rationis delectus; secundum, exercitatio ejus quam delegimus; tertium, constans eorum observatio, quæ recta exercitatione comparavimus. Horum autem primum est ratio illa quæ opus præcedit et actionum principia ponit. Medium vero est ratio opus ipsum comitans, quæ singulas actiones ad principiorum ductum componit. Tertium autem, ratio illa quæ post opus res factas examinat et judicat num recte factæ sint. In omnibus vero elucet consilii recte capti bonitas, quia virtutes primum parit, deinde nutrit, tum custodit. Quo fit ut in ea re et principium et medium et finis bonorum nobis posita sint atque ex hac sola tum malorum liberatio, tum virtutum perfectio nobis contingat. Quum enim natura nostra ratione prædita atque idcirco ad deliberandum apta sit, sua vero voluntate ad capienda vel recta vel prava consilia adducatur, vita naturæ legibus convenienter acta substantiam ejus

διαφθείρει ἐφ' ὅσον οἷόν τε. Φθορὰ δὲ ἀθανάτου πράγματος κακία, ἧς ἀβουλία μήτηρ, ἣν ἐκφυγεῖν ὁ λόγος παραινεῖ ὅπως μὴ μῶρα πέληται. Μῶρα δὲ τὰ ἄθλια καὶ κακά. Τὸ γὰρ λέγειν ἢ πράσσειν ἀνόητα δειλοῦ πρὸς ἀνδρός ἐστιν, ἀντὶ τοῦ, κακοδαίμονος ἴδιον ἀνθρώπου. Εἰ δὲ βουλεύοιο πρὸ ἔργου, οὔτε ἐρεῖς τι, οὔτε πράξεις, ἀνόητον, ἐφ' οἷς ἀνιᾶσθαι ἀνάγκη τοὺς τῇ ἀβουλίᾳ ὑπευθύνους. Τὸ γὰρ σαθρὸν τῆς αἱρέσεως τῇ μεταμελείᾳ ἐλέγχεται πείρᾳ δεῖξαν τὴν βλάβην, ὥσπερ αὖ τὸ τῆς εὐβουλίας γενναῖον πρὸς τὸ μόνιμον ἄγει τῆς ἐκλογῆς, ἐπ' αὐτῶν τῶν ἔργων τὴν ὠφέλειαν ἐπιδεικνύμενον· ὠφέλειαν δέ, οὐ τὴν τοῦ σώματος, οὐδὲ τὴν τῶν ἐκτός, ἀλλὰ τὴν ἡμῶν αὐτῶν, οἷς καὶ τὸ βουλεύεσθαι πρὸ ἔργου παραγγέλλεται, καὶ ταῦτα ἐκτελεῖν, ἃ μὴ ἀνιήσει ἡμᾶς· ἡμᾶς δὲ δῆλον ὅτι τὴν ψυχήν. Τί γὰρ ὄφελος ἐπιορκίαις, ἢ φόνοις, ἢ ἄλλαις τισὶ κακοπραγίαις ληΐσασθαι χρήματα, καὶ πλουτεῖν τὰ ἔξω, πενόμενον τὴν ψυχὴν τῶν ἐπιβαλλόντων αὐτῇ καλῶν· καὶ πρὸς τοῦτο ἢ ἀναισθήτως ἔχειν, καὶ διὰ τοῦτο μᾶλλον ἐπιτείνειν τὸ κακόν, ἢ εἰς αἴσθησιν τῶν εἰργασμένων ὑπὸ τῆς συνειδήσεως ἑλκόμενον στρεβλοῦσθαι τὴν ψυχήν, καὶ δειμαίνειν τὰ ἐν ᾅδου κολαστήρια· καὶ μόνην ἴασιν ἐξευρίσκειν τὴν εἰς τὸ μὴ εἶναι καταφυγήν, ὅθεν αὐτῷ παρίσταται κακῷ τὸ κακὸν ἰᾶσθαι, φθορᾷ τῆς ψυχῆς τὴν κακίαν παραμυθουμένῳ, καὶ τὴν μετὰ θάνατον οὐδένειαν ἑαυτοῦ καταψηφίζεσθαι φυγῇ τῶν τῆς κρίσεως πόνων; Οὐ βούλεται γὰρ ὁ κακὸς ἀθάνατον εἶναι τὴν αὑτοῦ ψυχήν, ἵνα μὴ ὑπομείνῃ τιμωρούμενος. Καὶ φθάνει τὸν ἐκεῖ δικαστήν, θάνατον ἑαυτοῦ παντελῆ καταψηφιζόμενος, ὡς πρέπον τὴν πονηρὰν ψυχὴν μηδὲ εἶναι. Ἀλλ' οὗτος μέν, ὡς ἀβουλίᾳ πρὸς κακίαν ὑπενεχθείς, εἰκότως ἀμετρίᾳ τὴν καθ' ἑαυτοῦ ψῆφον ἐκφέρει· οἱ δὲ ἐν ᾅδου δικασταί, ἅτε πρὸς τὸν τῆς ἀληθείας κανόνα τὴν κρίσιν ποιούμενοι, οὐ κρίνουσι μὴ εἶναι δεῖν τὴν ψυχήν, ἀλλὰ πονηρὰν μὴ εἶναι, καὶ ὅπως ἂν μετριάσῃ τὸ κακὸν αὐτῆς πραγματεύονται, ἐπὶ σωτηρίᾳ τῆς φύσεως τὰς κολάσεις ἐπάγοντες, ἰατροῦ δίκην, τομαῖς τε καὶ καύσεσι τὰ χειρώνεια ἕλκη θεραπεύοντες· καὶ τῶν ἡμαρτημένων δίκας εἰσπράττοντες, μετανοίᾳ ψυχῆς τὴν πονηρίαν ἀφανίζειν πειρώμενοι· οὐκ αὐτὴν τὴν οὐσίαν ἐξιστάντες τοῦ εἶναι, ἀλλ' εἰς τὸ εἶναι μᾶλλον ἐπανάγοντες τῇ τῶν λυμαινομένων παθῶν ἐκκαθάρσει. Κινδυνεύει γὰρ εἰς τὸ μὴ εἶναι ὑποφέρεσθαι ἡ ἀνθρωπίνη ψυχὴ διὰ τῆς εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς, τῇ δὲ εἰς τὸ κατὰ φύσιν ἀνακλήσει πρὸς τὴν οὐσίαν τὴν αὐτῆς ἐπανάγεται, καὶ ἀπολαμβάνει καθαρὸν τὸ εἶναι, ὃ τῇ συμμίξει τῶν παθῶν ἐκηραίνετο. Διὸ πειρᾶσθαι δεῖ μάλιστα μὲν μὴ ἁμαρτάνειν, ἁμαρτόντας δὲ σπεύδειν ὡς ἐπὶ ἰατρικὴν τῆς πονηρίας τὴν δίκην, ἐπανορθουμένους τὴν ἀβουλίαν τῇ κρείττονι βοηθείᾳ. Ἐπεὶ γὰρ τοῦ εἶναι ἀγαθοὶ ἐκπεπτώκαμεν, τοῦ γίνεσθαι γοῦν ἀντιλαβώμεθα μεταμελείᾳ εὐγνώμονι τὴν θείαν ἐπανόρθωσιν εἰσδεχόμενοι. Ἡ δὲ μετάνοια

---

conservat, pravorum autem electio eam quoad fieri potest corrumpit. Immortalis vero rei corruptio est malitia, cujus parens est illa temeritas, quam vitare nos hortatur carmen, *ne fiant stulta.* Sed *stulta* sunt, quæ misera et mala. Nam *stulta dicere aut facere miseri hominis est*, id est, infelicis hominis proprium. Sin autem *ante opus deliberaveris, nihil neque dices neque facies, quod stultum sit;* ob quæ necesse est temeritatis reos molestia affici. Namque electionis futilitas pœnitentiâ arguitur, damno experientia demonstrato, sicut e contrario consilii recte capti probitas ad electionis nos stabilitatem perducit, in ipsis factis utilitatem ostendens, utilitatem vero non corporis, nec rerum externarum, sed nostrûm ipsorum, quibus etiam *ante opus consulere* præcipitur atque ea *facere quæ nobis non sint molesta*, nobis vero, nimirum animo. Quid enim homini prosit perjuriis aut cædibus aut aliis ejusmodi maleficiis divitias parare externisque opibus abundare, iis bonis indigenti, quæ ad animum pertinent, atque id vel non animadvertere ideoque malum augere, vel ad facinorum sensum conscientia perducto torqueri animo et pœnas apud inferos metuere solumque remedium invenire perfugium ad mortem, unde malum malo sanare cogitat qui animi interitu malitiam suam consolatur et sibi post obitum exstinctionem decernere, ut judicii molestias effugiat? neque enim vult sceleratus animum suum immortalem esse, ne sempiternis pœnis addictus permaneat. Itaque judicem qui est apud inferos prævertit, perpetuæ morti se ipse adjudicans, quasi improbum animum ne esse quidem conveniat. Atque hic quidem consilii inopia in vitium prolapsus merito intemperanter sententiam adversus se fert : qui vero apud inferos judices sunt ad veritatis normam judicium dirigentes non decernunt animum omnino non esse, sed non sceleratum esse debere, atque id operam dant, ut malum quo ille laborat ne nimium sit, adhibitis ad servandam naturam castigationibus, medicorum more, qui periculosissima ulcera secando et urendo curant, atque pœnas scelerum ideo exigunt, ut animi improbitas pœnitentia deleatur, non ipsam ejus substantiam e rerum natura tollentes, sed potius perturbationum quibus corruptus erat liberatione ad vitam revocantes. Imminet enim humano animo periculum, ne in mortem incidat, quum ad id quod est præter naturam deflectit; quum autem ad id quod est naturæ conveniens revocatur, ad suam ipsius naturam reducitur puramque substantiam recuperat, quæ affectuum prius mixtura corrumpebatur.

αὕτη φιλοσοφίας ἀρχὴ γίνεται, καὶ τῶν ἀνοήτων ἔργων τε καὶ λόγων φυγή, καὶ τῆς ἀμεταμελήτου ζωῆς ἡ πρώτη παρασκευή. Ὁ γὰρ καλῶς πρὸ τῶν πράξεων βουλευόμενος οὐ περιπίπτει λύπαις ἀκουσίαις, οὐδὲ λανθάνει τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις διδούς, ὧν τὰ συμπεράσματα καὶ τὰς ἐκβάσεις οὐκ ἀσμενίζει, ἀλλ' ἀεὶ τὸ παρὸν συντίθησι, τῶν ἄλλως ἐπισυμβαινόντων τὰς τύχας ἐκλογιζόμενος. Διὸ οὔτε προσδοκίᾳ τῶν λεγομένων ἀγαθῶν τὸ ὄντως ἀγαθὸν ἂν παρίδοι, οὔτε φόβῳ τῶν ἐναντίων τὴν τοῦ κακοῦ πρᾶξιν αἱρήσεται· ἑστώσῃ δὲ τῇ γνώμῃ πρὸς τοὺς θείους κανόνας τὸν ἑαυτοῦ βίον ἀπευθύνει. Ἵνα δὲ γνῷς ὅτι δειλοῦ πρὸς ἀνδρός ἐστι πράσσειν τε καὶ λέγειν ἀνόητα, ὅρα Μήδειαν τὴν ἐν τῇ τραγῳδίᾳ τὰ καθ' αὑτὴν ὀδυρομένην· ἥτις ἀβουλήτως τοὺς οἰκειοτάτους προδοῦσα δι' ἔρωτα ἔκτοπον ἀνδρὶ ξένῳ ἑαυτὴν ἐνεχείρισεν· ἔπειτα ὀλιγωρουμένη ὑπὸ τούτου, ἀφόρητα πάσχειν οἴεται· καὶ ἐκ τῆς οἰήσεως ταύτης ἀκούεις οἷα βοᾷ·

> Διά μου κεφαλῆς φλὸξ οὐρανία
> βαίη·

καὶ πρόεισιν εἰς ἔργα παράνομα· πρῶτον ἀνοήτως ἐπευχομένη μὴ γεγενῆσθαι τὰ γενόμενα, εἶτα μανικῶς κακοῖς ἰᾶσθαι τὰ κακὰ πειρωμένη τὴν τῆς ἀβουλίας ἀρχὴν ἐξαλείφειν οἴεται τέλει χείρονι, παιδοκτονίᾳ προπετεῖ τὴν ἄβουλον παιδοποιίαν ἀρνουμένη. Εἰ δὲ βούλει, τὸν Ἀγαμέμνονα θέασαι τὸν Ὁμήρου, ὃς τῆς ἀμετρίας τοῦ θυμοῦ διδοὺς δίκας οἰμώζων ἀναφωνεῖ·

> — ἀλλ' ἀλαλύκτημαι, κραδίη δέ μοι ἔξω.

Καὶ τὸ πυρῶδες τῶν ὀμμάτων, ὃ πάλαι ὑπὸ τῆς θυμικῆς διαθέσεως ἐξῆπτετο, μεταπεσόντων αὐτῷ τῶν πραγμάτων, τοῖς τῶν δακρύων ὄμβροις κατέψυχε. Τοιοῦτος γὰρ πᾶς ἀνόητος βίος, τῇδε κἀκεῖσε τοῖς ἐναντίοις πάθεσι μεταπίπτων, ἐν ἡδοναῖς μέν ἐστι μισητός, ἐν δὲ λύπαις ἐλεεινός, καὶ θαρρῶν προπετής, καὶ δεδιὼς ταπεινός· καὶ ὅλως τοῦ τῆς εὐβουλίας γενναίου φρονήματος ἀμοιρῶν τῇ τύχῃ συμμεταβάλλει τὴν γνώμην. Ἵνα οὖν μὴ τοιούτων δραμάτων ἀναπιμπλώμεθα, πράσσοντες καὶ λέγοντες ἀνόητα, τῷ ὀρθῷ λογισμῷ διὰ πάντων ἡγεμόνι χρησώμεθα, τὸ Σωκρατικὸν ἐκεῖνο πληροῦντες, « ὡς ἐγὼ οὐδενὶ οἷός τέ εἰμι πείθεσθαι τῶν ἐμῶν, πλὴν τῷ λόγῳ, ὃς ἄν μοι λογιζομένῳ ὀρθὸς φαίνηται. » Ἡμῶν δέ ἐστιν, ἀλλὰ οὐχ Ἡμεῖς, πάντα ὅσα πρὸς ὑπηρεσίαν τῇ λογικῇ οὐσίᾳ δέδοται, οἷον θυμός, ἐπιθυμία, αἴσθησις, αὐτὸ τὸ σῶμα, τὸ εἰς ὀργάνου χρείαν ταῖς δυνάμεσι ταύταις παρειλημμένον· ὧν οὐδενὶ χρὴ πείθεσθαι, πλήν, ὡς

Summa igitur danda nobis est opera, ne quid peccemus, sin autem peccavimus, ut festinemus ad pœnam, tanquam improbitatis medicinam, ut consilii inopiam præstantiori auxilio corrigamus. Quum enim semel bonitate excidimus, eam saltem, admissa correctione divina, per justam pœnitentiam recuperemus. Hæc vero pœnitentia philosophiæ principium est stultorumque sermonum atque operum fuga primaque ad vitam non pœnitendam præparatio. Is enim, qui priusquam agat consilium mente circumspicit, non incidit præter voluntatem in molestias, nec imprudens ea principia et fundamenta ponit, quorum conclusionem et exitum non libenter admittit, sed semper præsentia componit, consideratis eorum quæ aliter contingunt casibus. Quocirca nec eorum, quæ bona dicuntur, exspectatione id quod vere bonum est negliget, nec metu contrariorum malum facinus committet, sed mente semper intenta ad divinas leges vitam suam dirigit. Ut autem scias *miseri esse hominis ea et facere et dicere, quæ stulta sunt,* Medeam illam in tragœdia intuere, vicem suam deplorantem, quæ suis temere proditis vesano amore capta se in hominis peregrini manus tradidit; postea vero, quum ab eo negligeretur, intolerabilia pati se existimat, atque ea opinione ducta sic, quomodo audis, exclamat:

> Utinam flamma cœlestis per meum caput
> eat,

et procedit ad facinora nefaria, primum stulte optans, ut non acciderint quæ acciderunt, deinde furenter malis mala curare tentans initium temeritatis pejori fine se delere putat, temerariam liberorum procreationem præcipiti eorum nece infitians. Quodsi placet, Homericum Agamemnonem aspice, qui dum iræ immodicæ pœnas dat ejulans exclamat:

> — perturborque animo nec cor manet intus.

Atque illum oculorum ardorem, qui pridem iracundia accendebatur, rebus ei minus prospere cedentibus, lacrimarum imbre restinxit. Talis enim est, quicunque inconsiderate vitam agit, contrariis affectibus huc illuc agitatus; in jucundis quidem rebus invisus est, in tristibus vero miserabilis, et quum confidit temerarius, quum metuit dejectus; atque in universum recto generosæ mentis consilio destitutus sententiam cum fortuna mutat. Ne igitur ejusmodi fabulis repleti ea *faciamus et dicamus, quæ stulta sunt,* recta ratione in omnibus duce utamur, Socratis illud dictum observantes: « ego vero nulli meorum possum obtemperare, nisi rationi, quæ mihi reputanti recta videatur. » Nostra vero, non autem nos, sunt omnia illa, quæ ministerii loco naturæ intelligenti data sunt, ut ira, cupiditas, sensus, corpus ipsum, quod instrumenti vice facultatibus istis assumtum est: quorum nulli obtemperandum, nisi, ut ait ille,

φησι, τῷ ὀρθῷ λόγῳ, τουτέστι τῷ λογικῷ κατὰ φύσιν διατεθέντι. Τοῦτο γὰρ καὶ διορᾷν δύναται ἃ λεκτέα τε καὶ πρακτέα. Λόγῳ δὲ ὀρθῷ πείθεσθαι καὶ Θεῷ, ταὐτόν ἐστι. Τὸ γὰρ λογικὸν γένος εὐμοιρῆσαν τῆς οἰκείας ἐλλάμψεως ταῦτα βούλεται ἃ ὁ θεῖος ὁρίζει νόμος· καὶ γίνεται σύμψηφος Θεῷ ἡ κατὰ Θεὸν διακειμένη ψυχή, καὶ πρὸς τὸ θεῖον καὶ τὸ λαμπρὸν ἀποβλέπουσα πράττει ἃ ἂν πράττῃ. Ἡ δὲ ἐναντίως διακειμένη πρὸς τὸ ἄθεον καὶ σκοτεινὸν εἰκῇ καὶ ὡς ἔτυχε φερομένη, ἅτε τῆς μόνης τῶν καλῶν στάθμης, νοῦ καὶ Θεοῦ, ἀποπεσοῦσα, πλανᾶται. Τοσαῦτα μὲν καὶ τοιαῦτα τῆς εὐβουλίας τὰ ἀγαθά, καὶ τῆς ἐναντίας διαθέσεως τὰ κακά. Τὸ δὲ βουλεύεσθαι πρὸ ἔργου, πρὸς τοῖς ἄλλοις ἀγαθοῖς, καὶ τῆς οἰήσεως ἐκκόπτει τὰς ἀφορμάς, καὶ πρὸς ἐπιστήμης ἀνάληψιν παρακαλεῖ, καὶ τὸν ἥδιστον ἡμῖν προξενεῖ βίον, εἴπερ καὶ τὸν ἄριστον· δηλοῦται δὲ ταῦτα διὰ τῶν ἑξῆς.

XV. 30—31.

Πρῆσσε δὲ μηδὲν τῶν μὴ ἐπίστασαι, ἀλλὰ διδάσκευ
ὅσσα χρεών, καὶ τερπνότατον βίον ὧδε διάξεις.

Τὸ μὲν μὴ ἐγχειρεῖν οἷς οὐκ ἴσμεν, ἀναμαρτήτους ἡμᾶς διαφυλάττει μόνον· τὸ δὲ διδάσκεσθαι τὰ πρὸς τὴν ἀρίστην ζωὴν συντείνοντα, πρὸς τῷ ἀναμαρτήτῳ, καὶ τὴν κατόρθωσιν ἐν ταῖς πράξεσιν ἡμῖν παρέχεται. Ἡ μὲν γὰρ σύνεσις τῆς ἀγνοίας τὴν ἐκ τῆς οἰήσεως ἐγειρομένην προπέτειαν ἐκκόπτει· ἡ δὲ τῆς ἐπιστήμης κτῆσις τὸ τῶν ἐνεργειῶν ἀπαρεμπόδιστον δίδωσιν. Ἀμφότερα δὲ καλά, καὶ τὸ εἰδέναι ὅτι οὐκ ἴσμεν, καὶ τὸ γνῶναι ἃ οὐκ ἴσμεν· οἷς ἕπεται βίος ὁ ἄριστος ἅμα καὶ ἥδιστος. Οὗτος δέ ἐστιν ὁ οἰήσεως μὲν καθαρεύων, ἐπιστήμης δὲ πλήρης· ἐπὶ μηδενὶ μὲν ἐπαιρόμενος ὧν οὐκ οἶδε, μανθάνειν δὲ ἐθέλων ὅσα ἄξια μαθήσεως. Ἄξια δὲ ἐκεῖνα μόνα, ὅσα πρὸς τὴν θείαν ὁμοίωσιν ἡμᾶς ἀνάγει· ὅσα ποιεῖ βουλεύεσθαι πρὸ ἔργου, ὅπως μὴ μῶρα πέληται· ὅσα οὐκ ἐᾷ παράγεσθαι ὑπ' οὐδενὸς οὔτε λόγῳ, οὔτε ἔργῳ· ὅσα διακρίνειν ἱκανοὺς ποιεῖ τῶν προσπιπτόντων λόγων τὸ διάφορον· ὅσα τὰς δαιμονίας τύχας πράως φέρειν καὶ ἰᾶσθαι πείθει, καὶ τὴν θανάτου καὶ πενίας ἀφοβίαν διδάσκει, καὶ δικαιοσύνης ἄσκησιν, καὶ γαστρὸς καὶ τῶν περὶ τὴν γαστέρα τὴν ἐγκράτειαν· ὅσα τοὺς τῆς φιλίας νόμους εἰσηγεῖται, καὶ τὴν γονέων τιμήν· ὅσα τῶν κρειττόνων γενῶν τὸ σέβας ὑποδείκνυσι. Ταῦτα καὶ τὰ τοιαῦτά ἐστιν, ἃ διδάσκεσθαι χρῆναί φησιν ὁ παρὼν λόγος, οἷς ἕπεται βίος ὁ τερπνότατος. Ὁ γὰρ ἀρετῇ διαπρέπων καὶ ἡδονὰς ἀμεταμελήτους καρποῦται μιμουμένας τὸ τῆς ἀρετῆς μόνιμον. Πέφυκε γὰρ πᾶσα ἡδονὴ ἐνεργείας ἡστινοσοῦν εἶναι παρακολούθημα. Οὐ γὰρ αὐτὴ καθ' ἑαυτὴν τὴν ὑπόστασιν ἔχει, ἀλλ' ἐπακολουθεῖ τάδε ποιοῦσιν ἡμῖν ἢ τάδε. Διὸ ταῖς μὲν

---

rectæ rationi, id est, animo rationali naturæ convenienter affecto. Hic enim potest et perspicere quæ dicenda et facienda sint. Rectæ vero rationi et Deo parere idem est. Natura enim intelligens, quum propria luce fruitur, illa vult quæ divina lex statuit, et cum Deo consentit animus Deo convenienter affectus atque id quod divinum et splendidum est spectans facit quæcunque facit. At qui secus se habet, in impietatem et in tenebras temere fortuitoque delatus oberrat, utpote qui mente atque Deo, sola bonorum regula, exciderit. Tot et talia sunt recti consilii commoda et contrariæ affectionis mala. Consilium vero antequam res geratur captum cum alia habet bona, tum vanæ opinionis occasiones præcidit et ad scientiam adipiscendam nos incitat, atque jucundissimam nobis vitam conciliat, quandoquidem et optimam : hæc vero in sequentibus demonstrantur.

XV. 30-31.

Ne quid facias eorum quæ nescis, sed discito
quæcunque disci par est, atque ita vitam transiges
[jucundissimam.

Earum rerum, quas nescimus, neglectio nos a peccatis immunes tantum conservat, earum vero cognitio quæ ad vitam optimam pertinent, præterquam quod nos inculpatos servat, facit etiam, ut ea quæ recta sunt agamus. Intelligentia enim præcidit inscitiæ temeritatem arroganti sui existimatione excitatam; scientiæ autem adeptio actionum libertatem affert. Utrumque vero bonum est, cum scire nos nescire, tum ea quæ nescimus addiscere, ex quibus oritur *vita* optima simul et *jucundissima*. Hæc autem est ea quæ arrogantiæ expers scientiæ plena sit quæque in nulla earum rerum glorietur, quas ignorat, atque ea lubens discat quæ scitu digna sunt. Illa vero sola digna sunt, quæ ad Dei similitudinem nos evehunt, quæ faciunt ut priusquam res gerantur deliberemus, ne stulta committantur, quæ nos a nemine neque verbis neque factis falli sinunt, quæ idoneos reddunt ad incidentium sermonum discrimen faciendum, quæ calamitates divinitus invectas leniter ferre iisque mederi persuadent, et mortis paupertatisque contemtionem et justitiæ cultum et ventris eorumque quæ circa ventrem sunt, continentiam docent, quæ leges amicitiæ et parentum honorem tradunt, quæ denique superiorum generum cultum demonstrant. Hæc atque hujusmodi sunt ea quæ discenda esse monent hi versus et quæ sequitur vita jucundissima. Qui enim virtute excellit voluptatibus etiam fruitur non pœnitendis, virtutis stabilitatem imitantibus. Ita enim natura compa-

φαυλοτέραις τῶν ἐνεργειῶν αἱ χείρους τῶν ἡδονῶν ἕπονται, ταῖς δὲ ἀμείνοσιν ἡδοναὶ συνεισέρχονται σπουδαῖαι· ὥστε μὴ μόνῳ τῷ καλῷ περιεῖναι τὸν σπουδαῖον τοῦ φαύλου, ἀλλὰ καὶ αὐτῇ τῇ ἡδονῇ νικᾶν, δι' ἣν μόνην δοκεῖ εἰς κακίαν ὁ φαῦλος ὑπάγεσθαι. Καὶ γὰρ ὅσῳ ἡ διάθεσις τῆς διαθέσεως ἀμείνων, τοσούτῳ καὶ ἡ ἡδονὴ τῆς ἡδονῆς αἱρετωτέρα. Ἐπεὶ οὖν ὁ κατ' ἀρετὴν βίος, τῆς θείας ὁμοιώσεως ἀντεχόμενος, τῷ ὄντι θεῖός ἐστιν, ὁ δὲ ἐν κακίᾳ, θηριώδης καὶ ἄθεος· δῆλον ὡς ἡ μὲν τοῦ σπουδαίου ἡδονὴ τὴν θείαν εὐφροσύνην μιμεῖται νῷ καὶ θεῷ συνεπομένη, ἡ δὲ τοῦ φαύλου ἡδονὴ λεγομένη (δεδόσθω γὰρ κοινὸν τὸ ὄνομα) πρὸς τὴν θηριώδη καὶ ἔμπληκτον ὁμοιοῦται κίνησιν. Ἡδοναὶ γὰρ καὶ λῦπαι μεθιστᾶσιν· ὧν ὁ μὲν ἀρυόμενος, ὅθεν τε δεῖ, καὶ ὁπότε, καὶ ὁπόσον, εὐδαιμονεῖ· ὁ δὲ τὰ μέτρα τούτων ἀγνοήσας, ἄθλιος. Οὕτως οὖν ὁ μὲν οἰήσεως καθαρεύων βίος ἀναμάρτητός ἐστι μόνος· ὁ δὲ καὶ ἐπιστήμης πληρωθείς, κατωρθωμένος καὶ τέλειος· ὁ δ' αὐτὸς ἥδιστός τε ἅμα καὶ ἄριστος. Οὐκοῦν ἃ μὲν μὴ ἴσμεν οὐδέποτε πράξομεν· ἃ δὲ ἴσμεν, ὅτε δεῖ. Ἡ μὲν γὰρ ἄγνοια τὴν κακίαν εἰσηγεῖται, ἡ δὲ γνῶσις τὴν εὐκαιρίαν ζητεῖ. Πολλὰ γὰρ ὄντα σπουδαῖα τῇ μεταθέσει τοῦ καιροῦ γίνεται φαῦλα. Ἐν τάξει οὖν ἀκούσωμεν τοῦ παραγγέλματος, ἐκ μὲν τῆς ἐποχῆς τῶν πράξεων τὸ ἀναμάρτητον ἡμῖν εἰσηγουμένου, ἐκ δὲ τῆς προτροπῆς τοῦ μανθάνειν οὐ πάντα, ἀλλ' ὅσα δεῖ, πρὸς τὰς ἀρίστας πράξεις ἡμᾶς ἐπανάγοντος. Οὐ γὰρ ἐν τῷ μὴ ἁμαρτάνειν ἐστὶ τὸ κατορθοῦν, ἀλλ' ἐν τῷ τὰ δέοντα εἰδέναι· καὶ τὸ μὲν ἡ κάθαρσις τῆς οἰήσεως, τὸ δὲ ἡ τῆς ἐπιστήμης παρουσία ἐργάζεται. Ἐν δὲ τῷ μὴ ἁμαρτάνειν, καὶ ἐν τῷ κατορθοῦν, ὅρα τί συμβήσεταί σοι· τερπνότατον βίον ὧδε διάξεις. Τίς δὲ οὗτος, εἰ μὴ μόνος ὁ ἀπὸ τῆς ἀρετῆς τὸ ἡδὺ κεκτημένος, ᾧ συνδεδράμηκεν ἅμα τὸ ἀγαθόν, καὶ τὸ ἡδύ; Εἰ οὖν ποθοῦμεν τὸ καλόν, ποθοῦμεν δὲ καὶ τὸ ἡδύ· συνελθόντα τί ἂν εἴη; τοῦτο, ὅ φησιν, ὁ βίος τερπνότατος. Ὁ γὰρ τὸ ἡδὺ μετὰ τοῦ αἰσχροῦ ἑλόμενος, εἰ καὶ πρὸς ὀλίγον δελεασθείη τῷ ἥδοντι, διὰ γοῦν τὸ αἰσχρὸν εἰς μεταμέλειαν ἐπώδυνον ἔρχεται. Ὁ δὲ τὸ καλὸν μετὰ πόνου προτιμήσας, κἂν παραυτίκα τῷ ἀήθει βαρύνηται, ἀλλ' ἡ τοῦ καλοῦ σύζευξις ἐπελαφρύνει τὸν πόνον, καὶ τέλος πρὸς τῇ ἀρετῇ καὶ ἡδονὴν καθαρὰν καρποῦται. Εἰ μὲν γὰρ πράττοιτό τι μεθ' ἡδονῆς αἰσχρόν, ἡ μὲν ἡδονὴ παρῆλθε, τὸ δὲ αἰσχρὸν μένει· εἰ δὲ πράττοιτό τι μετὰ πόνου καλόν, ὁ μὲν πόνος παρῆλθε, τὸ δὲ καλὸν μένει. Ἐξ ὧν λυπηρότατον ἀνάγκη εἶναι τὸν κάκιστον βίον· τερπνότατον δέ, τὸν ἄριστον. Καὶ ταῦτα μὲν περὶ τούτων. Ἐπεὶ δὲ καὶ ἡ τοῦ σώματος παιδαγωγία πρὸς

---

ratum est, ut omnis voluptas alicujus actionis sit appendix. Non enim illa per se exstat, sed nos hæc vel illa agentes comitatur. Unde fit ut actiones pejores subsequantur voluptates viliores, meliorum autem comites sint voluptates bonæ, adeo ut vir bonus non solum honestate malum superet, sed ipsa etiam voluptate vincat, ob quam solam malus ad vitium pellici videtur. Quanto enim affectio affectione excellentior est, tanto et voluptas voluptati præferenda. Quandoquidem igitur vita cum virtute acta, ad divinam similitudinem aspirans, revera est divina, vitiis autem dedita belluina atque a Deo aliena : manifestum est hominis virtute præditi voluptatem, quæ mentem Deumque sequatur, divinam lætitiam imitari; vitiosi autem quæ dicitur voluptatem (detur enim commune nomen) ad commotionis belluinæ et vecordis similitudinem accedere. Voluptates enim atque dolores mutationi obnoxia sunt; e quibus is qui sumit unde et quando et quantum par est, felix est; ille autem, qui horum modum ignorat, infelix. Sic igitur a peccatis illa tantum vita immunis est, quæ arrogantiæ expers sit, ea autem recta et perfecta quæ scientiam quoque adepta sit, eademque jucundissima simul et optima est. Itaque nunquam faciemus quæ ignoramus, quæ vero scimus, quum oportet. Inscitia enim vitium suadet, scientia vero tempus quærit opportunum. Quippe multa, quæ bona sunt, temporibus mutatis mala fiunt. Ordine igitur huic præcepto auscultemus, quippe quod inhibitis actionibus nos a peccato arceat, addita vero hortatione, ut discamus, non omnia, sed quæcunque oportet, ad optima agenda nos reducat. Non enim in non peccando positum est recte factum, sed in eorum cognitione quæ deceant : nam ad illud quidem arrogantiæ amotio sufficit, hoc autem adhibita scientia efficit. In vitando autem peccato et recte agendo vide quid tibi eventurum sit : ita *vitam transiges jucundissimam*. Quæ vero est hæc, nisi ea sola, quæ ex virtute voluptatem adepta est, cui simul bonitas et voluptas comites additæ sunt? Si igitur honestum appetimus, et appetimus simul jucundum, ex conjunctis quid orietur? Hoc, quod carmen dicit, *vita jucundissima*. Is enim qui jucundum cum turpi eligit, quamvis paulisper jucundo alliciatur, ob turpitudinem certe ad gravem pœnitentiam convertitur. Qui vero honestum cum labore pluris æstimat, etsi primum rei insolentia gravatur, honesti tamen conjunctio laborem ei allevat puramque postremo cum virtute voluptatem percipit. Etenim si cum voluptate turpe quid fiat, transit voluptas, manet vero turpitudo; sin autem magno labore aliquid honesti fiat, transit labor, honestum vero permanet. Unde molestissimam necesse est esse vitiosissimam vitam, jucundissimam autem

τὴν τῆς ψυχῆς τελείωσιν τὴν ἀναφορὰν ἔχει, ὅρα ἑξῆς τί ἐπάγει·

XVI. 32—34.

Οὐδ' ὑγιείης τῆς περὶ σῶμ' ἀμέλειαν ἔχειν χρή·
ἀλλὰ ποτοῦ τε μέτρον καὶ σίτου γυμνασίων τε
ποιεῖσθαι· μέτρον δὲ λέγω τόδ', ὃ μή σ' ἀνιήσει.

Τὸ θνητὸν σῶμα, πρὸς τὴν ἐπὶ γῆς διαγωγὴν ὄργανον ἡμῖν δοθέν, οὔτε πιαίνειν προσήκει ταῖς ἀμέτροις σωμασκίαις, οὔτε κατατρύχειν ἐνδείας ὑπερβολαῖς. Ἐμπόδιον γὰρ ἐπίσης ἑκάτερον, καὶ ἀναιρετικὸν τῆς χρείας αὐτοῦ προσγέγονε. Διὸ μετρίως θεραπεύειν αὐτό, καὶ μὴ περιορᾶν ἐξυβρίζον, ἢ ὑπὸ νοσημάτων ἐνοχλούμενον, ὁ λόγος παραινεῖ· ὅπως ἂν ἐν τῷ κατὰ φύσιν σωζόμενον ἀπαραποδίστως τῇ ἡγουμένῃ ψυχῇ τὰς ἐνεργείας αὐτοῦ παρέχηται, ταύτῃ δυνάμενον ἄγεσθαι, ᾗ ἂν ἐκείνη ἄγῃ. Τὸ γὰρ χρώμενον ἡ ψυχή, τὸ δὲ ᾧ χρῆται, τὸ σῶμα, οὗ τὴν ἐπιμέλειαν ἔχειν δεῖ τὸν τεχνίτην. Οὐ γὰρ χρῆσθαι δεῖ μόνον ἐθέλειν αὐτῷ, ἀλλὰ καὶ ὅπως εὖ ἔχον ἡμῖν ὑπηρετῆται, τὴν ἐνδεχομένην ποιεῖσθαι πρόνοιαν. Ἐπεὶ δὲ ἡ φύσις αὐτοῦ ἐν γενέσει καὶ φθορᾷ συνεχεῖ καθέστηκε, καὶ πλήρωσις καὶ κένωσις αὐτὸ τιθηνοῦσι, νῦν μὲν τροφῆς τὸ ἀποῤῥέον ἀναπληρούσης, νῦν δὲ γυμνασίων τὸ πλεονάζον ὑπεξαιρούντων· μέτρον ἐπιστῆσαι δεῖ τῇ τῶν εἰσαγομένων πληρώσει, καὶ τῇ τῶν διαφορούντων κενώσει. Τὸ δὲ μέτρον ἐστὶν ὁ λόγος ὁ συναρμόζων τὴν τοῦ σώματος ἕξιν ταῖς διανοητικαῖς ἐνεργείαις τῆς ψυχῆς, καὶ διὰ τοῦτο τῆς τῷ φιλοσόφῳ πρεπούσης ὑγιείας ἐπιμελούμενος. Οὗτος οὖν γυμνάσια καὶ τροφὰς ἐκλέξεται, ἃ ἂν μὴ πιαίνῃ πρὸς ὑπερβολὴν τὸ σῶμα, μηδ' ὑπέρτερον αὐτὸ τῶν νοερῶν κινήσεων ἀπεργάζηται. Οὐ γὰρ σώματος ἁπλῶς ἐπιμελεῖται, ἀλλὰ σώματος διανοίᾳ ὑπηρετουμένου. Ὅθεν τὴν ἀθλητικὴν ἀγωγὴν παραιτήσεται, ὡς ἄνευ ψυχῆς σῶμα θεραπεύουσαν· καὶ πᾶσαν τὴν λεγομένην σωμασκίαν φεύξεται, ὡς ἐπανισταμένην τῷ νοερῷ φωτὶ τῆς ψυχῆς. Ὅση δὲ τῇ περὶ τὰ μαθήματα θεωρίᾳ καὶ τῇ περὶ τὰς καλὰς πράξεις αὐτουργίᾳ ὑπηρετεῖσθαι δύναται τῇ τοῦ σώματος εὐεξίᾳ, ταύτην περιποιήσει ἑαυτῷ ὁ τὸν τοῦ φρονεῖν βίον ἑλόμενος. Πρὸς τοῦτον γὰρ εἴρηται τό, μέτρον δὲ λέγω τόδ' ὃ μή σ' ἀνιήσει. Σέ, φησί, τὸν ὄντα λογικὴν ψυχήν, μὴ βλαπτέτω τὸ μέτρον τῆς τοῦ σώματος ἐπιμελείας· σέ, τὸν τῶν προτέρων παραγγελμάτων φύλακα, τοιαῦτα σιτία,

---

honestissime actam. Atque hæc quidem hactenus. Quum vero corporis quoque cura ad animi perfectionem referatur, vide deinceps quid adjungat.

XVI. 32-34.

Neque cura valetudinis est negligenda;
sed modus in potu, cibo et exercitiis
servandus: modum autem dico hunc, qui tibi dolorem non pariet.

Mortale corpus, quod nobis instrumenti loco ad vitam in terris agendam datum est, nec immodica curatione saginare, nec nimia cibi inopia macerare oportet. Officit enim ex æquo utrumque et usum ejus adimit. Carmen igitur hortatur, ut moderate corpus curemus, neque id aut luxurians aut morbis laborans negligamus, ut naturæ convenienter conservatum operam suam prompte navet animo principatum tenenti atque illuc sequi queat quo ille duxerit. Illud enim quod utitur animus est, corpus autem id quo utitur, cujus curam habere debet artifex. Neque enim eo tantum uti velle debemus, sed etiam, quoad possumus, providere, ut recte se habens nobis inserviat. Quoniam vero natura ejus in perpetua generatione et corruptione consistit, ipsumque expletio et exinanitio nutricantur, alimento nunc id supplente quod effluxit, nunc vero exercitatione id quod abundat subducente, modus expletioni quæ fit cibo potuque ingesto et exinanitioni rerum digerentium ac discutientium auxilio effectæ statuendus est. Hic vero modus est ratio illa quæ corporis habitum animi agitationi in commentatione positæ accommodat, ideoque valetudini ejus eatenus prospicit, quatenus philosopho conveniat. Hæc igitur ratio exercitia illa et alimenta eliget, quæ non immodice saginent corpus neque id mentis motibus superius efficiant. Non enim corporis simpliciter curam gerit, sed corporis menti ministrantis. Quamobrem athleticum victum aversabitur, ut qui corpus curet neglecto animo, ac totam illam curationem quæ σωμασκία dicitur vitabit, quippe quæ mentis lumini obsistat. Quicunque vero victus bonum corporis habitum efficiendo artium studiis et honestarum actionum exercitationi servire possit, eum ille adhibebit, qui prudenter vitam suam instituere vult. Illi enim hoc dictum est: *modum autem dico hunc qui tibi dolorem non pariet.* Te, inquit, qui animus rationalis es, ne damno afficiat *curandi corporis modus;* te, qui priora observabis præcepta, cibos ejusmodi et potus atque exercitia deligere convenit, quæ corpus ad virtutum exercitationem promtum reddant quæque id quod est rationis expers ad excutiendas moderantis animi habenas non excitent. Summa autem intentione ac diligentia curandi corporis modum adhibere te oportet, quia et incompositorum ejus motuum culpam sustinebis. Ingravescit enim vitii particeps equus, non simpliciter, sed quum ab aurigis non recte educatus est. In *modo* autem

καὶ ποτά, καὶ γυμνάσια, ἐκλέγεσθαι χρή, ἃ τὸ σῶμα πειθήνιον πρὸς τὴν τῶν ἀρετῶν χρῆσιν ἀπεργάζεται, ἃ μὴ ἐκφέρει τὸ ἄλογον πρὸς ἀφηνίασιν τοῦ ἡγεμονοῦντος λόγου. Μετὰ πλείστης δὲ προσοχῆς ποιεῖσθαί σε δεῖ τὴν παραμέτρησιν τῆς ἐπιμελείας τοῦ σώματος, ὡς καὶ τῶν τούτου παραλόγων κινημάτων τὴν αἰτίαν ὑφέξοντα. Βρίθει γὰρ ὁ τῆς κακίας μετέχων ἵππος, οὐχ ἁπλῶς, ἀλλ' ὅτε μὴ καλῶς εἴη τεθραμμένος ὑπὸ τῶν ἡνιόχων. Ἐν δὲ τῷ μέτρῳ, τῷ περὶ τὸ σῶμα, τὸ ποτὸν τοῦ σιτίου προέταξεν, ὅτι μᾶλλόν ἐστι δυσφύλακτον, καὶ εὐόλισθον εἰς κατάποσιν, καὶ παρακινητικὸν τῆς τοῦ σώματος εὐεξίας. Λάθοι γὰρ ἄν τις πολλαπλάσια τοῦ μέτρου πιὼν μᾶλλον ἢ φαγών. Τὰ δὲ γυμνάσια τρίτα τέτακται, ὡς ἐπανορθούμενα τὴν ἀπὸ τῆς τροφῆς πλήρωσιν, καὶ πάλιν πρὸς τὸ ὑγιεινῶς τρέφεσθαι παρασκευάζοντα. Κύκλῳ γὰρ οἷον ἀνταποδίδοται ταῦτα ἀλλήλοις, τροφή, καὶ γυμνάσιον· καὶ γυμνάσιον, καὶ τροφή. Χορηγία γὰρ τοῦ μὲν δύνασθαι γυμνάζεσθαι τὸ εὖ τεθράφθαι, τοῦ δὲ εὐεκτικῶς τρέφεσθαι, τὸ γεγυμνάσθαι συμμέτρως. Μέτρον δὲ τούτων ἄλλο ἄλλῳ, πρὸς τὸ οἰκεῖον ἐπιτήδευμα τῆς τοῦ σώματος ἐπιμελείας ἑκάστῳ τεινούσης. Πᾶς γὰρ τῆς ἑαυτοῦ προαιρέσεως ὄργανον αὐτὸ ποιεῖσθαι σπουδάζει· ὁ μὲν παλαιστρικὸς τῶν περὶ πάλην κινημάτων· ὁ δὲ γεωργικὸς τῶν περὶ γεωργίαν πόνων· καὶ ἄλλος πρὸς ἄλλο ἕλκει καὶ μεθαρμόζεται τὴν τοῦ σώματος ὑπουργίαν. Τί οὖν ὁ φιλόσοφος; πρὸς τί βλέπων ἐθελήσει τὸ σῶμα παιδαγωγεῖν; καὶ τίνος ὄργανον αὐτὸ σπουδάσει ποιήσασθαι, ἢ δῆλον ὅτι φιλοσοφίας καὶ τῶν ταύτης ἔργων; Ὡς οὖν οἷόν τε φρονήσεως ὄργανον γενέσθαι τὸ σῶμα, οὕτως αὐτὸ διὰ πάντων θρέψει τε καὶ παιδεύσει, ψυχῆς μὲν προηγουμένως ἐπιμελούμενος, διὰ ταύτην δὲ καὶ τοῦ σώματος. Οὔτε γὰρ προτιμήσει αὐτὸ τῆς χρωμένης, οὔτε παντελῶς ἀμελήσει αὐτοῦ πάλιν διὰ τὴν χρωμένην· ἀλλ' ἐν τάξει τῇ πρεπούσῃ ὡς ὀργάνου ποιήσεται τὴν ἐπιμέλειαν, πρὸς τὴν τοῦ χρωμένου ἀρετὴν καὶ τὴν τοῦ σώματος ὑγίειαν ἀναφέρων. Διὸ οὐ πανταχόθεν αὐτὸ θρέψει, ἀλλ' ἀφ' ὧν δεῖ μόνων. Ἔστι γὰρ ἃ μὴ δεῖ προσφέρεσθαι, ὡς βαρύνοντα τὸ σῶμα, καὶ καθέλκοντα τὸ συμφυὲς πνεῦμα τῆς ψυχῆς πρὸς ὑλικωτέρας ἐμπαθείας· περὶ ὧν ὕστερον ὁ λόγος φησίν·

> Ἀλλ' εἴργου βρωτῶν, ὧν εἴπομεν, ἔν τε καθαρμοῖς,
> ἔν τε λύσει ψυχῆς κρίνων. —

Τὰ τοιαῦτα οὖν παντελῶς παραιτήσεται· ὧν δὲ ἐξὸν προσφέρεσθαι τὴν ποσότητα καὶ τὸν καιρὸν μετρήσει καί, ὥς φησιν Ἱπποκράτης, ὥρην, καὶ χώρην, καὶ ἡλικίην περιεργάσεται, καὶ πάντα ὅσα τοῦ τοιούτου τύπου· οὐκ ἀνεξετάστως ἐπιτρέπων ἐμπίπλασθαι ὧν ἐξὸν μεταλαμβάνειν, οὐδ' ἀκρίτως νέον καὶ πρεσβύτην ὁμοίως διαιτᾶσθαι, ἢ ὑγιεινὸν καὶ νοσώδη, ἢ ἀρχόμενον φιλοσοφίας καὶ εἰς ἄκρον αὐτῆς ἥκοντα. Ταῦτα δὲ πάντα συνείληφε τὸ Πυθαγορικὸν μέτρον, τῇ προσθήκῃ τοῦ, ὃ μή σ' ἀνιήσει. Πάντα γὰρ εἰς τὴν φιλόσοφον εὐζωΐαν συντείνοντα πρὸς τὴν τοῦ σώματος ἐπιμέλειαν ἐπέτρεψε τῷ βραχεῖ τούτῳ ῥήματι· καὶ τοῖς προειρημένοις περὶ ὑγιείας ψυχῆς ἐπήγαγεν, οὐδ' ὑγιείης τῆς περὶ σῶμ' ἀμέ-

circa *corpus* adhibendo *potum cibo* propterea præposuit, quod difficilius cavetur et facile absorbetur et bonum corporis habitum pervertit. Multo enim sæpius quis imprudens modum excedat bibendo, quam comedendo. Tertio autem loco posita sunt exercitia, utpote quæ expletionem alimentis factam corrigant, et rursus ad salubrem victum præparent. Etenim in orbem quodammodo euntia reciprocantur inter se *alimentum* et *exercitatio* atque *exercitatio* et *alimentum*. Aptus enim victus facultatis virium exercendarum largitor est, victûs vero cum firmo corporis habitu conjuncti moderata exercitatio conciliatrix est. Horum vero modus alii alius est, quum ad proprium cujusque institutum corporis cura spectet. Nam sui quisque studii instrumentum corpus facere conatur, palæstricus luctæ motuum, agricola agriculturæ laborum; alius autem ad aliud trahit et accommodat corporis ministerium. Quid igitur philosophus? quid ille spectans corpus excolere volet? et cujus rei instrumentum illud facere conabitur, nisi philosophiæ atque ejus operum? Ut igitur prudentiæ instrumentum corpus potest fieri, ita ipsum omnino alet atque erudiet, animum quidem inprimis curans, corpus autem ejus gratia. Neque enim illud utenti anteponet, neque contra prorsus negliget, utentis gratia, sed ejus tanquam organi, eo quo par est ordine curam geret, eam tum ad utentis virtutem, tum ad ipsius corporis valetudinem referens. Itaque non quibuslibet alimentis corpus nutriet, sed quibus solis oportet. Sunt enim quibus vesci non decet, ut quæ corpus prægravent et spiritum animo adhærentem ad crassiores affectus detrahant; de quibus postea carmen dicit :

> Abstine vero cibis iis, quos diximus, cum in lustrationibus,
> tum in purgatione animi judicium adhibens.

Talia igitur penitus rejiciet : eorum autem quibus vesci licet quantitatem et tempus *metietur*, et diligenter considerabit, ut ait Hippocrates, anni tempus et regionem et ætatem cæteraque ejus generis omnia ; neque sine examine corpus iis impleri sinens, quibus vesci fas est, nec sine discrimine eundem victum juveni et seni, aut sano et ægroto, aut tironi in philosophia et viro ad summum ejus

λειαν ἔχειν χρή· ὡς ἐκεῖ μὲν τὴν τοῦ χρωμένου ἀρετὴν παραδίδοσθαι, ἐνταῦθα δὲ τὴν τοῦ ὀργάνου σωτηρίαν. Σύναψον οὖν ταῦτα ἐκείνοις, καὶ εὑρήσεις, ὅστις εἶ ᾧ παραγγέλλεται, τοιοῦτο δεῖν ποιεῖσθαι τὸ μέτρον τῆς περὶ τὸ σῶμα τάξεως, ὃ μή σ' ἀνιήσει, ὃ μὴ ἐμποδιεῖ τὴν φιλόσοφον πρόθεσιν, ἀλλ' ἐπωφελήσει τῇ συνεργίᾳ τὴν πρὸς ἀρετὴν ὁδεύουσαν ψυχήν. Ποτοῦ δὲ καὶ σίτου μέτρον εἶπε, τὰς ὑπερβολὰς καὶ τὰς ἐλλείψεις ἀπαγορεύων, ὁ λόγος, τὸ δὲ μέσον καὶ σύμμετρον ἀσπαζόμενος· ὅθεν καὶ τὸ γαστρὸς κρατεῖν καὶ ὕπνου λαγνείης τε καὶ θυμοῦ εὐκόλως παραγίνεται. Τὸ γὰρ νῦν λεγόμενον μέτρον τὴν ἐν ἐκείνοις ἀμετρίαν κολάζει, καὶ ὑπεξαιρεῖται τὸ λυποῦν καὶ καθέλκον τὴν πρὸς νοῦν καὶ θεὸν ἐπειγομένην ψυχήν. Δεῖ γὰρ αὐτὴν ἀνιοῦσαν πρὸς νοῦν γαλήνην ἔχειν ἀπὸ τῶν παθητικῶν κινημάτων, καὶ τετάχθαι αὐτῇ τὰ κάτω καλῶς πρὸς τὸ ἀθόρυβον τῆς τῶν ἄνωθεν θεωρίας. Τοῦτο ἦν τὸ μέτρον, ὃ μή σ' ἀνιήσει· τοῦτο τὸ κρατοῦν γαστρὸς ἅμα, καὶ τὴν τοῦ ὀργάνου σωτηρίαν ποιούμενον, τὸ ἀρετὴν ψυχῆς ἐπιδεικνύμενον, καὶ τὴν τοῦ σώματος ἕξιν μὴ καταλῦον. Μέρος γὰρ ἀρετῆς ἐστι καὶ τὸ εἰδέναι σώζειν τὸ ὄργανον, καὶ συναρμόζειν αὐτὸ πρὸς τὴν φιλόσοφον χρῆσιν. Ἐπεὶ δὲ οὐ μόνον ἐν τροφαῖς καὶ γυμνασίοις ἐστὶν ἡ τοῦ σώματος θεραπεία, ἀλλὰ καὶ ἄλλων πολλῶν προσδεῖται, οἷον ἱματίων, ὑποδημάτων, σκευῶν παντοδαπῶν, καὶ τῆς ταῦτα ὑποδεχομένης οἰκίας, δεῖ δὲ καὶ ἐν τούτοις τοῦ μετρίου, ὃ τρυφήν τε καὶ ἀκαθαρσίαν ἐξορίζει τῆς ὅλης ἡμῶν διαίτης· εἰκότως ἐπήγαγεν·

XVII. 35—38.

Εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον, ἄθρυπτον·
καὶ πεφύλαξό γε ταῦτα ποιεῖν ὁπόσα φθόνον ἴσχει.
Μὴ δαπανᾶν παρὰ καιρόν, ὁποῖα καλῶν ἀδαήμων·
μηδ' ἀνελεύθερος ἴσθι· μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.

Οὐ μόνον, φησίν, ἐν σιτίοις καὶ ποτοῖς τὸ μέτρον καλόν, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν, ὡς τῶν δι' ὑπερβολὴν καὶ ἔλλειψιν ἁμαρτημάτων καθαρεῦον. Γένοιτο γὰρ ἂν ἐν πᾶσιν οἷς εἴπομεν, ἀμετρία διπλῆ· ἡ μὲν πρὸς τὸ πολυτελὲς ἐξάγουσα, ἡ δὲ πρὸς τὸ ῥυπαρὸν συνωθοῦσα. Ἑκάτερον δὲ μεμπτὸν καὶ οὐ φιλόσοφον ἦθος, οὐδὲ στοχαζόμενον τῆς σωματικῆς εὐμετρίας. Ἐπιτεινομένη γὰρ καθαρειότης θρύψις καὶ βλακεία εὑρίσκεται· ἐπιτεινομένη δὲ λιτότης ἀκαθαρσία καὶ ῥύπος γίνεται. Ἵν' οὖν μήτε ἐκεῖνο πάθωμεν διὰ καθαρειότητα, μήτε τοῦτο διὰ λιτότητα, μέσοι βαίνωμεν, τὰς παρακειμένας ἑκατέρῳ κακίας ἐκκλίνοντες, καὶ τὸ ἕτερον τοῦ ἑτέρου σωφρονισμὸν ποιούμενοι· λιτὴν οὕτως ἐπιτηδεύοντες δίαιταν, ὡς μὴ ἀκάθαρτον, καὶ καθάρειον οὕτως, ὡς μὴ τρυφηλήν. Διὸ τὸ μέτρον προτιμήσωμεν ἐν πάσῃ τῇ

---

fastigium evecto permittens. Hæc vero omnia *modus* Pythagoricus complexus est additis verbis illis : *qui tibi dolorem non pariet*. Omnia enim ad vitæ felicitatem e philosophia ortam spectantia propter corporis curam permisit brevi hoc dicto usus, atque iis, quæ de animi sanitate ante dicta erant, adjecit, *neque cura valetudinis corporis est negligenda*, ita ut ibi utentis virtutem tradat, hic autem instrumenti salutem. Hæc igitur cum illis conjunge, et invenies, quisquis es, cui hoc præcipitur, *modum* istum regendi *corporis* adhibendum esse, *qui tibi dolorem non afferet*, qui philosophicum institutum non impediet, sed animum ad virtutem contendentem opera sua adjuvabit. *Potus* autem et *cibi modum* dixit carmen, nimiam eorum copiam et inopiam interdicens, id vero quod medium est ac temperatum comprobans, unde et ventri et somno et veneri et iræ facile possumus moderari. Nam qui hoc loco dicitur modus id quod immoderatum in illis est reprimit tollitque molestiam et quidquid animum ad mentem ac Deum festinantem deprimit. Oportet enim illum, quum ad mentem ascendit, tranquillum esse liberumque ab affectuum motibus, atque inferiora habere rite composita ad imperturbatam superiorum contemplationem. Hic est *modus* ille, *qui tibi dolorem non pariet;* hic est ille qui et ventri simul imperat et instrumentum incolume præstat, qui animi virtutem ostendit et corporis habitum non dissolvit. Pars enim virtutis est etiam servandi instrumenti scientia, atque ejus ad philosophicum usum accommodatio. At quum non in *alimentis* tantum atque *exercitationibus* versetur *corporis* cultus, sed multis etiam aliis rebus indigeat, velut vestimentis, calceis, varia supellectile atque domo hæc omnia continente, opus autem sit in his quoque mediocritate, quæ et luxum et immunditiam a tota victus nostri ratione amoveat, non immerito subjecit.

XVII. 35-38.

Mundo vero victu uti assuesce, non delicato.
Et cave facias quæcunque invidiam habent.
Ne fac sumtus importunos, ut qui honesti ignarus est,
neve sis illiberalis : modus enim in omnibus optima res.

Non solum, inquit, in cibo et potu bonus est modus, sed in cæteris quoque omnibus, ut qui ab iis peccatis purus sit, quæ propter nimiam copiam vel inopiam admittuntur. Etenim in *omnibus* quæ diximus duplex modi excedendi ratio est, altera ad luxum perducens, altera ad sordes compellens. Utrumque vero vituperandum est atque a philosophi moribus alienum, neque ad rectam corporis moderationem spectat. Nam in luxum atque mol-

περὶ τὸ σῶμα κατασκευῇ, ἱμάτιον ἐκλεγόμενοι καθάρειον, ἄθρυπτον· οἶκον ὁμοίως καθάρειον, ἄθρυπτον· καὶ πᾶν ὁτιοῦν τῶν περὶ τὸ σῶμα καθάρειον, ἄθρυπτον ἔχειν ἐθέλοντες. Πρέπει γάρ, λογικῆς ψυχῆς τοῦ σώματος ἡγουμένης, καὶ τὰ περὶ τὸ σῶμα πάντα συντετάχθαι πρὸς τὸν ἡγούμενον λόγον, ὅστις οὔτε τρυφῆς, οὔτε ἀκαθαρσίας ἀνέξεται, τῇ κατ' αὐτὸν ἀξίᾳ πάντα λογιζόμενος δεῖν εἶναι σύμμετρα. Ἵν' οὖν μὴ περιέλκοιτο πρὸς κτῆσιν τῶν πολυτελῶν, τὸ ἄθρυπτον ἐπιτηδεύει· ἵνα δὲ μὴ ῥύπῳ καὶ ὑλικῇ ἀμορφίᾳ συνοικοίη, τὸ καθάρειον ἐκλέγεται. Οἷον, ἱμάτιον οὐ λεπτὸν μέν, καθάρειον δέ· σκεύη οὐ χρυσᾶ, οὐδὲ ἀργυρᾶ, ἀλλ' ἐκ τῶν εὐποριστων ὑλῶν καθάρεια· οἰκίαν οὐ πολυτελέσι λίθοις κατηνθισμένην, οὐδὲ περιττῶς εἰς κάλλος καὶ μέγεθος ἐξειργασμένην, ἀλλὰ σύμμετρον τῇ τοῦ σώματος χρείᾳ, καθάρειον δέ· καὶ ὅλως παρὰ πᾶσαν τὴν δίαιταν τὸ μὲν τρυφηλόν, ὡς ἔξω τῆς χρείας, ἀρνεῖται· τὸ δὲ καθάρειον, ὡς μάλιστα τὴν χρείαν ἀποπληροῦν, ἐγκρίνει. Καὶ γὰρ ἱμάτιον, καὶ οἶκος, καὶ σκεῦος ἅπαν, τότε τὴν αὐτοῦ χρείαν καλῶς παρέχεται, ὅταν σύμμετρον ᾖ καὶ καθάρειον. Τί γὰρ μεγάλου δεῖ πίνακος εἰς μικρὸν ὄψον; τί δὲ ῥυπαροῦ, μέλλοντος ἀφανιεῖν τὸ ὄψον; Οἴκου δὲ μεγάλου τί δεῖ τοῖς μέλλουσιν ἐν μιᾷ γωνίᾳ αὐτοῦ κεῖσθαι; τί δὲ ἀκαθάρτου, τὴν τῆς οἰκήσεως χρείαν οὐ παρέχοντος; Τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων εὑρήσεις ἑκατέρωθεν ἄχρηστον ὄν, τὸ μὴ μετὰ τοῦ ἀτρύφου καθάρειον· ἅμα γὰρ ὑπερέβης τὸ μέτρον τῆς χρείας, καὶ εἰς τὸ ἄπειρον προῆλθες τῆς ἐπιθυμίας. Διὸ πάντα τὰ περὶ τὸν βίον μετρείσθω σοι ταῖς μεσότησι ταῖς διαφευγούσαις τὰς παρακειμένας κακίας. Εἰθίζου δὲ δίαιταν ἔχειν, φησί, καθάρειον· εἶτα ὁρῶν τὴν εἰς τρυφὴν ἔκπτωσιν, προσέθηκεν ἄθρυπτον· καὶ εἰ ἄθρυπτον προειρήκει, εἶδεν ἂν καὶ τὴν εἰς ῥύπον ἀπόπτωσιν, καὶ ἐπήγαγε καθάρειον· ἀεὶ τοῦ πτώματος ἀνέχων τῇ τοῦ ἑτέρου πρὸς τὸ ἕτερον ἀντιθέσει, ἵν' ἐξ ἀμφοτέρων ἀνδρώδης ἡ δίαιτα ᾖ, καὶ λογικῷ ζώῳ πρέπουσα. Οὕτω δὲ τάξαντες τὸν βίον, καὶ ἄλλο τι ἑπόμενον μέγα ἀγαθὸν ἕξομεν. Τὸν γὰρ ἐπιφυόμενον τοῖς ὑπερβάλλουσι φθόνον διαφύγοιμεν ἄν, τῷ μηδὲν ἄγαν οὐ κινοῦντες καθ' ἡμῶν αὐτῶν τοὺς συμπολιτευομένους, ὥστε νῦν μὲν νεμεσᾶν, ὡς τρυφῶσιν ἡμῖν, νῦν δὲ μέμφεσθαι, ὡς ῥυπῶσι· καὶ ὁτὲ μὲν ὡς ἀσώτοις ἐγκαλεῖν, ὁτὲ δὲ ὡς μικρολόγοις. Πᾶσι γὰρ τοῖς τοιούτοις ἕπεται παρὰ τῶν συζώντων ἡ ἐπὶ τῇ ἀμετρίᾳ μέμψις. Τοῦτο γὰρ νῦν ὁ φθόνος δηλοῖ, ἵν' ᾖ τὸ λεγόμενον, πεφύλαξο τοιαῦτα ποιεῖν, ὁπόσα φθόνον ἴσχει, ἤγουν μέμψιν εὔλογον ἔχει παρὰ τῶν πολλῶν. Μεμπτὰ δέ, κατὰ τὸν λόγον καὶ τοὺς πολλούς, ἐν μὲν τῇ διαίτῃ τρυφὴ καὶ ῥύπος, ἐν δὲ τῇ δαπάνῃ χρημάτων, ἀσωτία καὶ μικρολογία. Διὸ ἐλευθεριότης καὶ συμμετρία δεικνύτω διὰ τῶν ἐκτὸς πάντων τὴν ἐμ-

---

litiem abit nimia munditia, in sordes autem atque immunditiam nimia tenuitas. Ut igitur neque illud nobis accidat propter munditiam, neque hoc propter tenuitatem, medii incedamus, adjuncta utrique vitia declinantes et alterum altero temperantes : ita tenui utentes victu, ut sordibus careat, atque ita mundo, ut luxu vacet. Modum igitur in omni circa corpus apparatu præoptemus, vestitum eligentes *mundum, non delicatum,* domum similiter *mundam,* non *delicatam*, quidquid denique ad corpus pertinet, *mundum, non delicatum* comparare studentes. Quum enim rationalis animus corpori præsit, ea etiam omnia quæ ad corpus pertinent, ad ducis rationis exemplum componi oportet, quæ neque luxum neque sordes feret, omnia judicans suæ dignitati convenientia esse debere. Illa igitur, ne in sumtuosis comparandis distrahatur, id quod *deliciis caret* studiose sequitur, ne vero in sordibus atque in crassa rerum deformitate vivat, munditiam eligit : verbi gratia, vestem non byssinam, *mundam* vero ; vasa non aurea, non argentea, sed ex parabili materia *munda*, domum non lapidibus pretiosis decoratam, neque egregie pulchritudinis et amplitudinis gratia structam, sed corporis usui aptam et mundam : atque omnino in toto victu *delicatum* illud, ut inutile, respuit, *mundum* vero, quippe quod usui abunde satisfaciat, deligit. Etenim vestimenta et domus et supellex omnis tum magnum sui usum præbent, quum convenientia sunt et munda. Quid enim disco opus est magno, ubi opsonii parum? quidve immundo, qui opsonium corrumpat? Quid autem domo magna illis opus est, qui in uno ejus angulo jacebunt? quidve sordida, quæ habitationis usum non præbeat? Idem in cæteris quoque utrimque inutile reperies, defectionem dico luxu vacantis munditiæ ; simulatque enim usus modum excessisti, ad cupiditates infinitas progressus es. Quocirca vitæ res omnes metiaris ea mediocritate, quæ vitia declinet vicina. *Mundo* vero, inquit, *victu uti assuesce;* deinde prolapsionem in *luxum* animadvertens addit *non delicato* : quodsi *non delicato* prius dixisset, prolapsionem inde etiam in *sordes* videns addidisset *mundo*, a lapsu semper arcens alterum alteri opponendo, ut ex ambobus victus virilis naturæque intelligenti conveniens constet. Ita vero vitam nostram instituentes et aliud quoddam ingens bonum nanciscemur. Invidiam enim, quæ nimiis rebus adhæreseit, vitabimus, providendo *ne quid nimis* sit civium nostrorum in nos odia non ita excitantes, ut nobis modo irascantur, tanquam *luxu diffluentibus*,

φρονα τῆς ψυχῆς ἕξιν καὶ τὸ μέτρον τὸ ἐπὶ πᾶσιν ἄριστον. Δεῖ γάρ, ὅσον ἐφ' ἡμῖν, τῶν ἐπιφθόνων ἀπέχεσθαι τὸν ἡσυχίας ἐρῶντα, καὶ μὴ ἐρεθίζειν, ὥσπερ τι θηρίον, τὸν φθόνον, ἵν' ἀθορύβως ἐξῇ προκόπτειν ἐν τοῖς καλοῖς. Ἀνεπίφθονον δὲ ζωὴν ἐπιτηδεύσομεν, λιτὴν καὶ ἄῤῥυπον δίαιταν ἔχοντες, καὶ τὸν τῆς ἀπειροκαλίας τῦφον ἐκκλίνοντες, ἐξ οὗ ἀποβλαστάνει δύο κακά, δαπάνη τε, καὶ φειδὼ χρημάτων ἄκαιρος· ὧν τὸ μὲν εἰς ὑπερηφανίαν διαβάλλεται, τὸ δὲ εἰς μικροπρέπειαν. Ἑκάτερον δὲ τούτων ἡ ἐλευθεριότης ἐκφεύγει, ἀρετὴ περὶ χρημάτων δόσιν καὶ λῆψιν ὑπάρχουσα, καὶ τὸ δέον ἐν προσόδοις καὶ δαπάναις εὑρίσκουσα, καὶ πρὸς τὸν ὀρθὸν λόγον πάντα τὰ ἐκτὸς συντάττουσα. Τοσαῦτα καὶ περὶ τῆς τοῦ σώματος καὶ περὶ τῆς τῶν ἐκτὸς ἀρίστης χρήσεως πεφιλοσόφηται ἐν τοῖς Ἔπεσιν, ὅπως ἂν καὶ διὰ τούτων τὸ τῆς ἀρετῆς διαφαίνηται κάλλος· κεφάλαιον δὲ τῶν πάντων ποιεῖται τὸ ἑξῆς παράγγελμα.

XVIII. 39.

> Πρῆσσε δὲ ταῦθ' ἅ σε μὴ βλάψει, λόγισαι δὲ πρὸ ἔργου.

Πολλάκις ἐχρήσατο τῷ τοιούτῳ λόγῳ, ὁτὲ μὲν εἰπών,

> Ἀλλὰ τάδ' ἐκτελέειν, ἅ σε μὴ μετέπειτ' ἀνιήσει·

ὁτὲ δέ,

> — Μέτρον δὲ λέγω τόδ' ὃ μή σ' ἀνιήσει·

καί,

> Μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ
> Πρῆξαι, μηδ' εἰπεῖν, ὅ, τι τοι μὴ βέλτερόν ἐστι.

Τούτων οὖν ἁπάντων σύνοψιν ἐνταῦθα καὶ μίαν συγκεφαλαίωσιν ὁ λόγος ποιεῖται, ἀπαγορεύων μὲν τῶν βλαβερῶν τὴν παραδοχήν, τῶν δὲ ἐπωφελῶν εἰσηγούμενος τὴν ἐνέργειαν· γίνεσθαι δὲ καλῶς τὴν τούτων διάκρισιν ἐν τῷ λογίζεσθαι πρὸ ἔργου τί πρακτέον καὶ τί μὴ πρακτέον. Ὁ γὰρ τῆς εὐβουλίας καιρὸς ἐν τῷ ἀπρολήπτῳ τῶν πράξεων παραγίνεται. Κἀνταῦθα δὲ πάλιν τοῦ ἅ σε μὴ βλάψει οὕτως ἀκουσόμεθα, ὡς καὶ τοῦ, ἅ σε μὴ μετέπειτ' ἀνιήσει· τὸ σὲ κατὰ τοῦ ὄντως ἀνθρώπου καὶ τῆς λογικῆς οὐσίας τάττοντες, καὶ κατὰ τοῦ φιλοσοφεῖν προῃρημένου, καὶ τὴν πρὸς θεὸν ὁμοίωσιν κτήσασθαι σπεύδοντος. Τοῦτον δὲ βλάπτει πᾶν τὸ παρὰ τὸν ὀρθὸν λόγον, πᾶν τὸ παρὰ τὸν θεῖον νόμον, πᾶν τὸ τὴν πρὸς θεὸν ὁμοίωσιν ἐμποδίζον. Πέφυκε δὲ τὰ τοιαῦτα ἡμῖν ἐπιτίθεσθαι ἐν τῇ κοινωνίᾳ τῶν συζώντων, καὶ τῇ διοικήσει τοῦ τε συνεζευγμένου σώματος, καὶ τῶν πρὸς βοήθειαν ἐξευρημένων τὴν τούτου· ἃ δὴ χρήματα καλεῖν ἔθος, ὡς πρὸς τὴν χρείαν ἐκκείμενα. Διευλαβεῖσθαι οὖν χρῆναί φησιν ὁ λόγος τὸν ἐρωτικὸν τῶν θείων ἀγαθῶν, μήποτε ἀναπεισθῇ πρᾶξαί τι ὁ μὴ βέλτερον αὐτῷ, καὶ ὅπως μὴ χαρίσηται τῷ σώματι, ἐξ ὧν αὐτὸς ἀνιάσεται, μηδὲ

---

modo reprehendant tanquam sordidos, atque interdum increpent tanquam prodigos, interdum autem tanquam præparcos. Nam istiusmodi omnes, qui modum non servant, ab iis quibuscum vivunt vituperantur. Hoc enim *invidiæ* nomen hic significat, quasi dicat *cave facias, quæcunque invidiam habent*, sive quæ juste a vulgo reprehendi possunt. Justa vero de causa et de vulgi sententia reprehensione digna sunt luxus et sordes in victu; in pecuniæ autem erogatione prodigentia et nimia parsimonia. Quocirca liberalitas et mediocritas in omnibus externis prudentem animi habitum ostendant et *modum* illum, qui *in omnibus optimus est*. Ab iis enim, quæ invidiam habent, ei abstinendum est, quantum fieri potest, qui tranquillitatem amat, neque invidia tanquam fera provocanda est, ut in iis quæ honesta sunt animo omni perturbatione libero proficere liceat. Vitam autem *sine invidia* degendam sequemur, si tenui et mundo victu utamur, et fastum illum vitemus, qui ex decori ignorantia oritur, unde duo mala nascuntur, pecuniarum profusio et parsimonia intempestiva, quarum illa ut superbia vituperatur, hæc autem ut pusilli animi tenacitas. At horum utrumque devitat liberalitas, quæ virtus in dandis accipiendisque pecuniis versatur ac decorum in quæstibus et sumptibus repertum observat simulque externa omnia ad rectam rationem componit. Atque hæc quidem etiam de corporis externarumque rerum usu optimo in carmine philosophiæ convenienter tradita sunt, ut virtutis pulchritudo in his quoque appareret: omnium vero summam sequentem præceptionem carmen esse vult.

XVIII. 39.

> Fac ea quæ tibi non noceant, et delibera priusquam facias.

Hujusmodi dicto sæpe usus est, uno loco dicens,

> At tu ea perage, quæ tibi postea non sint molesta:

alio autem,

> . . . . modum autem dico hunc, qui tibi dolorem non pariet;

et alibi,

> Nemo te aut verbis aut factis adducat, ut quidquam
> aut facias aut dicas, quod tibi non sit commodum.

Hæc igitur omnia in unum hic collecta ante oculos ponit carmen, vetans nos admittere noxia, suadensque ut utilibus operam demus, quæ quidem optime distinguantur, considerando ante

προσδέξηταί τι βλάπτον τὴν φιλόσοφον ὁρμήν, ἐφ' ᾧ μικρὸν ὕστερον μεταμελήσεται. Ταῦτα γὰρ πάντα τῷ προλογισμῷ διωθεῖσθαι ἡμᾶς προσήκει, ἵν' ὁ ἐπιλογισμὸς τῶν εἰργασμένων ἡμῖν ἡδίστην ἔχῃ τὴν ἀνάμνησιν, ἣν ἑξῆς ποιεῖσθαι παρακελεύεται.

XIX. 40—44.

Μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,
πρὶν τῶν ἡμερινῶν ἔργων λογίσασθαι ἕκαστον·
πῆ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;
ἀρξάμενος δ' ἀπὸ πρώτου ἐπέξιθι· καὶ μετέπειτα
δειλὰ μὲν ἐκπρήξας ἐπιπλήσσεο, χρηστὰ δέ, τέρπευ.

Ἐνταῦθα γενόμενος τοῦ λόγου, τῶν ὅλων παραγγελμάτων ἄθροισόν μοι τὴν γνώμην, ἵνα τὸ εἴσω τῆς ψυχῆς δικαστήριον πρὸς ταῦτα, ὡς πρὸς θείους νόμους, ἀποβλέπον, ποιῇ τῶν εὖ ἢ κακῶς πεπραγμένων τὴν ἐπίκρισιν. Πόθεν γὰρ ὁ ἐπιλογισμὸς ἕξει δειλὰ μὲν εἰργασμένους ἡμᾶς ἐπικόπτειν, χρηστὰ δὲ πράξαντας ἐπαινεῖν, εἰ μὴ ὁ προλογισμὸς νόμους τινὰς λάβοι, καθ' οὓς προσήκει τὴν ζωὴν συντάττειν, καὶ πρὸς τούτους τὸ τῆς συνειδήσεως ταμιεῖον, ὡς πρός τινα σκοπόν, ἀπευθύνοι τὸν ὅλον ἡμῶν βίον; Ὁσημέραι δὲ ποιεῖσθαι τὴν τοιαύτην κρίσιν εἰσηγεῖται, ἵνα τῷ συνεχεῖ τῆς μνήμης τὸ τῆς κρίσεως ἀπλανὲς διασώζηται· πρὸς ἑσπέραν δέ, καὶ εἰς ὕπνον τρεπομένων, ὅπως ἂν εἰς τὸ πέρας τῶν μεθημερινῶν πράξεων τὸ τῆς συνειδήσεως καθίζοιμεν δικαστήριον, ἐπικοίτιον ᾆσμα θεῷ τὴν τῶν διαθέσεων ἀνάκρισιν ποιούμενοι, πῆ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη; Οὕτω γὰρ παραμετρήσομεν τὴν ἑαυτῶν ζωὴν τοῖς παραδεδομένοις κανόσι, τῷ νομοθέτῃ νῷ τὸν κριτὴν λόγον ἐπισυνάπτοντες. Τί οὖν ὁ νομοθέτης λέγει; Τιμᾶν τοὺς φύσει κρείττονας, κατὰ τὴν οὐσιώδη αὐτῶν τάξιν. Γονέων καὶ συγγενῶν πλεῖστον ποιεῖσθαι λόγον. Τοὺς ἀγαθοὺς ἄνδρας ἀσπάζεσθαι καὶ φιλεῖν. Τῶν σωματικῶν δυνάμεων ὑπερέχειν. Ἑαυτὸν αἰδεῖσθαι πανταχοῦ. Δικαιοσύνης ἐπιμελεῖσθαι. Χρημάτων καὶ τῆς ἐφημέρου ζωῆς προεγνωκέναι τὸ εὔφθαρτον. Τὸν ἀπὸ τῆς θείας κρίσεως ἀπονεμηθέντα κλῆρον ἀσπάζεσθαι. Θεοπρεπεῖ δὲ χρῆσθαι φρονήματι, καὶ πρὸς τὸ βέλτιον μεθιστάναι τὴν γνώμην. Φιλολογίαν ἀσκεῖν τῶν ὄντως λόγων. Ἀνεξαπάτητον εἶναι, καὶ ἀδούλωτον πρὸς τὴν τῆς ἀρετῆς τήρησιν. Εὐβουλίᾳ πρὸ τῶν ἔργων χρῆσθαι, ἐξ ἧς τὸ ἀμεταμέλητον ἐν τοῖς ἔργοις παραγίνεται. Οἰήσεως καθαρεύειν. Τὸν ἐπιστημονικὸν μεταδιώκειν βίον. Τὸ σῶμα καὶ τὰ ἐκτὸς πρὸς τὴν τῆς ἀρετῆς ἐνέργειαν μεταῤῥυθμίζειν. Ταῦτα ὁ νομοθέτης νοῦς διαθεσμοθετεῖ ταῖς ψυχαῖς· ὁ δὲ ὑποδεξάμενος αὐτὰ λογισμὸς δικαστὴς ἄγρυπνος ἑαυτοῦ γίνεται, θαμὰ λέγων πρὸς ἑαυτὸν πῆ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη; καὶ ἐν τάξει τὴν μνήμην ἀναλαμβάνων ἀρετῆς εἵνεκα. Εἶτα εὑρὼν

---

opus, quid faciendum vel non faciendum sit. Est enim recti consilii tempus, rebus nondum factis. Hic vero rursus hoc etiam, *quæ tibi non noceant*, perinde atque illud, *quæ tibi postea non sint molesta*, intelligemus : referentes illud *tibi* ad id, quod vere homo est et ad naturam mentis compotem atque ad eum, qui philosophiæ se dedit, et Deo similis fieri contendit. Huic autem nocet quidquid a recta ratione abhorret, quidquid legi divinæ contrarium est, quidquid Dei similitudinem impedit. Talia vero nos adoriri solent in eorum conversatione qui nobiscum vivunt, atque in conjuncti corporis illorumque quæ in ejus gratiam inventa sunt administratione; quæ quidem χρήματα nuncupari solent, quod ad ejus χρείαν sive usum sint exposita. Dicit igitur carmen, illum qui divina bona appetit, cavere oportere, ne ad ullam unquam rem faciendam adducatur, quæ ipsi non sit commoda, neve corpori ea indulgeat, ex quibus ipse dolorem percipiet, neve quidquam admittat, quod philosophiæ studium impediat, cujus ipsum paulo post pœnitebit. Hæc enim nos omnia consideratione quadam, quæ actionem præcedat, repudiare convenit, ut subsequens eorum, quæ gessimus, consideratio jucundissimam præbeat recordationem, ad quam rem faciendam nos deinceps adhortatur.

XIX. 40-44.

Neve somnum molles in oculos prius admittas,
quam singula diurna opera recensueris :
Qua in re peccavi? quid feci? quid omisi quod fieri [debebat?
A primo incipiens singula percurras; et postea,
malis admissis, te ipsum coargue, bonis autem lætare.

Quum ad hos versus veneris, superiorum omnium præceptorum mentem collige, ut interius animi judicium hæc, tanquam divinas leges respiciens, eorum quæ bene vel male gesta sunt, censuram agat. Unde enim recordatio nos ob male commissa reprehendere aut ob recte facta collaudare poterit, nisi consideratio præcedens leges quasdam adhibeat, ad quas vitam componere oportet, et ad has conscientiæ nostræ copia, tanquam ad scopum aliquem, omnem nostram vitam dirigat? Quotidie autem judicium istiusmodi nos facere jubet, ut assidua recordatione judicium erroris expers conservetur, vespere vero, et quum somnum capturi sumus, ut ad diurnarum actionum extremum finem conscientiæ tribunal erigamus, hanc affectionum nostrarum censuram velut canticum Deo, quo tempore cubitum ituri sumus, offerentes, Qua in re peccavi? quid feci? quid omisi quod fieri debebat? Ita enim vitam nostram regulis superius traditis metie-

ἑαυτὸν συμφώνως τοῖς προκειμένοις ὅροις διημερεύσαντα, τῆς θείας εὐφροσύνης τοῖς καρποῖς ἀναδεῖ. Παρὰ μέλος δέ τι πράξαντα φωράσας, ὥσπερ τισὶ φαρμάκοις, ταῖς ἐκ τῆς μετανοίας νουθετήσεσιν ἐπιστύφει. Διὸ τὸν ὕπνον ἀποκρούσασθαι δεῖν φησι τῇ προθυμίᾳ τοῦ λογισμοῦ. Ἀνέξεται δὲ τὸ σῶμα, μὴ κατασυρόμενον ὑπὸ τῆς τοῦ δαρθάνειν ἀνάγκης, διὰ τὴν σώφρονα δίαιταν, δι' ἣν καὶ τὰ ἀναγκαῖα πάθη τῇ τοῦ λογισμοῦ ἡγεμονίᾳ συντάττεται. Μὴ προσδέξασθαι γάρ φησι τὸν ὕπνον, πρὶν τῶν ἡμερινῶν ἔργων λογίσασθαι ἕκαστον. Καὶ τίς ὁ λογισμός; πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη; Διχῶς γὰρ ἁμαρτάνομεν· ἢ τὸ μὴ δέον ποιήσαντες, ὃ διὰ τοῦ παρέβην δηλοῦται· ἢ τὸ δέον μὴ ποιήσαντες, ὡς ἐπ' αὐτῆς κεῖται τῆς λέξεως. Ἄλλο γὰρ ἀργία τοῦ καλοῦ· καὶ ἄλλο ἐνέργεια τοῦ αἰσχροῦ. Καὶ τὸ μὲν τῇ παραλείψει κακίζεται, τὸ δὲ τῇ παραδοχῇ. Οἷον, εὔχεσθαι δεῖ, καὶ βλασφημεῖν οὐ δεῖ· τρέφειν γονέας δεῖ, προπηλακίζειν δὲ οὐ δεῖ. Ὁ οὖν τὰ πρότερα μὴ ποιῶν τὰ δέοντα οὐ ποιεῖ, ὁ δὲ τὰ δεύτερα ποιῶν τὰ μὴ δέοντα ποιεῖ· εἰ καὶ ἀμφότερα τρόπον τινὰ πρὸς τὴν ἴσην παρανομίαν ἔρχεται. Τὴν δὲ ἀναμέτρησιν τῶν ἡμερινῶν ἔργων παραινεῖ ποιεῖσθαι ἀπὸ πρώτου ἕως τελευταίου ἐν τάξει, μηδὲν παραλείποντα τῶν μέσων· ὃ διὰ τοῦ ἐπέξιθι νοεῖται. Πολλάκις γὰρ ἡ μετάθεσις παραλογίζεται τὴν κρίσιν, καὶ εὐαπολόγητον ποιεῖ τὸ κακῶς εἰργασμένον τῇ ἀταξίᾳ τῆς μνήμης. Καὶ ἄλλως δὲ ἡ τῆς καθημερινῆς ζωῆς ἀνάμνησις μελέτη γίνεται τῆς τῶν προβεβιωμένων ἀναπολήσεως, καὶ τῆς ἀθανασίας ἡμῶν συναίσθησις. Καὶ τὸ θαυμαστόν, λογίσασθαι ἕκαστον εἰπὼν οὐκ ἔτι ἐπήγαγε, τί κατώρθωσα; τί μοι τῶν δεόντων πέπρακται; ἀλλὰ εἰς τὸ ἀτυφότερον τὴν μνήμην μεθήρμοσε, τῶν ἡμαρτημένων τὴν κρίσιν ποιούμενος καὶ δικαστὴν ἐπέστησε τὸν δικαιότατον ἅμα καὶ οἰκειότατον, τὸ συνειδὸς αὐτό, καὶ τὸν ὀρθὸν λόγον, καὶ αὐτὸν ἑαυτῷ, ὃν πάντων μάλιστα αἰδεῖσθαι προεπαιδεύθημεν· τί γὰρ οὕτω δύναται νουθετῆσαι ἄλλος ἄλλον, ὡς αὐτὸς ἑαυτόν; Τὸ γὰρ αὐτεξούσιον, τῇ ἐλευθερίᾳ τῆς φύσεως ἀποχρώμενον, ἀποσείεται τὰς παρὰ τῶν ἄλλων συμβουλάς, ὅταν μὴ ἐθέλῃ πείθεσθαι· ὁ δὲ οἴκοθεν λογισμὸς αὐτὸς ἑαυτοῦ κατακούειν ἀνάγκην ἔχει. Τοῦτον ἐπίτροπον ἡμῖν ὁ θεὸς ἐπέστησε· τοῦτον παιδαγωγὸν καὶ διδάσκαλον. Τοῦτον καὶ νῦν δικαστὴν ὁ λόγος τῶν ἡμερινῶν ἔργων ποιεῖται, καὶ παρ' αὐτοῦ τὴν κρίσιν ἐκδέχεται, ἵν' αὐτὸς ἑαυτὸν ψηφίσηται ἀποδοχῆς ἢ ἐπιπλήξεως ἄξιον. Ὅταν γάρ, ὡς ἐν γραμ-

---

mur, menti legum inventrici rationem judicem adjungentes. Quid igitur præcipit legum inventrix? ut eos honoremus qui natura superiores sunt, naturali eorum ordine observato : ut parentum et cognatorum præcipuam habeamus rationem : ut probos viros amplectamur et amemus : ut corporeis facultatibus imperemus : ut nos ipsos ubique vereamur : ut justitiam colamus : ut divitiarum vitæque brevis instabilitatem præcognitam habeamus : ut sorte, quam divinum nobis judicium tribuit, contenti simus : cogitationibus autem Deo dignis immoremur, et ad id quod melius est mentem convertamus : ut sermones amemus, qui vere sermones sunt : ut a fraudibus tuti simus neve in retinenda virtute animo frangamur : ut antequam res geramus, rectum consilium capiamus, cujus nos post res gestas non pœniteat : ut arrogantiæ expertes simus atque vitam sapientiæ studio deditam agamus : ut corpus denique et res externas ad virtutis exercitationem accommodemus. Hæc sunt quæ mens legum inventrix animis nostris observanda injungit; quibus ratio obsecuta judex sui pervigil fit, crebro se ipsam interrogans, *Qua in re peccavi? quid feci? quid omisi quod fieri debebat?* et ordine singula memoriâ repetens, virtutis causa. Tum postea inveniens se regulis supra positis congruenter diem transegisse, divinæ lætitiæ fructibus sese coronat. Si quid autem absurdum se fecisse deprehendat, id pœnitentiæ admonitionibus, tanquam remediis, corrigit. Quocirca somnum considerationis hujus studio amovendum esse dicit carmen. Id autem corpus tolerabit, quippe quod dormiendi necessitate non urgeatur, ob temperantiam in victu, propter quam etiam necessarii affectus rationis imperio subjiciuntur. Dicit enim, *somnum ne prius admittas, quam singula diurna opera consideraveris.* Quænam vero est illa consideratio? *Qua in re peccavi? quid feci? quid omisi quod fieri debebat?* Peccamus enim duobus modis; vel *id facientes, quod non decet*, quod *peccandi* verbo significatur; vel *id quod decet non facientes*, quemadmodum ipsa versus locutione exprimitur. Aliud enim est neglecta res honesta, aliud turpe facinus commissum. Ac partim omittendo, partim admittendo peccatur. Exempli gratia, precari oportet, impie autem et contumeliose loqui non oportet : parentes alere oportet, eos vero ignominia afficere non oportet. Is igitur, qui priora non facit, *ea quæ fieri oportet* non facit; qui autem posteriora facit, ea facit, *quæ fieri non oportet* : quamvis utrumque quodammodo ad æqualem malitiam accedat. Hortatur autem, ut opera diurna a primo ad ultimum, nullis in medio prætermissis, ordine remetiamur, quem intellectum *percurrendi* vocabulum habet. Sæpe enim judicium fallit ordinis mutatio facitque, ut id quod male patratum est, quia memo-

ματείῳ, τῇ μνήμῃ ἀναγνῷ τὰ πεπραγμένα, τότε κρίνει πρὸς τὸ παράδειγμα ἀποβλέπων τὸν νόμον, καὶ ψηφίζεται τιμῆς ἢ ἀτιμίας ἑαυτὸν ἄξιον. Ἡ δὲ τοιαύτη καθ' ἡμέραν παρακολούθησις θεοειδὲς ἄγαλμα τὸν χρώμενον ἀποτελεῖ, προσθήκαις καὶ ἀφαιρέσεσι πρὸς τὸ τῆς ἀρετῆς κάλλος παιδαγωγοῦσα, καὶ ὡς οἷόν τε ἄνθρωπον ἀγαθὸν ἀποτελοῦσα. Εἰς τοῦτο γὰρ κατέληξεν ὁ λόγος, μέλλων μεταβαίνειν ἐπὶ τὰ θεοποιὰ παραγγέλματα.

XX. 45—48.

Ταῦτα πόνει, ταῦτ' ἐκμελέτα, τούτων χρὴ ἐρᾶν σε,
ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει·
ναὶ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ παραδόντα τετρακτύν,
παγὰν ἀενάου φύσεως. —

Ταῦτ' ἦν, ἃ καὶ ἐν Προοιμίοις ἐλέγομεν, ὅτι ἡ μὲν πρακτικὴ φιλοσοφία διὰ τῆς τῶν ἀρετῶν κτήσεως τὸν ἄνθρωπον ἀγαθὸν ἀποτελεῖ, ἡ δὲ θεωρητικὴ εἰς ὁμοιότητα Θεοῦ καθίστησι, νοῦ καὶ ἀληθείας ἐλλάμψει· προηγεῖσθαι δέ, ὡς πρὸς ἡμᾶς, τὰ ἐλάττονα τῶν μειζόνων ἐξ ἀνάγκης. Ῥᾷον γὰρ ἐπιμετρῆσαι τὸν ἀνθρώπινον βίον τῇ εὐλογίστῳ χρήσει, τοῦ παντελῶς μεταφῦναι· ὃ γένοιτ' ἂν διὰ τῆς πρὸς θεωρίαν παντελοῦς ἐπιστροφῆς. Καὶ ἄλλως δὲ ἀδύνατον ἀθορύβως κτήσασθαι τὴν ἀλήθειαν, μὴ τῶν ἀλόγων δυνάμεων ἡμῖν ταῖς ἠθικαῖς ἀρεταῖς κατὰ νοῦν τεταγμένων. Μέση γὰρ οὖσα ἡ λογικὴ ψυχὴ νοῦ καὶ ἀλογίας, τότε μόνον ἀπερισπάστως δύναται συνεῖναι τῷ πρὸ αὐτῆς νῷ, ὅταν καθαρὰ γενομένη τῆς τῶν μετ' αὐτὴν προσπαθείας, καθαρῶς ἐφάπτηται ἐκείνων. Ἔσται δὲ καθαρά, εἰ μηδὲν τῇ ἀλογίᾳ, μηδὲ τῷ θνητῷ σώματι συνεκφέροιτο, ὡς ἄλλη δὲ ἄλλων ἐπιμελοῖτο, τοσοῦτον αὐτοῖς ἀπονέμουσα φροντίδος, ὅσον ὁ θεῖος κελεύει νόμος, ἐξάγειν ἑαυτὸν πειρᾶσθαι μὴ συγχωρῶν, ἀλλὰ περιμένειν ἕως ἂν ὁ Θεὸς αὐτὸς ἀπολύσῃ ἡμᾶς. Διττῆς οὖν ἀρετῆς τῇ τοιαύτῃ ψυχῇ δεήσει· πολιτικῆς μὲν πρὸς τὰ κάτω, τὴν ἀλογίαν ταττούσης· θεωρητικῆς δὲ πρὸς τὰ ἄνω, τὴν τῶν κρειττόνων συνουσίαν προξενούσης. Τῶν δὲ διπλῶν τούτων ἀρετῶν μεθόριον ἔγκεινται οἱ τοιοῦτοι στίχοι· τὸ μέν, ταῦτα πόνει· ταῦτ' ἐκμελέτα·

---

riâ turbamur, facile excusetur. Præterea quotidianæ vitæ recordatio fit quædam quasi exercitatio revolvendi nobiscum quæ in priore vita egimus, atque eo valet, ut immortalitatis nostræ sensu tangamur. At, quod mireris, quum *expendenda* dixerit *singula*, non subjunxit, quid recte feci? quid eorum, quæ fieri oportet, feci? sed ejus rei quæ a fastu remotior est memoriam repetiit, de delictis judicium faciens, ac judicem constituit æquissimum simul et familiarissimum, ipsam conscientiam et rectam rationem ac se ipsum sibi, quem omnium maxime vereri superioribus monitis didicimus : ecquid enim est, cujus alius alium ita possit commonefacere, ut se ipse potest? Liberum enim arbitrium, naturæ suæ libertate abutens, aliorum consilia aversatur, quandocunque illis non libet obsequi : at ratio domestica auscultare sibi ipsa necesse habet. Hanc Deus nobis præsidem constituit, hanc ducem et magistram. Hanc judicem quoque *diurnorum operum* carmen hoc loco facit ejusque sententiam exspectat, ut ipsa se laude vel reprehensione dignam judicet. Quum enim in memoria, tanquam in tabella, facta sua legit, tum exemplar, id est legem, respiciens judicat, et se vel honore vel dedecore dignam esse pronuntiat. Ejusmodi vero ratio quotidie observata eum qui illa utitur imaginem Deo similem efficit, addendo et subtrahendo ad virtutis pulchritudinem paulatim perducens et, quoad fieri potest, hominem bonum reddens. In hoc enim carmen desinit, ad præcepta, quæ homines faciunt deos, jam transiturum.

XX. 45-48.

In his tibi elaborandum est; hæc meditare; hæc amanda sunt :
hæc te in divinæ virtutis via sistent :
per eum certe qui nobis quaternarium numerum tradidit,
fontem perennis naturæ. —

Hæc sunt, quæ et in Prooemio diximus, philosophiam activam virtutum possessione hominem bonum efficere, contemplativam autem mentis et veritatis lumine cum Deo similem reddere; minora vero, quod ad nos attinet, necessario majoribus præcedere. Est enim facilius vitam humanam ad rationis normam dirigendo excolere, quam prorsus aliud sibi ingenium induere, quod plena ad contemplationem conversione fiat. Præterea veritatem tranquille consequi non possumus, nisi facultates nostræ a recta ratione aversæ virtutum moralium ope ad mentem accommodantur. Quum enim medius sit animus rationalis inter mentem et facultates ratione carentes, tum solum ille menti, quæ ipso superior est, sine ullo impedimento potest attendere, quum ab eorum amore, quæ ipso inferiora sunt, purus factus illis caste utitur. Erit autem purus, si nec facultatibus ratione vacuis, nec mortali corpori omnino obsequatur, sed, ut alius, aliorum curam gerat, tantum illis curæ impendens, quantum divina lex præcipit, quæ ut quis vim sibi ipse inferre conetur, non concedit, sed exspectare jubet, donec Deus ipse nos dimiserit. Duplici ergo virtute ejusmodi animo opus erit, civili ad inferiora, quæ regat facultates rationis expertes, contemplativa

τούτων χρὴ ἐρᾶν σε, ὡς οἰκεῖον συμπέρασμα τῆς πολιτικῆς ἀρετῆς· τὸ δέ, ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει, ὡς ἀρχὴ καλλίστη τῆς θεωρητικῆς ἐπιστήμης. Τὸν γὰρ ἀπαλλαγέντα τῆς θηριώδους ζωῆς, καὶ τῆς ἀμετρίας τῶν παθῶν, ὅση δύναμις, καθαρεύσαντα, καὶ διὰ τοῦτο οἷον ἐκ θηρίου γενόμενον ἄνθρωπον, τὰ ἑξῆς ἐπαγγέλλεται θεὸν ἐξ ἀνθρώπου ποιήσειν, ἐφ' ὅσον οἷόν τε ἀνθρώπῳ θεὸν γενέσθαι. Ὅτι δὲ τοῦτο τῆς θεωρητικῆς ἀληθείας τὸ τέλος, δι' αὐτῶν δηλοῦται τῶν Ἐπῶν· ἐν οἷς πρὸς τῷ τέλει τὸ κάλλιστον καὶ ἀκρότατον συμπέρασμα ἐπάγει·

> Ἢν δ' ἀπολείψας σῶμα ἐς αἰθέρ' ἐλεύθερον ἔλθῃς,
> ἔσσεαι ἀθάνατος θεός, ἄμβροτος, οὐκ ἔτι θνητός.

Τυγχάνειν δὲ τῆς ἀποκαταστάσεως ἡμᾶς (ταὐτὸν δὲ εἰπεῖν τῆς ἀποθεώσεως) διὰ τῆς προασκηθείσης ἀρετῆς, καὶ τῆς ἐπὶ ταύτῃ γνωσθείσης ἀληθείας, οὗτος ὁ ἱερὸς ἀποφαίνεται λόγος, ὡς εἰσόμεθα μικρὸν ὕστερον. Νῦν δὲ ἐπὶ τὰ προκείμενα ἔπη πάλιν ἐπανελθόντες ἐπισκεψώμεθα εἴ τι βούλεται ὁ πόνος καὶ ἡ μελέτη καὶ ὁ ἔρως ἐπὶ ταῖς προλαβούσαις ὑποθήκαις, ἢ τὸ πρὸς τὴν τῆς ἀρετῆς ἄσκησιν ὅλην ἐπιστρέψαι τὴν ψυχήν. Τριδύναμος δέ πώς ἐστι, καὶ αὐτὴ καθ' αὑτὴν λογικὴ οὖσα· τὸ μέν τι ἔχουσα, ᾧ μανθάνομεν, ὃ ταῦτα ἐκμελετᾶν νῦν προστάττεται· τὸ δέ τι, ᾧ τὰ γνωσθέντα κρατοῦμεν, ὃ ταῦτα πονεῖν παραγγέλλεται· τὸ δέ τι, ᾧ στέργομεν τὰ γνωσθέντα καὶ κρατηθέντα, ὃ τούτων ἐρᾶν νουθετεῖται. Ἵνα οὖν πάσας τὰς δυνάμεις τῆς λογικῆς ψυχῆς συντεταμένας ἔχωμεν πρὸς τὰ τῶν ἀρετῶν παραγγέλματα, ἐκ μὲν τοῦ νοεῖν πεφυκότος τὴν μελέτην ἀπαιτεῖ· ἐκ δὲ τοῦ τηροῦντος τὰ νοηθέντα, τὸν πόνον· ἐκ δὲ τοῦ φιλοκάλου, τὸν ἔρωτα· ἵν' ἐξ ἁπάντων ἡ κτῆσις τῶν ὄντως ἀγαθῶν ἡμῖν παραγίνηται μετὰ τῆς ἀπαραβάτου τηρήσεως, καὶ συμφυοῦς ἡμῖν πρὸς ἐκεῖνα στοργῆς· οἷς ἕπεται ἡ θεία ἐλπίς, τὸ τῆς ἀληθείας ἐπεισάγουσα φέγγος, ὡς αὐτὸς ὑπισχνεῖται λέγων, ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει, τουτέστι, ταῦτά σε ὁμοιώσει τῷ Θεῷ διὰ τῆς τῶν ὄντων ἐπιστημονικῆς γνώσεως. Τὸ γὰρ τὰς αἰτίας ἐκλογίσασθαι τῶν ὄντων, τὰς ἐν τῷ δημιουργῷ θεῷ πρώτως κειμένας, πρὸς τὴν ἀκρότητα ἄγει θεογνωσίας, ᾗ συνεισέρχεται καὶ ἡ πρὸς Θεὸν ὁμοίωσις. Τὴν δὲ ὁμοίωσιν ταύτην θείαν ἀρετὴν ὁ λόγος καλεῖ, ὡς ἐπὶ ἀνθρωπίνην τὴν πρὸ ταύτης καλῶς ἐποχουμένην. Εἰς ἔρωτα οὖν φιλόσοφον καὶ φιλόκαλον ἀποπερατούσθω τὰ πρῶτα ἔπη· τούτου δὲ ἡγουμένου, ἡ τῆς ἀληθείας γνῶσις ἑπέσθω πρὸς ὁμοίωσιν τῆς

---

autem ad superiora, quæ superorum conversationem conciliet. Sunt vero duarum virtutum istarum quasi confinium quoddam interpositi hujusmodi versus, alter quidem, *in his tibi elaborandum est, hæc meditare, hæc tibi amanda sunt*, tanquam propria civilis virtutis conclusio, alter autem, *hæc te in divinæ virtutis via sistent*, tanquam pulcherrimum contemplativæ scientiæ principium. Ea enim, quæ sequuntur, illi qui belluinam vitam deposuerit atque immodicos affectus, quantum potest, exuerit, ideoque quasi ex fera homo factus sit, pollicentur se eum ex homine deum esse factura, quoad homo deus fieri possit. Hunc autem contemplativæ veritatis finem esse, ipsi declarant versus, quibus ad exitum adductis pulcherrimam hanc coronidem imponit :

> Quodsi relicto corpore ad liberum ætherem commigraveris,
> eris immortalis deus, incorruptus, neque amplius morti obnoxius.

Ostendit autem sacer hic sermo, ut paulo post discemus, nos prævia virtutis exercitatione ac veritatis, quæ eam sequitur, cognitione restitutionem in pristinum statum, quam etiam relationem inter divos appelles, esse adepturos. Nunc vero rursus ad propositos versus redeuntes consideremus, num quid aliud iste *labor* et *meditatio* et *amor* in præcedentibus præceptis velint, quam ut ad virtutis exercitationem totum convertamus animum. Qui quum rationalis sit, triplici quadam et ipse per se facultate præditus est; habet enim quiddam quo discimus, quod *hæc meditari* nunc jubetur; quiddam vero quo cognita retinemus, cui *in his elaborare* præcipitur; quiddam denique quo ea diligimus quæ novimus et retinemus, quod *hæc amare* monetur. Ut rationalis igitur animi facultates omnes ad virtutum præcepta simul intentas habeamus, ab eo quod ad intelligendum natura aptum est *meditationem* postulat; *laborem* vero ab eo quod intellecta servat; *amorem* denique ab eo quod honesti desiderio afficitur : ut omnibus istis vera bona adipiscamur eaque inviolate servemus et innato nobis erga ea amore prosequamur; quorum comes est spes divina, quæ veritatis lumen inducit, quemadmodum ipse pollicetur, dicens, *hæc te in divinæ virtutis via sistent*, id est, hæc te Deo similem reddent philosophica rerum cognitione. Nam consideratis rerum causis, quæ primitus in opifice Deo sitæ sunt, ad divinæ cognitionis fastigium provehimur, unde et similes Deo efficimur. Carmen autem hanc similitudinem vocat *virtutem divinam*, ut quæ humanæ præeunti innixa altius evolet. Desinat ergo carminis prima pars in sapientiæ et honestatis *amorem* : hoc vero præeunte sequatur veritatis cognitio, quæ ad *divinæ virtutis* similitudinem evehit, quemadmodum in sequentibus versibus declaratur. Horum autem conjunctionis

θείας ἀρετῆς ἀνάγουσα, ὡς ἐν τοῖς ἑξῆς ἔπεσι δηλοῦται. Τὸ δὲ ἀναγκαῖον τῆς συναφῆς τούτων καὶ ὅρκῳ πιστοῦται. Τὸ γὰρ καλῶς κτηθεῖσαν τὴν ἀνθρωπίνην ἀρετὴν πρὸς τὴν θείαν ὁδεύειν ὁμοίωσιν, εὖ μάλα διατεταμένως ὄμνυσιν ὁ τὸ Σέβου ὅρκον ἐν ἀρχῇ παραγγείλας. Τὴν γὰρ ἀποχὴν τοῦ ὀμνύναι προστάττει περὶ τῶν ἐνδεχομένων, καὶ ἄδηλον τῆς ἐκβάσεως ἐχόντων τὸ πέρας. Ταῦτα γὰρ καὶ μικρά, καὶ μεταπίπτοντα· διὸ οὔτε ἄξιον ἐπ' αὐτοῖς ὀμνύναι, οὔτ' ἀσφαλές· οὐ γὰρ ἐφ' ἡμῖν εἰς πέρας αὐτὰ ἀγαγεῖν. Περὶ δὲ τῶν παρόντων, ἀναγκαίως τε συνημμένων, καὶ μεγίστων ὄντων, ἀσφαλὲς τὸ ὀμνύναι, καὶ πρέπον. Οὔτε γὰρ τὸ μεταπῖπτον τῶν πραγμάτων ἡμᾶς ἄν ποτε σφήλειε (δέδεται γὰρ πρὸς ἄλληλα θεσμῷ ἀδραστείας, περὶ ὧν ὁ ὅρκος νυνὶ γίνεται) οὔτε τὸ ταπεινὸν αὐτῶν καὶ χαμαιπετὲς τοῦ θείου τὴν ἐπιμαρτυρίαν ἀρνεῖται· ἀλήθεια γὰρ καὶ ἀρετὴ οὐ μόνον ἐστὶν ἐν ἀνθρώποις, ἀλλὰ καὶ ἐν θεοῖς τὰ μέγιστα. Ἔπειτα καὶ ὁ ὅρκος αὐτῷ γίνεται δόγμα, ὅτι τὸν διδάσκαλον τῆς ἀληθείας οὕτω δέοι τιμᾶν, ὡς καὶ ὀμνύναι αὐτόν, εἴ που δέοι πρὸς βεβαίωσιν τῶν δογμάτων· καὶ μὴ μόνον τὸ αὐτὸς ἔφα περὶ αὐτοῦ λέγειν, ἀλλὰ καὶ ταῦτα οὕτως ἔχειν νὴ τὸν αὐτόν. Ὁμοῦ δὲ περὶ τῆς τῶν καλλίστων ἕξεων συναφῆς ὀμνύων θεολογεῖ, καὶ τὴν τετράδα, πηγὴν τῆς ἀϊδίου διακοσμήσεως, ἀποφαίνεται τὴν αὐτὴν οὖσαν τῷ δημιουργῷ θεῷ. Πῶς δὲ τετρὰς ὁ θεός; οὕτως ἐκ τοῦ εἰς Πυθαγόραν ἀναφερομένου Ἱεροῦ Λόγου σαφῶς εὑρήσεις, ἐν ᾧ ἀριθμὸς ἀριθμῶν ὁ θεὸς ὑμνεῖται. Εἰ γὰρ τὰ ὄντα πάντα ταῖς ἀϊδίοις αὐτοῦ βουλήσεσιν ὑφέστηκε, δῆλον ὅτι καὶ ὁ ἀριθμὸς ὁ ἐν ἑκάστῳ εἴδει τῶν ὄντων τῆς ἐκείνων αἰτίας ἤρτηται, καὶ ὁ πρῶτος ἀριθμὸς ἐκεῖ πού ἐστιν· ἐκεῖθεν γὰρ ἐνταῦθα. Τοῦ δὲ ἀριθμοῦ τὸ πεπερασμένον διάστημα ἡ δεκάς. Ὁ γὰρ ἐπὶ πλέον ἀριθμεῖν ἐθέλων ἀνακάμπτει πάλιν ἐπὶ τὸ ἕν, καὶ δύο, καὶ τρία· καὶ δευτέραν ἀριθμεῖ δεκάδα πρὸς τὴν τῆς εἰκοσάδος συμπλήρωσιν· καὶ τρίτην ὁμοίως, ἵνα τριάκοντα εἴπῃ· καὶ τοῦτο ἑξῆς, ἕως ἂν δεκάτην ἀριθμήσας δεκάδα εἰς ἑκατὸν προέλθῃ. Καὶ πάλιν ἑκατὸν δέκα τὸν αὐτὸν τρόπον ἀριθμεῖ. Καὶ οὕτω μέχρις ἀπείρου τῷ τῆς

---

necessitatem jurejurando etiam confirmat. Virtutem enim humanam rite quæsitam tendere ad divinam similitudinem asseveranter is jurat qui illud *jusjurandum cole* initio præcepit. Ibi enim nos jubet jurejurando abstinere in rebus quæ fieri possunt et quæ eventûs finem habent incertum. Nam quum hæ et parvæ sint et mutabiles, in iis jurare neque decet neque tutum est, quia eas ad exitum adducendi potestatem non habemus. In rebus præsentibus autem et necessaria serie copulatis et gravissimis jurare tutum est ac decet. Neque enim ipsarum rerum mutabilitas nos unquam fefellerit (quippe Adrastiæ lege inter se vincta sunt illa, in quibus hoc loco jusjurandum adhibetur), neque earum vilitas et humilitas Deum testem recusat; veritas enim et virtus non solum apud homines, sed apud deos quoque maxima sunt. Deinde et jusjurandum illi dogma fit, veritatis magistrum eo honore prosequendum esse, ut per eum etiam juremus, si quando ad placitorum confirmationem opus sit, nec solum illud *ipse dixit* de eo dicamus, sed etiam hæc ita se habere *per eundem*. Simul vero de optimorum habituum conjunctione, adhibito jurejurando, theologorum more agit et *quaternarium numerum*, *sempiternæ* rerum constitutionis *fontem*, eundem et opificem Deum esse declarat. Quomodo vero *quaternarius numerus* Deus est? Ita esse ex Sacro Sermone, qui Pythagoræ tribuitur, plane disces, in quo Deus numerorum numerus celebratur. Si enim res omnes sempiternis ejus consiliis creatæ exstant, apparet, numerum quoque, qui in qualibet rerum specie est, ex earum causa pendere et primum ibi numerum esse; illinc enim huc derivatur. Definitum autem numeri intervallum est decas. Qui enim ulterius numerare vult ad unum iterum et duo et tria regreditur, et secundam decadem numerat, ut vicenarium numerum compleat; et tertiam similiter, ut triginta dicat; idemque facit deinceps, donec decima decade numerata ad centum perveniat. Et rursus centum decem eodem modo numerat. Sic autem in infinitum decadis intervallo revoluto progredi potest. Decadis vero virtus est *quaternarius numerus*. Namque ante illam, quæ in numerorum progressu cernitur, decadis perfectionem, unita quædam perfectio ejus in *quaternario numero* deprehenditur. In compositione enim ab unitate ad *quaternarium numerum* facta totum simul collectum est decas. Etenim unum et duo et tria et quatuor decadem complent; atque arithmetica medietas unitatis et septenarii numeri est *quaternarius*. Æquali enim numero superat et superatur; quippe ternario numero superatur a septenario, unitatem vero ternario superat. Unitatis enim et septenarii numeri proprietates pulcherrimæ sunt et præstantissimæ. Quippe unitas, ut numeri cujusque principium, omnium in se potestates complectitur; septenarius vero numerus, ut matre carens et virgo, unitatis dignitatem secundo loco habet. Neque enim ex ullo numero, qui decade continetur, gignitur, uti quatuor ex bis duobus, et sex ex bis tribus, et octo ex bis quatuor, et novem ex ter tribus, et decem ex bis quinque: nec gignit eorum quemquam, qui sunt intra decadem, ut binarius numerus quaternarium, et ternarius

δεκάδος διαστήματι ἀνακυκλουμένῳ προχωρεῖν δύναται. Τῆς δὲ δεκάδος δύναμις ἡ τετράς. Πρὸ γὰρ τῆς κατὰ διέξοδον τελειότητος τῆς ἐν τῇ δεκάδι, ἡνωμένη τις τελειότης ἐν τῇ τετράδι θεωρεῖται. Κατὰ γὰρ σύνθεσιν τὴν ἀπὸ μονάδος ἕως τετράδος, δεκὰς τὸ πᾶν ἄθροισμα γίνεται. Α′ γὰρ, καὶ β′, καὶ γ′, καὶ δ′, τὴν δεκάδα πληροῖ. Καὶ ἔστι μεσότης ἀριθμητικὴ μονάδος καὶ ἑβδομάδος ἡ τετράς. Τῷ ἴσῳ γὰρ ἀριθμῷ πως ὑπερέχει, καὶ ὑπερέχεται, τριάδι μὲν ἑβδομάδος λειπομένη, τριάδι δὲ μονάδα ὑπερβάλλουσα. Μονάδος γὰρ καὶ ἑβδομάδος τὰ ἰδιώματα κάλλιστά εἰσι καὶ ἄριστα. Ἡ μὲν γὰρ μονάς, ὡς ἀρχὴ παντὸς ἀριθμοῦ, τὰς πάντων δυνάμεις ἐν ἑαυτῇ συνέχει· ἡ δὲ ἑβδομάς, ὡς ἀμήτωρ καὶ παρθένος, τὴν τῆς μονάδος ἀξίαν δευτέρως ἔχει. Οὔτε γὰρ γεννᾶται ἔξ ἀριθμοῦ τινος τῶν ἐντὸς δεκάδος· ὡς ὁ δ′, ἐκ τοῦ δὶς β′, καὶ ὁ ἓξ ἐκ τοῦ δὶς γ′, καὶ ὁ η′ ἐκ τοῦ δὶς δ′, καὶ ὁ θ′ ἐκ τοῦ τρὶς γ′, καὶ ὁ ι′ ἐκ τοῦ δὶς ε′. Οὔτε γεννᾷ τινα τῶν ἐντὸς δεκάδος· ὡς ὁ δύο τὸν τέσσαρα, καὶ ὁ γ′ τὸν ἓξ καὶ τὸν θ′, καὶ ὁ ε′ τὸν ι′. Τῆς δὲ ἀγεννήτου μονάδος καὶ τῆς ἀμήτορος ἑβδομάδος ἡ τετρὰς μέση κειμένη, τὰς τῶν γεννώντων καὶ γεννωμένων δυνάμεις ἅμα καὶ συνείληφε καὶ συνέχει, μόνη τῶν ἐντὸς δεκάδος καὶ γεννωμένη ὑπό τινος ἀριθμοῦ, καὶ γεννῶσά τινα. Ἡ γὰρ δυὰς ἑαυτὴν διπλασιάσασα τὴν τετράδα γεννᾷ· ἡ δὲ τετρὰς δὶς γενομένη τὸν ὀκτὼ ἀποτελεῖ. Καὶ στερεοῦ πρώτη ἔμφασις ἐν τῇ τετράδι εὑρίσκεται. Τὸ γὰρ σημεῖον ἀνάλογόν ἐστι μονάδι, ἡ δὲ γραμμὴ δυάδι, ἀπό τινος γὰρ ἐπί τι· καὶ τριάδι προσήκει ἡ ἐπιφάνεια, στοιχειωδέστατον γὰρ τῶν εὐθυγράμμων τὸ τρίγωνον. Τὸ στερεὸν δὲ οἰκεῖον τῇ τετράδι. Ἡ γὰρ πρώτη πυραμὶς ἐν τῇ τετράδι θεωρεῖται· τριγώνου μὲν βάσεως ὑποτεθείσης, τοῦ τρία· κορυφῆς δὲ αὐτῇ ἐπιτεθείσης, τοῦ ἑνός. Καὶ κριτικαὶ δὲ δυνάμεις ἐν τοῖς οὖσι τέσσαρες, νοῦς, ἐπιστήμη, δόξα καὶ αἴσθησις. Κρίνεται γὰρ πάντα τὰ ὄντα ἢ νῷ, ἢ ἐπιστήμῃ, ἢ δόξῃ, ἢ αἰσθήσει. Καὶ ἁπλῶς, τὰ ὄντα πάντα ἡ τετρὰς ἀνεδήσατο, στοιχείων ἀριθμόν, ὡρῶν τοῦ ἔτους, ἡλικιῶν, συνοικισμῶν. Καὶ οὐκ ἔστιν εἰπεῖν, ὃ μὴ τῆς τετρακτύος, ὡς ῥίζης καὶ ἀρχῆς, ἤρτηται. Ἔστι γάρ, ὡς ἔφαμεν, δημιουργὸς τῶν ὅλων καὶ αἰτία ἡ τετράς, θεὸς νοητός, αἴτιος τοῦ οὐρανίου καὶ αἰσθητοῦ θεοῦ. Παραδέδοται δὲ ἡ τούτου γνῶσις τοῖς Πυθαγορείοις δι' αὐτοῦ τοῦ Πυθαγόρου, ὃν καὶ νῦν ἐπόμνυται ὁ τῶν Ἐπῶν τούτων συγγραφεύς, ὅτι τῆς ἀρετῆς ἡ τελείωσις πρὸς τὴν τῆς ἀληθείας ἔλλαμψιν ἡμᾶς ἀνάξει. Ὥστε καὶ κατὰ τοῦτο εἴποι ἄν τις ἰδίᾳ μὲν τηρεῖσθαι τὸ Σέβου ὅρκον ἐπὶ τῶν ἀεὶ ὡσαύτως ἐχόντων θεῶν· ἰδίᾳ δὲ νῦν ὄμνυσθαι κατὰ τοῦ παραδόντος ἡμῖν τὴν τετρακτὺν διδασκάλου, ὃς οὐκ ἦν τῶν ἀθανάτων θεῶν, οὐδὲ τῶν φύσει ἡρώων, ἀλλ' ἄνθρωπος ὁμοιώσει θεοῦ κοσμηθείς, καὶ πρὸς τοὺς ἀφ' ἑαυτοῦ θείαν ἀποσώζων εἰκόνα. Ὅθεν καὶ ἔνορκον αὐτὸν ἐπὶ τῶν οὕτω μεγάλων ποιεῖται, λεληθότως ἐπεμβάλλων τὸ περὶ Πυθαγόραν τῶν ἀκροατῶν σέβας, καὶ τὴν ἀξίαν αὐτοῦ δεικνὺς δι' ὧν παραδέδωκε μαθη-

---

senarium et novenarium, et quinarius denarium. Quaternarius vero numerus quum medius sit inter unitatem ortûs expertem ac septenarium matre carentem, eorum potestates, qui gignunt et gignuntur, simul comprehendit et continet, quippe qui solus ex iis qui decade continentur et gignatur ab aliquo numero et aliquem gignat. Binarius enim numerus se duplicans parit *quaternarium*, octonarium vero duplicatus *quaternarius*. Prima autem solida figura in quaternario numero reperitur. Punctum enim respondet unitati, linea vero binario numero, siquidem est ab aliquo ad aliquid; ternario autem superficies convenit; nam eorum quæ rectis lineis constant primum et simplicissimum triangulum est. Solidum vero *quaternario* numero proprium est. Prima enim pyramis in quaternario numero cernitur; cui supposita basis triquetra exhibet tria, vertex vero ei impositus unum. Sunt etiam in rerum natura judicandi facultates quatuor: mens, scientia, opinio et sensus. Nam de rebus omnibus judicamus vel mente, vel scientia, vel opinione, vel sensu. Atque in summa *quaternarius numerus* omnes simul res complectitur, numerum elementorum, anni temporum, ætatum, societatum. Neque dici quidquam potest, quod non e *quaternario numero*, tanquam radice et principio, pendeat. Est enim *quaternarius numerus*, uti diximus, universitatis opifex et causa, Deus intelligibilis, cœlestis sensibilisque Dei auctor. Hujus autem cognitio tradita est Pythagoreis per Pythagoram ipsum, per quem horum versuum scriptor nunc jurans affirmat, virtutis perfectionem ad veritatis splendorem nos esse perducturam. Quamobrem et in hac re dixerit aliquis, illud, *cole jusjurandum*, proprie observari ducta deorum ratione qui eodem semper modo se habent; proprie autem jurari hoc loco per magistrum qui *quaternarium* numerum nobis tradidit, qui nec deus immortalis erat, nec natura heros, sed homo Dei similitudine ornatus et divinæ imaginis auctoritatem apud sectatores suos obtinens. Unde et in tanti momenti rebus per eum jurat, tacite significans auditorum in Pythagoram observantiam quantamque dignitatem traditis disciplinis adeptus sit ostendens. Rerum autem traditarum excellentissima est illa *quaternarii numeri* omnium parentis cognitio. Sed quum prima illa breviter explicata sint, secunda autem promissione certa et spe minime fallaci nitantur; et *quaternarii numeri* hierophanta notus sit, et

μάτων. Μέγιστον δὲ τούτων ἡ τῆς δημιουργικῆς τετρακτύος γνῶσις. Ἀλλ' ἐπεὶ τὰ μὲν πρῶτα ἐπιτέτμηται, τὰ δὲ δεύτερα ἐν ὑποσχέσει κεῖται βεβαίᾳ καὶ ἀψευδεῖ ἐλπίδι, ὅ τε τῆς τετρακτύος ἱεροφάντης ἔγνωσται, καὶ τίς αὕτη ἡ τετρακτύς, ὅσον τοῖς παροῦσι προσήκει λόγοις, ὑπομνήσεως ἔτυχε· φέρε καὶ ἐφ' ἃ προελθεῖν ὁ λόγος παρακαλεῖ μετίωμεν· πρῶτον μὲν μεθ' οἵας ὁρμῆς καὶ παρασκευῆς, καὶ συνεργείας τῶν Κρειττόνων, ἐλθεῖν ἐπὶ ταῦτα προσήκει προϋποδείξαντες.

XXI. 48—49.

——— ἀλλ' ἔρχευ ἐπ' ἔργον,
θεοῖσιν ἐπευξάμενος τελέσαι. ———

Πάντα τὰ πρὸς τὴν κτῆσιν τῶν ἀγαθῶν συντελοῦντα διὰ βραχέων ὑπέγραψεν ὁ λόγος, τὸ τῆς ψυχῆς αὐτοκίνητον καὶ τὴν τοῦ θεοῦ συνέργειαν. Εἰ γὰρ καὶ ἐφ' ἡμῖν ἡ αἵρεσις τῶν καλῶν, ἀλλὰ καὶ αὐτὸ τὸ ἐφ' ἡμῖν θεόθεν ἔχοντες, τῆς παρ' ἐκείνου συνεργείας καὶ τελειώσεως τῶν αἱρεθέντων πάντως που χρῄζομεν. Ἔοικε γὰρ τὸ μὲν παρ' ἡμῶν σπουδαζόμενον ἐκτεινομένῃ χειρὶ πρὸς λῆψιν τῶν καλῶν, τὸ δὲ παρὰ θεοῦ συντελούμενον χορηγίᾳ εἶναι καὶ πηγῇ τῆς δόσεως τῶν ἀγαθῶν· καὶ τὸ μὲν ἐξευρίσκειν πεφυκέναι τὰ καλά, τὸ δὲ ἐκφαίνειν τῷ ζητοῦντι ὀρθῶς· ἡ δὲ εὐχὴ μεθόριον εἶναι τῆς τε παρ' ἡμῶν ζητήσεως καὶ τῆς παρὰ τοῦ θεοῦ δόσεως, εὖ ἐχομένη τῆς αἰτίας ἡμῶν, τῆς εἴς τε τὸ εἶναι προαγούσης ἡμᾶς, καὶ πρὸς τὸ εὖ εἶναι τελειούσης. Πῶς δ' ἂν λάβοι τις τὸ εὖ, μὴ διδόντος θεοῦ; πῶς δ' ἂν δοίη τῷ πρὸς τὰς ὁρμὰς αὐτεξουσίῳ μὴ αἰτοῦντι ὁ διδόναι πεφυκὼς θεός; Ἵν' οὖν μήτε λόγῳ μόνῳ τὴν εὐχὴν ποιώμεθα, ἀλλὰ καὶ ἔργῳ ταύτην κρατύνωμεν, μήτε τῇ ἑαυτῶν ἐνεργείᾳ μόνῃ θαρρῶμεν, ἀλλὰ καὶ τῆς θεόθεν συνεργείας ἐχώμεθα, καί, ὡς εἶδος ἐπὶ ὕλῃ, τὴν εὐχὴν τῷ ἔργῳ συνάπτωμεν· καὶ τὸ ὅλον τοῦτο, ὅπως ἃ ἐργαζόμεθα καὶ εὐχώμεθα, καὶ ἃ εὐχόμεθα ἐνεργῶμεν· συνάψας εἶπεν, ἀλλ' ἔρχευ ἐπ' ἔργον θεοῖσιν ἐπευξάμενος τελέσαι. Οὔτε γὰρ μόνον προθυμεῖσθαι δεῖ τὰ καλά, ὡς ἐφ' ἑαυτοῖς ὂν κατορθῶσαι, καὶ χωρὶς τῆς τοῦ θεοῦ συνεργείας· οὔτε ψιλοῖς τῆς εὐχῆς τοῖς λόγοις ἀρκεῖσθαι, μηδὲν πρὸς τὴν κτῆσιν τῶν αἰτηθέντων συνεισφέροντας. Οὕτω γὰρ ἢ ἄθεον ἀρετὴν (εἰ οἷόν τε τοῦτο εἰπεῖν) ἐπιτηδεύσομεν, ἢ ἀνενέργητον εὐχήν· ὧν τὸ μὲν ἄθεον ὂν προαναιρεῖ τῆς ἀρετῆς τὴν οὐσίαν, τὸ δὲ ἀργὸν ἐκλύει τῆς εὐχῆς τὸ δραστήριον.

---

qui sit iste *quaternarius numerus*, quantum præsenti expositioni convenit, jam declaratum sit: age ad ea quoque, ad quæ nos progredi jubet carmen, transeamus, hoc primum demonstrato, quali cum desiderio et præparatione et deorum auxilio ad hæc nos accedere oporteat.

XXI. 48-49.

Sed accingere ad opus,
a diis precatus ut perficiant.

Omnia quæ ad bona comparanda faciunt, summatim hic proposuit carmen, animi proprium motum et divinum auxilium. Quamvis enim bonorum electio nostri arbitrii sit, tamen quum ipsum arbitrium a Deo acceperimus, ejus ope ad ea quæ eleginus *perficienda* omnino indigemus. Studium enim nostrum simile est manui ad bona accipienda porrectæ, quod autem a Deo confertur copia et fons bonorum largitionis esse videtur, atque alterum quidem natura duce investigare bona, alterum recte quærenti ostendere: confinium vero nostræ investigationis et largitionis divinæ videntur esse preces, bene se ad causam illam applicantes, quæ nos in lucem edidit atque ad beatitudinem provexit. Sed quomodo quis bona, Deo non largiente, accipiat? quove modo Deus, natura sua liberalis, ei dabit, qui liberam habens appetendi potestatem non petet? Ut igitur nec verbis tantum *preces* fundamus, sed etiam *opere* eas firmemus, neque nostræ solum industriæ confidamus, sed divinum etiam auxilium adhibeamus, et tanquam formam materiæ preces operi adjungamus, atque omnino, ut quæ agimus precemur et quæ precamur agamus, duo ista conjungens dixit, *sed accingere ad opus*, *a diis precatus ut perficiant.* Neque enim promto animo suscipere solum bona debemus, quasi prosper eorum successus etiam sine ope divina penes nos sit, neque nudis precum verbis contenti esse, nihil ipsi ad ea quæ petuntur paranda conferentes. Ita enim aut virtutem Dei expertem (si licet ita dicere) exercebimus, aut preces inertes fundemus; quorum alterum Deo carens virtutis naturam ante tollit, alterum ignavum precum vim frangit. Quo enim modo aliquid erit bonum, quod non secundum divinam regulam fiat? Quî vero id, quod secundum hanc fit, non Dei auxilio prorsus egeat ad nascendum? Virtus enim est Dei imago in animo rationali; imago autem omnis exemplari eget ad formam induendam; neque hæc quærenti sufficit, nisi etiam illud intuetur, ad cujus similitudinem bonum istud sibi comparabit. Eos igitur, qui ad virtutem actuosam aspirant, *precari* oportet, et *precantes* ei quærendæ *operam dare*, hoc autem est, divinum illud splendidumque spectantes agere, et ad sapientiæ studium nos intendere cum assidua ad primam bonorum causam animi attentione. Fons enim perennis naturæ, quaternarius ille numerus, omnibus non solum vitæ sed

Πῶς γὰρ ἔσται τι καλόν, ὃ μὴ πρὸς κανόνα τὸν θεῖον πράττεται: πῶς δὲ τὸ πρὸς τοῦτον πραττόμενον οὐ τῆς ἐκείνου συνεργειας παντως δεῖται πρὸς ὑπόστασιν; Ἔστι γὰρ ἡ ἀρετὴ εἰκὼν θεοῦ ἐν ψυχῇ λογικῇ· εἰκὼν δὲ πᾶσα τοῦ παραδείγματος δεῖται πρὸς γένεσιν, καὶ οὐκ ἀρκεῖ τῷ κτωμένῳ, ἐὰν μὴ καὶ ἐκεῖσε βλέπῃ, οὗ πρὸς ὁμοίωσιν τὸ καλὸν κτήσεται. Σπεύδοντας οὖν πρὸς τὴν ἐνεργὸν ἀρετὴν εὔχεσθαι προσήκει, καὶ εὐχομένους τὴν κτῆσιν ταύτης ἐργάζεσθαι· τοῦτο δ' ἦν, τὸ πρὸς τὸ θεῖον καὶ λαμπρὸν βλέποντας πράττειν, καὶ πρὸς φιλοσοφίαν ἑαυτοὺς συντείνειν, μετὰ τοῦ εὖ ἔχεσθαι τῆς πρώτης αἰτίας τῶν ἀγαθῶν. Ἡ γὰρ πηγὴ τῆς ἀενναάου φύσεως ἡ τετρακτὺς ἐκείνη οὐ μόνον τοῦ εἶναι τοῖς πᾶσιν, ἀλλὰ καὶ τοῦ εὖ εἶναι, αἰώνιος αἰτία καθέστηκε, τὸ οἰκεῖον ἀγαθὸν διὰ παντὸς ἐφαπλώσασα τοῦ κόσμου, οἷον φῶς ἀκήρατον καὶ νοερόν. Ἡ δὲ ταύτης εὖ ἐχομένη ψυχή, καί, ὡς ὄμμα πρὸς ὀξυωπίαν ἑαυτὴν διασμήξασα, ἔκ τε τῆς ἐπιμελείας τῶν καλῶν πρὸς τὴν εὐχὴν ἀνεγείρεται· καὶ πάλιν ἀπὸ τῆς εὐκτικῆς πληρώσεως τὴν σπουδὴν ἐπιτείνει, λόγοις ἔργα συνάπτουσα, καὶ ἔργα σπουδαῖα θείαις διαλέξεσι βεβαιουμένη. Καὶ τὰ μὲν εὑρίσκουσα, τὰ δὲ ἐλλαμπομένη, σπουδάζει τε ἃ εὔχεται, καὶ εὔχεται ἃ σπουδάζει. Τοιαύτη μὲν ἡ τῆς σπουδῆς καὶ τῆς εὐχῆς ἕνωσις. Τί δὲ τὰ δι' ἀμφοτέρων τούτων κατορθούμενα, ἑξῆς ἀκούωμεν.

XXII. 49—51.

— — — — — τούτων δὲ κρατήσας,
γνώσεαι ἀθανάτων τε θεῶν θνητῶν τ' ἀνθρώπων
σύστασιν, ᾗ τε ἕκαστα διέρχεται ᾗ τε κρατεῖται.

Πρῶτον μὲν θεογνωσίαν καὶ θεολογικὴν ἐπιστήμην παρέσεσθαι τοῖς οὕτως ἀχθεῖσι προλέγει, καὶ πάντων τῶν ἀπὸ τῆς ἱερᾶς τετρακτύος ὑποστάντων τὴν ἐπίγνωσιν, μετὰ τῆς κατὰ γένος αὐτῶν διακρίσεως, καὶ τῆς εἰς ἕνα κόσμον ἑνώσεως. Τὴν μὲν γὰρ σύνταξιν αὐτῶν ἐνταῦθα τὸ τῆς συστάσεως ὄνομα δηλοῖ· τὸ δ' ᾗ διέρχεται, τὴν κατ' εἶδος διαφοράν· καὶ τὸ ᾗ κρατεῖται, τὴν κατὰ γένος κοινωνίαν. Φύσει γὰρ διεστῶσα τῶν λογικῶν οὐσιῶν τὰ γένη κατὰ ταύτην τὴν διάστασιν εἰς μίαν κοινωνίαν συνέρχεται. Τῷ γὰρ εἶναι τὰ μὲν πρῶτα, τὰ δὲ μέσα, τὰ δὲ ἔσχατα, διακέκριται ἅμα καὶ ἥνωται. Οὔτε γὰρ τὰ πρῶτα ἂν γένοιτο μέσα, ἢ ἔσχατα· οὔτε τὰ μέσα πρῶτα, ἢ ἔσχατα· οὔτε τὰ ἔσχατα μέσα, ἢ πρῶτα· ἀλλ' ἐν τοῖς δημιουργικοῖς ὅροις ἀϊδίως μένει κατὰ γένος διακεκριμένα. Καὶ οὕτω μὲν τὸ ᾗ ἕκαστα διέρχεται νοοῦμεν. Τὸ δὲ ᾗ ἕκαστα κρατεῖται, πάλιν αὖ τῇδε θεωρήσομεν. Τὸ πᾶν τόδε οὐκ ἂν εἴη τέλειον, μὴ πρῶτα καὶ μέσα καὶ ἔσχατα μέρη ἐν ἑαυτῷ κεκτημένον, ὡς ἀρχὴν καὶ μέσα καὶ τελευτὴν τοῦ ὅλου συστήματος. Καὶ τὰ πρῶτα οὐκ ἂν εἴη πρῶτα, μὴ

---

etiam felicitatis perpetua est causa, bonum proprium per totum mundum, tanquam lucem puram atque intellectualem diffundens. Animus autem, huic rite intentus et se tanquam oculum ad visum acutiorem reddendum detergens, tum bonorum studio ad preces excitatur, tum precibus non sine deorum favore fusis rursus studium illud adauget, quia verbis opera adjungit et opera bona divinis alloquiis confirmat. Ac partim ipse inveniens, partim illuminatus, iis dat operam quæ *precatur*, et *precatur* ea quibus operam dat. Hujusmodi igitur est operæ et *precum* conjunctio. Quæ vero ambarum rerum ope feliciter efficiantur, deinceps audiamus.

XXII. 49—51.

Si vero hæc teneas,
cognosces et immortalium deorum et hominum mortalium
constitutionem, quatenus singula differant et quatenus
communione quadam contineantur.

Primum deorum notitiam theologicamque scientiam iis, qui ita instituti sunt, affore prædicit, atque eorum omnium, quæ a sacro quaternario numero producta sunt, cognitionem, adjuncta eorum secundum genera distinctione et ad hunc mundum constituendum copulatione. Nam συστάσεως nomen hic eorum conjunctionem significat, ᾗ διέρχεται vero differentiam specialem et ᾗ κρατεῖται generis communionem. Etenim suapte substantiâ diversa intelligentium naturarum genera ista diversitate in unam societatem coeunt. Eo ipso enim, quod sunt alia prima, alia media, alia ultima, separantur simul et copulantur. Neque enim ea quæ prima sunt fieri queant media vel ultima; neque quæ media sunt, prima vel ultima; neque quæ ultima, media vel prima : sed intra terminos a conditore constitutos perpetuo manent genere distincta. Atque ita quidem illud, *quatenus singula differant*, intelligimus. Alterum vero, *quatenus singula communione quadam contineantur*, hoc modo rursus considerabimus. Hæc rerum universitas perfecta non esset, nisi primas, medias atque ultimas partes, tanquam principium, medium atque finem totius compagis suæ contineret. Neque enim prima essent prima, nisi mediis et ultimis sequentibus : nec media id essent quod dicuntur, nisi extrema utrinque adjacerent : neque etiam ultima forent ultima, nisi prima et media præcederent. Igitur se mutuo introducunt ad universi perfectionem. Atque hoc est, quod (κρατεῖσθαι) *contineri* a se invicem dicuntur : quatenus quidem specie varia sunt, differentia; quatenus vero mundi unius partes

μέσων καὶ ἐσχάτων αὐτοῖς ἑπομένων, οὐδὲ τὰ μέσα τοῦτ' ἂν εἴη, ὃ λέγεται, μὴ ἄκρων ἑκατέρωθεν αὐτοῖς παρακειμένων· ἀλλ' οὐδὲ τὰ ἔσχατα εἴη ἂν ἔσχατα, μὴ πρώτων καὶ μέσων προηγουμένων. Συνεισάγει οὖν ἄλληλα πρὸς τὴν τοῦ παντὸς τελειότητα. Καὶ τοῦτ' ἦν, τὸ κρατεῖσθαι αὐτὰ ὑπ' ἀλλήλων· ὡς μὲν ἑτεροειδῆ, διαφέροντα· ὡς δὲ ἑνὸς κόσμου μέρη, συνεισιόντα· καὶ αὐτῷ τῷ διεστάναι ἅμα καὶ ἡνῶσθαι τῆς θείας διακοσμήσεως τὴν ὅλην σύστασιν καὶ σύνταξιν πληροῦντα· ἣν γνώσεαι, φησίν, εἰ ἐγκρατὴς γένοιο τῶν προειρημένων καλῶν. Τῶν δὲ ἄκρων γενῶν τῇ μνήμῃ συνεισέρχεται τὰ μέσα· ἀθανάτων γάρ φησι θεῶν θνητῶν τ' ἀνθρώπων σύστασιν. Τὰ δὲ πρῶτα τοῖς ἐσχάτοις διὰ τῶν μέσων συνάπτεται, καὶ τὰ ἔσχατα πρὸς τὰ πρῶτα τῇ μεσότητι τῶν ἀγαυῶν Ἡρώων ἀνατείνεται. Τοιαύτη δὲ καὶ ἡ τάξις τῶν λογικῶν γενῶν ἡ ἐν προοιμίοις παραδέδοται, ὥστ' εἶναι πρῶτοι μὲν ἐν τῷδε τῷ κόσμῳ οἱ ἀθάνατοι Θεοί· ἔπειθ' Ἥρωες ἀγαυοί· καὶ τελευταῖοι Δαίμονες καταχθόνιοι, οὓς νῦν θνητοὺς ἀνθρώπους καλεῖ. Πῶς δὲ ἕκαστον τούτων δεῖ νοεῖν ἤδη ἐν προοιμίοις εἴρηται· τὸ δὲ γνῶσιν τούτων προσλαβεῖν ἐπιστημονικήν, ὧν ἐκ παραδόσεως τὴν τιμὴν προειλήφαμεν, πρακτικὴν ἀρετὴν ἀληθείᾳ θεωρητικῇ κοσμοῦσιν ἐγγίνεται, ἢ καὶ ἀπὸ τῆς ἀνθρωπίνης εὐεξίας ἐπὶ τὴν θείαν ἀρετὴν μεθισταμένοις. Τὸ γὰρ οὕτω γνῶναι τὰ ὄντα, ὡς παρ' αὐτοῦ τοῦ θεοῦ ὑπέστη, ὁμοίωμα ἦν θεῖον κτήσασθαι. Ἐπειδὴ δὲ μετὰ τὴν ἀσώματον διακόσμησιν ἡ σωματικὴ φύσις ὑπόκειται, τὸν ἐμφανῆ τοῦτον συμπληροῦσα κόσμον, καὶ πρὸς τὴν τῶν λογικῶν οὐσιῶν ἡγεμονίαν συντεταγμένη, ἑξῆς τὸ τῆς φυσιολογικῆς ἐπιστήμης ἀγαθὸν ἐπακολουθήσειν μηνύει τοῖς ἐν τάξει προϊοῦσιν ἐπὶ τὰς γνώσεις.

XXIII. 52—53.

Γνώσῃ δ', ἣ θέμις ἐστί, φύσιν περὶ παντὸς ὁμοίην,
ὥστε σε μήτε ἄελπτ' ἐλπίζειν, μήτε τι λήθειν.

Πρὸς τὴν θείαν εὐμετρίαν ἡ φύσις τὸν ἐμφανῆ κόσμον ἀποτυπουμένη, δι' ἀναλογίας τε αὐτὸν ἑαυτῷ πανταχοῦ διαφόρως ὡμοίωσε, καὶ τὸ θεῖον κάλλος ἐνεικονίσατο δι' ὅλων τῶν ἐγκοσμίων εἰδῶν ἄλλως καὶ ἄλλως· ὥστε οὐρανῷ μὲν ἀποδοῦναι τὸ ἀεικίνητον, γῇ δὲ τὸ μόνιμον, ἑκάτερον δὲ τούτων θείας ὁμοιώσεως ἴχνος ἀποφέρεσθαι. Καὶ τῷ μὲν οὐρανίῳ σώματι τὸ πέριξ τοῦ παντὸς ἀπένειμε, τῷ δὲ περιγείῳ τὸ κέντρον. Ἐν δὲ σφαίρᾳ ἄλλως μὲν τὸ κέντρον ἀρχή, ἄλλως δὲ ὁ τοῦ περιέχοντος ὅρος. Ὅθεν τὰ ἄνω μὲν ἄστροις πεποίκιλται, καὶ τοῖς μετ' ἐκεῖνα ζῴοις νοεροῖς· γῆ δὲ φυτοῖς ἐκοσμήθη, καὶ ζῴοις αἰσθήσει μόνῃ χρωμένοις. Μεσότης δὲ τῶν οὕτω διεστηκότων ὁ ἄνθρωπος ἐνορᾶται, ἀμφίβιός τις ὤν, καὶ ἔσχατος μὲν τῶν ἄνω, πρῶτος δὲ τῶν κάτω. Διὸ ποτὲ μὲν τοῖς ἀθανάτοις συμφέρεται, καὶ τῇ πρὸς νοῦν ἐπιστροφῇ τὴν οἰκείαν λῆξιν ἀπολαμβάνει· ποτὲ δὲ τοῖς θνητοῖς εἴδεσι συναγελάζεται, καὶ τῇ τῶν θείων νόμων ἐκβάσει τῆς προσηκούσης αὐτῷ ἀξίας ἀποπίπτει. Ὡς γὰρ ἔσχατος τῶν λογικῶν γενῶν, οὔτε ἀεὶ καὶ ὡσαύτως πέφυκε νοεῖν (οὕτω γὰρ οὐκ ἂν ἦν ἄνθρωπος, ἀλλὰ φύσει θεός·) οὔτε ἀεὶ νοεῖν δύναται, εἰ καὶ μὴ ὡσαύτως· τοῦτο γὰρ αὐτὸν εἰς τὴν ἀγγέλων καθίστησι τάξιν. Νῦν δέ ἐστιν ἄνθρωπος ὁμοιώσει μὲν πρὸς τὸ βέλτιον ἀχθῆναι δυνάμενος, φύσει δὲ ὑποβεβηκὼς τῶν ἀθανάτων θεῶν, καὶ τῶν ἀγαυῶν ἡρώων, ὡς ἐγκοσμίων πρώτων καὶ μέσων γενῶν. Ὥσπερ γὰρ τούτων ὑπέβη τῷ μὴ ἀεὶ νοεῖν, ἀλλ' ἐν ἀγνοίᾳ ποτὲ καὶ λήθῃ γίνεσθαι τῆς ἑαυτοῦ οὐσίας, καὶ τῆς θεόθεν κατιούσης εἰς

sunt, coeuntia; atque ipsa distinctione simul et conjunctione totam divini operis constitutionem et ordinationem consummantia; quam *cognosces*, inquit, si bona illa ante dicta obtineas. Extremorum vero generum mentione simul comprehenduntur media; dicit enim, *immortalium deorum mortaliumque hominum constitutionem*. Prima autem cum ultimis per media connectuntur; atque ultima ad prima per illustrium heroum interventum porriguntur. Talis etiam est ille generum ratione præditorum ordo in carminis procemio traditus, ut primi in hoc mundo sint *Dii immortales*, deinde Heroes illustres, et ultimi Genii terrestres, quos *mortales homines* nunc appellat. Quomodo vero horum generum singula sint intelligenda, jam in procemio hujus commentarii dictum est: sed eorum notitiam litteris adipisci, quorum honorem a majoribus traditum prius accepimus, iis licet, qui virtutem activam veritate contemplativa exornant, aut etiam ab humani habitus bonitate ad divinam virtutem provecti sunt. Ita enim nosse res, ut sunt ab ipso Deo creatæ, est divinam similitudinem consequi. Quandoquidem vero illam incorporeorum constitutionem longo intervallo post sequitur corporea natura, quæ aspectabilem hunc mundum complet atque ad intelligentium naturarum nutum et arbitrium composita est, declarat deinceps eos physiologicæ scientiæ bonum esse adepturos, qui ad rerum cognitionem ordine procedunt.

XXIII. 52—53.

Cognosces etiam, quoad fas est, naturam ex omni parte sui similem:
ut nec speres quæ speranda non sunt, nec te quidquam lateat.

Ad divinæ mensuræ speciem natura aspectabilem hunc mundum effingens proportione quadam cum variis modis sui similem effecit divinamque pulchritudinem in omnibus formis mundanis aliter atque aliter expressam spectavit, ita ut, quum perpetuum cœlo motum dederit, terræ

αὐτὸν ἐλλάμψεως· οὕτω τῷ μὴ μένειν ἀεὶ ἐν τῇ ἀγνοίᾳ ὑπερέχει ζῴων ἀλόγων καὶ φυτῶν, καὶ ὅλης τῆς περιγείου καὶ θνητῆς φύσεως ἀναβέβηκε κατ' οὐσίαν, ὡς ἐπιστρέφειν πρὸς τὸν θεὸν πεφυκώς, καὶ ἀναμνήσει τὴν λήθην ἀφανίζειν, καὶ διδασκαλίᾳ προσλαμβάνειν ἃ ἀπέβαλε, καὶ τὴν ἄνωθεν φυγὴν τῇ ἀντιστρόφῳ φυγῇ ἰᾶσθαι. Προσήκει οὖν τῇ ἀνθρωπίνῃ οὐσίᾳ τοιαύτῃ οὔσῃ, γνῶναι τὴν σύστασιν τῶν ἀθανάτων θεῶν θνητῶν τ' ἀνθρώπων· τουτέστι, τῶν λογικῶν γενῶν τὴν διάταξιν· γνῶναι δὲ καὶ τὴν φύσιν, τὴν περὶ παντὸς ὁμοίην· τουτέστι, τὴν σωματικὴν οὐσίαν, τὴν ἄνωθεν μέχρι τῶν τελευταίων δι' ἀναλογίας καὶ ἐμφάσεως θείας κοσμηθεῖσαν· γνῶναι δὲ ταῦτα πάντα ᾗ θέμις ἐστί, τοῦτ' ἔστι, νόμῳ ὡς διάκεινται, καὶ οὕτως ὡς ὑπέστη παρὰ τοῦ θεοῦ, καὶ ὃν τρόπον τοῖς ἐκείνου νόμοις ἐστὶ διατεταγμένα, εἴτε σώματα, εἴτε ἀσώματα. Κατὰ κοινοῦ γὰρ ἐπ' ἀμφοτέρων τῶν ποιήσεων τὸ ᾗ θέμις ἐστίν, ἀκουστέον. Οὐ γὰρ ἀλογίστοις προθυμίαις εἴκοντας μεταφέρειν δεῖ τὴν ἀξίαν τῶν πραγμάτων πρὸς τὸ ἡμῖν δοκοῦν· ἀλλὰ τοῖς τῆς ἀληθείας ὅροις ἑπομένους γινώσκειν τὰ ὄντα πάντα, ᾗ θέμις ἐστί, καὶ ὡς ὁ τῆς δημιουργίας θεσμὸς ὥρισεν ἕκαστα. Ἐκ δὲ τούτων τῶν δύο γνώσεων, τῆς τε περὶ τὴν ἀσώματον ποίησιν τοῦ θεοῦ, καὶ τῆς περὶ τὴν σωματικήν, κάλλιστον ἐπανθεῖ πόρισμα, τὸ μήτε ἄελπτ' ἐλπίζειν, μήτε τι λήθειν. Ἐκ γὰρ τοῦ λανθάνειν ἡμᾶς τὴν οὐσίαν τῶν πραγμάτων ἀπογίνεται καὶ τὸ ἄελπτ' ἐλπίζειν, καὶ τὸ ἀδύνατα περινοεῖν. Οἷον, εἴ τις ἄνθρωπος ὢν τῶν ἀθανάτων θεῶν ἐλπίζει γενέσθαι, ἢ τῶν ἀγαυῶν ἡρώων, οὗτος οὐκ οἶδε τοὺς ὅρους τῆς φύσεως, οὔτε τῶν ὄντων πρῶτα καὶ μέσα καὶ ἔσχατα διεστείλατο. Καὶ πάλιν, εἴ τις τὴν ἑαυτοῦ ψυχὴν συναποθνήσκειν οἴεται τῷ θνητῷ σώματι, ἀγνοίᾳ τῆς προσούσης ἀθανασίας τῇ ἡμετέρᾳ ψυχῇ, προσδοκᾷ ἃ μὴ δεῖ, μηδὲ οἷά τε γενέσθαι. Ὁμοίως δὲ καὶ ὁ θηρίου μεταμφιάσασθαι σῶμα ἐλπίζων, καὶ ζῷον ἄλογον γενέσθαι διὰ κακίαν, ἢ καὶ φυτὸν δι' ἀργίαν αἰσθήσεως, καὶ οὗτος ἀντιστρόφως τοῖς εἰς τὰ ἄνω γένη μεταβάλλουσι τὴν τοῦ ἀνθρώπου οὐσίαν πρὸς τὰ κάτω αὐτὴν συνωθεῖ, πεπλανημένος καὶ μὴ νοῶν τὸ ἀμετάβλητον τοῦ κατ' οὐσίαν ὑπάρχοντος εἴδους τῇ ἀνθρωπίνῃ ψυχῇ. Ἀεὶ γὰρ μένουσα ἄνθρωπος, τῇ τῆς ἀρετῆς καὶ κακίας ἀνὰ μέρος κτήσει, θηρίον λέγεται ἢ θεὸς γίνεσθαι· φύσει

---

vero stabilitatem, horum tamen utrumque divinæ similitudinis vestigium auferret. Ac cœlesti quidem corpori universitatis ambitum tribuit, terreno autem centrum. In sphæra vero alio modo centrum est principium, alio peripheriæ terminus. Unde superiora astris et post illa animantibus intellectu præditis varie distincta et instructa sunt, terra autem plantis ornata et animantibus quæ solo sensu utuntur. Medius vero inter hæc sic distantia cernitur homo quasi ancipitis vitæ animal ac superiorum infimus, primus autem inferiorum. Quo fit ut aliquando cum immortalibus versetur et ad mentem conversus propriam sortem recuperet, aliquando vero cum mortalibus speciebus congregetur ac divinas leges egressus consentanea sibi dignitate excidat. Nam quum generum ratione præditorum ultimus sit, nec natura talis est, ut semper eodemque modo intelligat (sic enim non homo, sed natura Deus esset), nec semper, etsi non eodem modo intelligere potest; hoc enim eum Angelorum ordini ascribit. Nunc autem talis est homo, ut ad similitudinem quidem ejus quod præstantius est accedere possit, naturâ vero diis immortalibus atque illustribus heroibus, ut primis et mediis generibus mundanis, inferior sit. Quemadmodum autem his idcirco inferior est, quia non semper intelligit, sed suæ aliquando naturæ et lucis divinitus in ipsum descendentis inscitia et oblivione laborat : sic bruta animalia et plantas superat, quod non semper in ignorantia manet, totâque terrenâ et mortali naturâ, suâ substantiâ, superior est, quippe qui naturâ ita comparatus sit, ut ad Deum converti queat et recordatione oblivionem dispellere doctrinâque ea recuperare quæ amisit et fugæ rerum supernarum contrariâ fugâ mederi. Humanam igitur mentem, quum talis sit, decet nosse Deorum immortalium et hominum mortalium constitutionem, id est generum ratione præditorum ordinationem, nosse etiam *naturam omni ex parte sui similem*, id est, corpoream substantiam, a summo genere usque ad infimum proportione specieque divina exornatam : *nosse* autem hæc omnia, *quoad fas est*, hoc est, ut lege disposita sunt et quemadmodum a Deo creata et quomodo legibus ejus ordinata sunt, sive corpora sint, sive incorporea. Communiter enim de utroque Dei opificio intelligendum est illud, *quoad fas est*. Oportet enim nos non cæco animi impetu abreptos rerum dignitatem ad nostræ opinionis arbitrium accommodare, sed ad veritatis regulas animum attendentes *pernoscere res omnes, quoad fas est*, eoque modo quo lex creationis singula constituit. Ex duplici autem hac cognitione operum Dei incorporeorum corporeorumque optimum oritur ejusmodi consectarium, *ut nec speremus quæ speranda non sunt, neque quidquam nos lateat*. Namque ex ignorata rerum natura illa etiam sequitur a recta ratione defectio, ut et ea *speremus, quæ speranda non sunt*, et ea mente agitemus quæ fieri non possunt. Verbi gratia, si quis, quum homo sit, se in deorum immortalium vel heroum illustrium nu-

δὲ οὐδέτερον, ἀλλὰ σχέσει τῆς πρὸς ἑκάτερον ὁμοιώσεως. Καὶ ὅλως ὁ τὴν προσοῦσαν ἀξίαν ἑκάστῳ τῶν ὄντων μὴ εἰδώς, ἀλλ' εἴτε ὑπερβάλλων αὐτῆς ἢ ἐλλείπων, τὴν ἄγνοιαν ταύτην ἀφορμὴν τῆς ὑποκένου δόξης καὶ ἀέλπτου ἐλπίδος πεποίηται. Ὁ δὲ ἐν τοῖς δημιουργικοῖς μέτροις ἕκαστα ἀφορίζων, καὶ γιγνώσκων τὰ ὄντα, ᾗ γέγονε, καὶ παραμετρῶν τῷ θεῷ τὴν ἑαυτοῦ γνῶσιν· οὗτος τὸ Ἕπου θεῷ μάλιστα τηρεῖ, καὶ τὸ, Ἄριστον μέτρον, οἶδε, καὶ τῆς ἀνεξαπατήτου ἐλπίδος τυγχάνει

XXIV. 54—60.

Γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας
τλήμονας, οἵ τ' ἀγαθῶν πέλας ὄντων οὔτ' ἐσορῶσιν,
οὔτε κλύουσι· λύσιν δὲ κακῶν παῦροι συνίσασι.
Τοίη μοῖρα βροτῶν βλάπτει φρένας· ὡς δὲ κύλινδροι
ἄλλοτ' ἐπ' ἄλλα φέρονται, ἀπείρονα πήματ' ἔχοντες·
λυγρὴ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθε
σύμφυτος, ἣν οὐ δεῖ προάγειν, εἴκοντα δὲ φεύγειν.

Τῆς τῶν ἀσωμάτων καὶ σωματικῶν γενῶν καλῶς γνωσθείσης διατάξεως, ἕπεται καὶ τὴν ἀνθρώπου οὐσίαν ἀκριβῶς γνωρίζεσθαι, οἵα τε οὖσα τυγχάνει, καὶ οἵων δεκτικὴν παθημάτων· καὶ ὅτι ἐν μεθορίῳ ἐστὶ τῶν τε ἀπτώτων εἰς κακίαν, καὶ τῶν πρὸς ἀρετὴν οὐ πεφυκότων ἀνάγεσθαι· διὸ καὶ ἐπαμφοτερίζει ταῖς σχέσεσιν, ὁτὲ μὲν ἐκεῖ ζῶσα τὴν νοερὰν εὐζωΐαν, ὁτὲ δὲ ἐνταῦθα τὴν αἰσθητικὴν ἐμπάθειαν προσλαμβάνουσα. Ἔνθεν καὶ λέγεται ὀρθῶς ὑπὸ Ἡρακλείτου, ὅτι ζῶμεν τὸν ἐκείνων θάνατον, τεθνήκαμεν δὲ τὸν ἐκείνων βίον. Κάτεισι γὰρ καὶ ἀποπίπτει τῆς εὐδαίμονος χώρας ὁ ἄνθρωπος, ὡς Ἐμπεδοκλῆς φησιν ὁ Πυθαγόρειος

— φυγὰς θεόθεν, καὶ ἀλήτης.
Νείκεϊ μαινομένῳ πίσυνος. —

Ἄνεισι δέ, καὶ τὴν ἀρχαίαν ἕξιν ἀπολαμβάνει, εἰ φύγοι τὰ περὶ γῆν καὶ τὸν ἀτερπέα χῶρον, ὡς ὁ αὐτὸς λέγει,

Ἔνθα φόνος τε κότος τε καὶ ἄλλων ἔθνεα κηρῶν·

εἰς ὃν οἱ ἐμπεσόντες

Ἄτης ἂν λειμῶνα κατὰ σκότος ἠλάσκουσι.

Ἡ δὲ ἔφεσις τοῦ φεύγοντος τὸν τῆς Ἄτης λειμῶνα πρὸς τὸν τῆς ἀληθείας ἐπείγεται λειμῶνα· ὃν ἀπολιπών, τῇ ὁρμῇ τῆς πτερορρυήσεως εἰς γήινον ἔρχεται σῶμα ὀλβίου αἰῶνος ἀμερθείς. Τούτοις δὲ καὶ ὁ Πλάτων ἐστὶ σύμφωνος, περὶ μὲν τῆς καθόδου ταυτὶ λέγων· ὅταν δὲ ἀδυνατήσασα ἐπισπέσθαι μὴ ἴδῃ, καί τινι συντυχίᾳ χρησαμένη πτερορρυήσῃ τε καὶ ἐπὶ τὴν

---

merum venire posse *sperat*, is naturæ terminos non novit, neque prima ab iis, quæ media et ultima sunt in rerum compage distinguit. Et rursus, si quis animi nostri immortalitatem ignorans, animum suum una cum mortali corpore interiturum esse opinatur, is ea exspectat, quæ exspectanda non sunt quæque fieri non possunt. Similiter vero, qui feræ corpus se induturum *sperat*, et brutum animal fore ob vitiositatem, aut etiam plantam ob sensûs stuporem, hic quoque, contra quam illi, qui hominis naturam in superiora genera mutant, eam detrudit ad inferiora, deceptus utique et ignorans immutabilitatem formæ istius, quæ ad animi humani naturam pertinet. Hic enim semper homo permanens virtutis et vitii alterna possessione deus aut bestia fieri dicitur, quum natura neutrum sit, sed habitu tantum, ob eam quam cum eorum alterutro habet similitudinem. Atque omnino quicunque singularum rerum dignitatem non novit, sed eam vel excedit vel non assequitur, ignorantiam hanc vanæ opinionis et *falsæ spei* occasionem facit. Qui vero singula modis ab opifice Deo constitutis distinguit, et quemadmodum res creatæ sint *cognoscit*, ac sui ipsius *cognitionem* ad Dei normam dirigit : is maxime illud, *Deum sequere*, observat, et alterum illud, *modus optima rerum*, novit, ac spem nanciscitur minime falsam.

XXIV. 54—60.

Cognosces autem homines malis ultro arcessitis obrutos,
miseros, qui bona quum prope sint nec vident,
nec audiunt : paucique sciunt e malis se expedire.
Tale fatum lædit mortalium mentes; illi vero cylindrorum instar
huc illuc volvuntur, infinitis malis oppressi.
Gravis enim comes latenter nocet contentio
innata, quam provocare non decet, sed cedendo evitare.

Incorporeorum corporeorumque generum ordinatione probe intellecta, sequitur ut qualis hominis natura sit et quibus perturbationibus obnoxia accurate cognoscamus discamusque eam in confinio esse eorum quæ in vitium prolabi nequeunt et eorum quæ natura sua ad virtutem evehi non possunt : unde et utrumque habitum induit, aliquando intellectualem ibi vitam feliciter agens, aliquando sensibiles affectus hic assumens. Quapropter recte Heraclitus dicit, nos illorum mortem vivere, mortuos autem esse illorum vitam. Descendit enim *homo* atque e felici regione excidit, ut Empedocles Pythagoreus ait :

— e cœlo profugus et exsul,
Discordiæ furenti parens.

Ascendit vero et antiquum statum recuperat, si terrestria fugerit et *illætabilem sedem*, ut idem dicit :

γῆν πέσῃ, τότε νόμος αὐτὴν εἰς ζῷον θνητὸν εἰσοικίζεσθαι. Περὶ δὲ τῆς ἀνόδου ταῦτα· ὅτι τὸν ὕστερον προσφύντα ὄχλον ἐκ γῆς, καὶ ὕδατος, καὶ ἀέρος, καὶ πυρός, θορυβώδη καὶ ἄλογον ὄντα, λόγῳ κρατήσας ὁ ἄνθρωπος, εἰς τὸ τῆς προτέρας καὶ ἀρίστης ἀφικνεῖται εἶδος ἕξεως· ὅτε καὶ εἰς τὸ σύννομον ἄστρον ἀνάγεται ὑγιὴς καὶ ὁλόκληρος γενόμενος. Ὑγιὴς μὲν τῇ τῶν παθῶν, ὡς νοσημάτων, ἀπαλλαγῇ, ὃ διὰ τῆς πολιτικῆς ἀρετῆς παραγίνεται· ὁλόκληρος δέ, τῇ νοῦ καὶ ἐπιστήμης, ὡς οἰκείων μερῶν, ἀναλήψει, ὃ διὰ τῆς θεωρητικῆς ἀληθείας κατορθοῦσθαι πέφυκε. Καὶ πάλιν, ὡς δέοι τῇ ἐντεῦθεν φυγῇ τὴν ἀπὸ τῶν κρειττόνων γενομένην ἀπόστασιν ἐξιάσασθαι, σαφῶς παρίστησι, φυγὴν τῶν τῇδε κακῶν τὴν φιλοσοφίαν ὁριζόμενος. Συμπεφυκέναι γὰρ τὰ πάθη μόνοις τοῖς θνητοῖς ἀποφαίνεται διὰ τούτων· ἀλλ' οὐδὲ ἀπολέσθαι τὰ κακὰ δυνατόν, οὔτε ἐν θεοῖς εἶναι, περὶ δὲ τόνδε τὸν τόπον καὶ τὴν θνητὴν φύσιν περιπολεῖ ἐξ ἀνάγκης. Τοῖς γὰρ ἐν γενέσει καὶ φθορᾷ πάντως που καὶ τὸ παρὰ φύσιν διατεθῆναι δύνασθαι παρέπεται· ὅπερ ἦν τῶν κακῶν ἀρχή. Πῶς δὲ δεῖ ταῦτα φεύγειν ἐπάγει· διὸ δεῖ ἐνθένδε ἐκεῖσε φεύγειν· φυγὴ δὲ ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ· ὁμοίωσις δέ, δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι. Τὸν γὰρ ἀποδρᾶναι βουλόμενον τὰ κακὰ τὴν θνητὴν φύσιν πρῶτον ἀποστραφῆναι δεῖ· οὐ γὰρ οἷόν τε ταύτῃ συμπεφυρμένους μὴ καὶ τῶν ἑπομένων αὐτῇ κακῶν ἐξ ἀνάγκης ἀναπίμπλασθαι. Ὥσπερ οὖν ἡ θεόθεν φυγὴ καὶ ἡ πτερορρύησις τῶν κουφιζόντων ἡμᾶς πρὸς τὰ ἄνω πτερῶν εἰς τὸν τῶν θνητῶν ἤνεγκε τόπον, οἷς τὰ κακὰ συνεισέρχεται· οὕτω καὶ ἡ τῆς θνητῆς προσπαθείας ἀποβολή, καὶ ἡ τῶν ἀρετῶν, οἷον πτερῶν τινων, ἔκφυσις πρὸς τὸν τῶν κακῶν καθαρὸν τόπον, πρὸς τὴν θείαν εὐζωίαν, ἡμᾶς ἀνάξει. Μέση γὰρ οὖσα ἡ τοῦ ἀνθρώπου οὐσία τῶν τε ἀεὶ νοούντων τὸν θεὸν καὶ τῶν μηδέποτε νοεῖν πεφυκότων ἄνεισί τε πρὸς ἐκεῖνα, καὶ κάτεισι πρὸς ταῦτα, νοῦ κτήσει καὶ ἀποβολῇ πρὸς τὴν θείαν ὁμοίωσιν καὶ τὴν θήρειον διὰ τὸ τῆς φύσεως ἀμφίβιον, ἀνὰ μέρος ἐπειγομένη. Ταῦτ' οὖν ὁ περὶ τῆς ἀνθρωπίνης ἐγνωκὼς οὐσίας οἶδε πῶς αὐθαίρετα πήματ' ἔχουσιν οἱ ἄνθρωποι, καὶ πῶς τλήμονες καὶ τάλανες ταῖς ἑαυτῶν αἱρέσεσι γίνονται. Ποτὲ μὲν γάρ, ἔτι δυνάμενοι μένειν ἐκεῖ, προπετείᾳ ὁρμῆς εἰς γένεσιν κατασύρονται· ποτὲ δέ, δυνάμενοι θᾶσσον ἐντεῦθεν ἀπολύεσθαι, αὐτοὶ ἑαυτοὺς ταῖς ἀμετρίαις τῶν παθῶν καταπλέκουσι. Καὶ τοῦτο ἦν τὸ τῶν ἀγαθῶν πέλας ὄντων μήτε δρᾶν μήτε ἀκούειν· ἵνα ἀγαθὰ μὲν ἀρετὴ καὶ ἀλήθεια νῦν λέ-

---

ubi Cædes et Simultas et aliorum agmina Fatorum;
in quam qui inciderint
Noxæ per pratum perque tenebras vagantur.

Desiderium autem ejus, qui fugit *Noxæ pratum*, ad veritatis pratum propere contendit; quod quum reliquit, pennarum defluvii impetu in terrenum corpus venit, felici *vita privatus*. His consentanea habet etiam Plato, de descensu hæc tradens : *Quum vero viribus ad assequendum non valens* [animus] *Deum minime videt, et infortunio aliquo pennarum defluvium passus in terram decidit, tum lex eum jubet in mortale animal induci*. De ascensu autem hæc : *Hominem, quum molem postea tractam ex terra, aqua, aere et igne, turbulentam et rationis expertem, ratione superaverit, ad prioris optimique habitûs formam pervenire; quando etiam ad astrum ipsi congruens redit, sanus atque integer factus. Sanus* quidem, quia ab affectibus tanquam morbis liberatus sit, quod virtutis civilis munus est, *integer* autem, mentis et scientiæ, tanquam propriarum partium, recuperatione, quod contemplativæ veritatis ope rite perficitur. Et rursus idem Plato defectionem a diis nostrâ hinc fugâ persanandam esse plane docet, philosophiam malorum, quæ hic sunt, fugam esse definiens. Animi enim perturbationes mortalibus solis insitas esse his verbis declarat : *At neque mala perire possunt, nec in diis esse, sed circa hunc locum et naturam mortalem necessario versantur*. Namque iis, quæ generationi et corruptioni obnoxia sunt, omnino accidit, ut præter naturam affici possint, quod malorum est principium. Sed quo pacto hæc fugienda sint, subjungit : *Quapropter hinc illuc confugere oportet, fuga autem est similitudo cum Deo, quatenus homini fas est, similitudo vero, justitia et sanctitas cum prudentia conjuncta*. Imprimis enim mortalem naturam eum aversari decet, qui mala vult effugere, quum non possint commixti cum hac non impleri necessario malis quæ eam comitantur. Quemadmodum igitur fuga a Deo et pennarum, quæ ad superiora nos evehunt, defluvium in locum mortalium, quibus mala adhærent, nos deduxit : sic etiam mortalium affectionum rejectio, et virtutum, tanquam pennarum, ortus ad locum a malis purum divinæque vitæ felicitatem nos reducet. Quum enim homo natura medius sit inter ea quæ Deum semper noverunt et ea quæ ad cognoscendum nunquam apta sunt, ad illa ascendit et ad hæc descendit, prout intelligentiam aut retinet aut amittit, atque ad divinam belluinamve similitudinem propter naturam ancipitem per vices contendit. Is igitur qui hujusmodi esse *humanam naturam intellexit*, scit quomodo *malis ultro arcessitis obruantur homines*, et quomodo *infelices et miseri suis ipsorum consiliis fiant*. Aliquando enim, quum adhuc ibi manere possent, præcipiti desiderio in hunc mundum detrahuntur; ali-

γηται· τὸ δὲ μὴ ὁρᾶν πέλας ὄντα, τὸ μὴ δι' ἑαυτοῦ ἀνακινεῖσθαι πρὸς εὕρεσιν τῶν καλῶν· καὶ τὸ μὴ ἀκούειν, τὸ ταῖς παρ' ἄλλων διδασκαλίαις μὴ ὑπήκοον γίνεσθαι. Διπλῆ γὰρ ἡ τῆς ἐπιστήμης ἀνάληψις· ἢ διὰ μαθήσεως, ὡς δι' ἀκοῆς· ἢ δι' εὑρέσεως, ὡς δι' ὁράσεως. Αὐθαίρετα οὖν πήματα ἔχειν λέγονται οἱ μήτε μανθάνειν παρ' ἄλλων μήτε εὑρίσκειν δι' ἑαυτῶν ἐθέλοντες, ὡς τῆς συναισθήσεως τῶν ἀγαθῶν ἀμοιροῦντες, καὶ διὰ τοῦτο πάντη ἀχρεῖοι. Ὃς γὰρ ἂν μήτ' αὐτὸς νοέῃ, μήτ' ἄλλου λέγοντος ἐν θυμῷ βάλληται, ἐκεῖνος δ' αὖτ' ἀχρήϊος ἀνήρ. Οἱ δὲ παρὰ τῶν ἄλλων μανθάνειν τε καὶ εὑρίσκειν ἔργον πεποιημένοι, οὗτοί εἰσιν οἱ τῶν κακῶν τὴν λύσιν συνιέντες, καὶ φυγῇ τῶν τῇδε πόνων εἰς τὸν ἐλεύθερον αἰθέρα μετοικιζόμενοι. Ὀλίγοι δέ εἰσιν οἱ τοιοῦτοι. Οἱ γὰρ πλεῖστοι κακοί, καὶ τῆς θνητῆς προσπαθείας ἥττους, καὶ φρενοβλαβεῖς ὑπὸ τῆς εἰς γῆν νεύσεως γενόμενοι· ὡς καὶ τοῦτο παρ' ἑαυτῶν τὸ κακὸν ἔχειν, διὰ τὸ βουληθῆναι φυγεῖν ἀπὸ θεοῦ, καὶ ἀπομερίσαι αὐτοὺς τῆς τούτου ὁμιλίας, ἧς εὐτύχουν ἐν αὐγῇ καθαρᾷ διάγοντες. Τὸν γὰρ ἀπὸ θεοῦ χωρισμὸν ἡ βλάπτουσα τὰς φρένας μοῖρα νῦν δηλοῖ. Οὐ γάρ ἐστιν ἢ μὴ ἀνοηταίνειν τὸν τοῦ θεοῦ γενόμενον ἔρημον, ἢ μὴ ἔρημον εἶναι θεοῦ, τὸν εἰς ἄνοιαν ἐκπεσόντα. Τὸν γὰρ ἀνόητον ἀνάγκη καὶ ἄθεον εἶναι, καὶ τὸν ἄθεον ἀνόητον. Ἀμφότεροι δέ, ὡς μὴ πρὸς τὸν ἔρωτα τῶν καλῶν ἐγηγερμένοι, ἀπείρονα πήματ' ἔχουσιν, οἷον κύλινδροι ταῖς καταγώγοις πράξεσιν ἄλλοτε ἄλλοις κακοῖς συμφερόμενοι, καὶ μὴ ἔχοντες ὅ, τι χρήσονται ἑαυτοῖς, διὰ τὸ πάσαις ταῖς τύχαις ἀπαιδεύτως προσφέρεσθαι· νῦν μὲν ἐξυβρίζοντες ἐν πλούτῳ, νῦν δὲ ἐν πενίᾳ κακουργοῦντες, καὶ πρὸς λῃστείαν μὲν ὑπὸ ῥώμης σώματος ἐκφερόμενοι, πρὸς δὲ βλασφημίαν ὑπὸ ἀσθενείας καὶ νοσημάτων· τήν τε ἀπαιδίαν ὀδυρόμενοι, καὶ τὴν πολυπαιδίαν ἀφορμὴν πολέμων καὶ αἰσχροκερδείας ποιούμενοι. Καὶ ἁπλῶς εἰπεῖν, οὐκ ἔστι τι τῶν ἐν τῷ βίῳ, ὃ μὴ πρὸς ἀφορμὴν κακοῦ τοῖς ἀνοήτοις γίνεται, πανταχόθεν στενοχωρουμένοις ὑπὸ τῆς αὐθαιρέτου κακίας, καὶ τοῦ μὴ ἀναβλέπειν πρὸς τὸ θεῖον φῶς, μηδ' ἐπαΐειν ἐθέλειν τῶν ὄντως ἀγαθῶν· ἀλλὰ καταδεδυκότας εἰς τὴν θνητὴν προσπάθειαν ὡς ἐν κλύδωνι τῷ

---

quando vero, quum hinc citius possent discedere, ipsi se immodicis affectibus implicant. Hoc autem est illud, *bona, quum in propinquo sint, nec videre neque audire*, ut bona hoc loco dicantur virtus et veritas, *non videre* autem, *quum in propinquo sint*, sit non per se incitari ad bona investiganda, denique *non audire,* aliorum monitis non auscultare. Duplex enim est scientiæ comparandæ via; aut per disciplinam, tanquam per auditum; aut per inventionem, tanquam per visum. Illi igitur *malis ultro arcessitis obrui* dicuntur, qui neque ab aliis discere, neque per se invenire volunt, quippe qui bonorum sensu careant ideoque prorsus inutiles sint. Nam qui nec per se sapit, nec alteri monenti obedit, is vero homo inutilis est. Qui autem id egerunt, ut aliorum auxilio aliquid discerent atque invenirent, ii sunt qui e *malis se expedire sciunt*, et laborum, qui hic sunt, fuga in liberum ætherem commigrant. Sed pauci sunt ejusmodi. Plerique enim omnes sunt mali et affectionibus mortalibus obnoxii et sua in terram inclinatione vecordes facti, ita ut hoc etiam malum ex se ipsis nanciscantur, quod a Deo fugere volunt seque ab ejus consuetudine sejungere, qua feliciter fruebantur, quamdiu in pura luce degebant. Separationem enim a Deo *fatum* illud, quod *mentes lædit*, hic significat. Fieri enim non potest, ut vel non desipiat, qui Deo destitutus sit, vel Deo non sit destitutus, qui in amentiam inciderit. Est enim necesse et insipientem Deo carere, et Deo carentem desipere. Utrique autem, ut qui ad bonorum studium excitati non sint, *infinita mala patiuntur,* flagitiis deorsum rapientibus tanquam *cylindri, alias aliis malis* implicati, et incerti quid agant, quia in omni fortuna imperite se gerunt; nunc divitiis insolescentes, nunc propter paupertatem malefici, atque ad latrocinia corporis viribus, ad maledicta autem imbecillitate et morbis incitati; orbitatem deplorantes, liberorum autem multitudinem bellorum et turpis lucri prætextum facientes. Atque ut verbo dicam, nihil est in vita quod non amentibus mali occasionem præbeat, qui anguntur undique vitiis *ultro arcessitis* eoque quod neque lucem divinam intueri volunt, neque ea audire quæ vere bona sunt; sed mortalibus affectionibus immersi in vita, tanquam in procella, agitantur. At horum una liberatio est conversio ad Deum, quam illi inveniunt, qui animi oculum atque aurem ad bonorum recuperationem erigunt quique malo quod naturam nostram comitatur facultate sursum tollente medentur. Est vero nobis *insitum* simul et arcessitum *malum* liberi arbitrii motus præter naturam, quo *contendere* et divinis legibus repugnare conamur, minime sentientes, quantum nos ipsos lædamus eo ipso quod adversari Deo videmur; sed hoc tantum occæcati animadvertentes, potuisse nos leges ejus aspernari. Hoc utique est liberi arbitrii nimia et immodica licentia uti, quod a Deo recedere et *gravem contentionem* adversus eum suscipere audemus, qua cum eo litigamus quodammodo nitimurque, si ille dicat, Hoc ne facias, id ipsum maxime facere, et si rursus dicat, Hoc facito, id ipsum non facere, ut illi utrimque misc-

βίῳ φέρεσθαι. Τούτων δὲ λύσις μία ἡ πρὸς Θεὸν ἐπιστροφή, ἣν ἐξευρίσκουσιν οἱ τὸ ὄμμα τῆς ψυχῆς καὶ τὸ οὖς πρὸς τὴν τῶν ἀγαθῶν ἀνάληψιν ἐπεγείροντες, καὶ τὸ παρεπόμενον τῇ οὐσίᾳ ἡμῶν κακὸν τῇ ἀναγωγικῇ δυνάμει θεραπεύοντες. Ἦν δὲ συμφυὲς ἅμα καὶ ἐπίκτητον ἡμῖν κακὸν ἡ τοῦ αὐτεξουσίου παρὰ φύσιν κίνησις, καθ' ἣν ἐρίζειν τε καὶ ἐναντιοῦσθαι τοῖς θείοις νόμοις πειρώμεθα, οὐδὲ ἐπαισθανόμενοι ὅσον ἑαυτοὺς βλάπτομεν διὰ τοῦ δοκεῖν ἀντιτείνειν Θεῷ· ἀλλὰ μόνον τοῦτο τυφλῶς ὁρῶντες, ὅτι ἐδυνήθημεν ἀφηνιάσαι τῶν ἐκείνου θεσμῶν. Καὶ τοῦτο ἦν τὸ πολλῷ τῷ αὐτεξουσίῳ χρήσασθαι καὶ ἀμέτρῳ, τὸ τολμᾶν ἀφίστασθαι Θεοῦ, καὶ τὴν λυγρὰν ἔριν πρὸς αὐτὸν ἀναδέχεσθαι, καθ' ἣν ἐρίζομεν τρόπον τινὰ καὶ φιλονεικοῦμεν, ἐκείνου λέγοντος, Μὴ ποιήσῃς τόδε, τοῦτο αὐτὸ μάλιστα ποιεῖν ἐθέλειν· καὶ πάλιν αὖ, εἰ ἐκεῖνος λέγοι, Ποίησον τόδε, αὐτὸ τοῦτο μὴ ποιεῖν· ἵνα ἑκατέρωθεν τῆς ἀθλιότητος ἑαυτοὺς πληρώσωσιν οἱ τὸν θεῖον νόμον ἐκβαίνοντες, τῷ τε μὴ ποιεῖν τὰ προστεταγμένα, καὶ τῷ ποιεῖν τὰ ἀπηγορευμένα. Τί οὖν πρὸς τὴν λυγρὰν ταύτην ἔριν, τὴν συνοπαδὸν ἅμα καὶ σύμφυτον λεγομένην, ἐξευρήσομεν, τὴν ἐκ τοῦ ἐφ' ἡμῖν παρὰ φύσιν διατεθέντος ἐγειρομένην, καὶ διὰ τοῦτο, ὡς οἰκεῖον κακόν, λεληθότως βλάπτειν πεφυκυῖαν; Τί πρὸς ταύτην ἀντιτιθέναι δεῖ; τί τοῦ μαινομένου νείκους ἄκος ἐξευρεῖν; τί τῆς καταγωγοῦ δυνάμεως ἔργμα, ἢ τὸ πονεῖν ταῦτα, καὶ ἐκμελετᾶν, καὶ ἐν ἔρωτι τίθεσθαι, ἅπερ τῆς θείας ἀρετῆς ἡμᾶς εἰς ἴχνια θήσει; Ταῦτα γὰρ ἦν ἡ λύσις τῶν κακῶν, ἣν οἱ παῦροι συνίσασι· ταῦτα ἡ τῶν πέλας ὄντων ἀγαθῶν ἀκοὴ καὶ ὄψις· ταῦτα ἡ τῶν αὐθαιρέτων πημάτων ἀπαλλαγή· ταῦτα τῆς ἀπειρίας τῶν παθῶν ἡ τομή. Ταῦτα οὖν καὶ τῆς ἀθέου ἔριδος ἀποφυγὴ γένοιτ' ἄν, καὶ σωτηρία ψυχῆς, καὶ ἀποκάθαρσις τοῦ μαινομένου νείκους, καὶ ἀνάκλησις τῆς θεόθεν φυγῆς. Τὴν γὰρ καταγωγὸν ῥοπὴν τῇ ἀναγωγῷ δυνάμει μόνως ἂν ἰασαίμεθα, εἰ μὴ περαιτέρω προάγοιμεν αὐτήν, μηδ' ἐπὶ κακοῖς κακὰ συντιθείημεν, ἀλλ' ἐπιπειθεῖς γενόμενοι τῷ ὀρθῷ λόγῳ φεύγοιμεν τὴν λυγρὰν ἔριν τῇ ἀγαθῇ ἔριδι, οὐ φιλονεικοῦντες ἀπειθεῖν τῷ Θεῷ, ἀλλὰ φιλονεικοῦντες ὅτι μάλιστα αὐτῷ πείθεσθαι· ἣν οὐδὲ ἔριν δεῖ καλεῖν, ἀλλὰ θεοπειθῆ ὑπακοήν, καὶ ἐπιστροφὴν πρὸς τὸν θεῖον νόμον, καὶ ἑκούσιον ὑπόταξιν, τὰς ἀφορμὰς περικόπτουσαν τῆς ἀνοήτου ἀπειθείας. Ταῦτα γὰρ οἶμαι πάντα διὰ τῶν προκειμένων ἐπῶν δηλοῦσθαι· τὸ μὲν τῆς αὐτεξουσίου πονηρίας διὰ τοῦ γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας, οὓς τλήμονας δεῖ καλεῖν καὶ ἀθλίους, ὅτι πρὸς αὐτοπροαίρετον κακίαν εἱλκύσθησαν· τὸ δὲ μηδαμῶς τού-

---

ria se obruant, qui divinam legem egrediuntur, jussa non faciendo, vetita autem faciendo. Quid igitur adversus *gravem hanc contentionem*, quæ *comes* simul et *innata* dicitur, excogitabimus, quæ libero arbitrio nostro præter naturam affecto excitatur ideoque tanquam *malum* domesticum, ad detrimentum latenter nobis afferendum parata est? Quid huic opponere oportet? quodnam discordiæ furentis remedium reperire? quid est quod vim deorsum agentem inhibeat, nisi ut ea agamus, meditemur et amemus quæ nos in divinæ virtutis via sistent? Hæc enim sunt *malorum remedia paucis cognita*, hæc *vicinorum bonorum auditio et contemplatio*, hæc a *calamitatibus ultro arcessitis* liberant, hæc infinitas perturbationes præcidunt. Hæc igitur sint et impiæ cum Deo contentionis vitatio et animi salus et furentis litis expiatio et fugæ a Deo revocatio. Propensionem enim ad inferiora sola facultate sursum tollente sanare possimus, si non illam ulterius promoveamus, neque malis mala addamus, sed rectæ rationi obsequentes *perniciosam* illam contentionem bona contentione devitemus, non repugnare Deo, sed ei quam maxime obsequi studentes; quam ne contentionem quidem appellare licet, sed piam obedientiam et conversionem ad Dei legem et voluntariam obtemperationem, quæ stultæ contumaciæ causas præcidit. Hæc enim puto omnia his versibus significari; ac voluntariam quidem nequitiam his verbis: *cognosces autem homines malis ultro arcessitis obrutos*, quos idcirco *miseros* et infelices appellare oportet, quia sua sponte in vitium pertracti sunt; eos vero bona nequaquam animadvertere velle ex hoc effato patet : *qui bona quum prope sint nec vident nec audiunt;* præterea fieri posse ut a malis ultro arcessitis liberemur, ostendit illud, *remedium autem malorum pauci noverunt*, quod ideo insertum est, ut quum remedium penes nos esse demonstraverit, vinculum quoque ex nostro arbitrio pendere præ se ferret. Deinde cæcitatis et surditatis hanc animis in vitia prolapsis causam attribuit, *tale fatum mortalium mentes lædit*. Separatio enim a diis ad vecordiam et inconsideratam electionem ducit, quam per illud *noxium fatum* significavit, quod nos ad particulare et mortale animal inclinatos e divino choro ejicit. Ostendit etiam quæ inconsiderantiam illam sequantur, et quomodo peccata voluntaria simul sint et non voluntaria docet, stultorum vitam cylindri per planum motui comparans, qui in orbem simul et recta tunc movetur, in orbem quidem per se, recta vero propter pulsum. Ut enim cylindrus circularem motum circa axem non integrum retinet, quum a recto cursu deflectit : sic etiam animus vera bona non assequitur, quum recta ratione et consuetudine

τους ἐπαΐειν τῶν καλῶν ἐθέλειν, διὰ τοῦ λέγειν, οἵ τ' ἀγαθῶν πέλας ὄντων οὔτ' ἐσορῶσιν, οὔτε κλύουσι· καὶ ὅτι δυνατὸν ἀπολυθῆναι τῶν αὐθαιρέτων κακῶν δηλοῖ τὸ λύσιν δὲ κακῶν παῦροι συνίσασιν, ὃ μεταξὺ παρεμβέβληται, ἵνα τὴν ἐφ' ἡμῖν δείξῃ τὴν λύσιν ὑπάρχουσαν, καὶ τὸν δεσμὸν ἐκ τοῦ ἑκουσίου ἠρτῆσθαι μηνύσῃ. Εἶτα ἐπισυνάπτει τὴν τυφλότητος καὶ κωφότητος ταῖς εἰς κακίαν ἐκπεσούσαις ψυχαῖς αἰτίαν, τοίη μοῖρα βροτῶν βλάπτει φρένας. Εἰς γὰρ ἄνοιαν καὶ ἀπροβούλευτον αἵρεσιν ὁ ἀπὸ τῶν Κρειττόνων χωρισμὸς ἄγει, ὃν διὰ τῆς λυγρᾶς μοίρας ᾐνίξατο, τῆς ποιούσης ἡμᾶς ἔξω τοῦ θείου χοροῦ τῇ πρὸς τὸ μερικὸν καὶ θνητὸν ζῷον νεύσει. Καὶ τὰ ἑπόμενα τῇ ἀβουλίᾳ παραδείκνυσι, καὶ πῶς ἑκούσια ἅμα καὶ ἀκούσια τὰ πλημμελήματα ἐκδιδάσκει, τῇ κατ' ἐπιπέδου κυλινδρικῇ κινήσει ἐοικέναι φήσας τὸν τῶν ἀνοήτων βίον, ὃς κύκλῳ ἅμα καὶ ἐπ' εὐθείας τότε κινεῖται· κύκλῳ μὲν δι' ἑαυτόν· ἐπ' εὐθείας δέ, διὰ τὴν πτῶσιν. Ὡς γὰρ ὁ κύλινδρος οὐ κατακρατεῖ τῆς περὶ τὸν ἄξονα κυκλικῆς περιαγωγῆς ἀπὸ τῆς ὀρθότητος πλαγιασθείς, οὕτως οὐδὲ ψυχὴ τῆς τεύξεως τῶν ὄντως ἀγαθῶν τυγχάνει, τοῦ ὀρθοῦ λόγου καὶ τῆς πρὸς θεὸν συστάσεως ἀποπεσοῦσα· πλανᾶται δὲ περὶ τὰ δοκοῦντα ἀγαθά, καὶ ἐκφέρεται ἀπ' εὐθείας ταῖς αἰσθητικαῖς προσπαθείαις κυλιομένη· ὃ διὰ τοῦ ἄλλοτ' ἐπ' ἄλλα φέρονται ἀπείρονα πήματ' ἔχοντες παρέστησεν. Ἐπειδὴ δὲ τῆς τὰς φρένας βλαπτούσης μοίρας, καὶ τοῦ χωρισμοῦ τοῦ ἀπὸ τῶν θείων, αἴτιον ἦν τὸ αὐτεξούσιον κίνημα παρὰ φύσιν διατεθέν· πῶς δεῖ καὶ τοῦτο κατευνάζειν, καὶ πρὸς θεὸν ἐπιστρέφειν, διὰ τῶν ἑξῆς δύο στίχων ἐδίδαξε· τὴν μὲν αὐτεξούσιον βλάβην οὕτω καταμηνύσας, λυγρὴ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθε σύμφυτος, τὴν δὲ αὐτεξούσιον ἴασιν, ἣν οὐ δεῖ προσάγειν, εἴκοντα δὲ φεύγειν. Συνορῶν δέ, ὅτι προηγουμένως τῆς παρὰ τοῦ θεοῦ ἐπικουρίας χρῄζομεν πρὸς ἀποφυγὴν μὲν τῶν κακῶν, ἀνάκτησιν δὲ τῶν ἀγαθῶν, ὥσπερ τινὰ εὐχὴν ἐπήγαγε, καὶ βοηθείας αἴτησιν, τὴν πρὸς τὸν Δί' ἐπιστροφήν.

XXV. 61—66.

Ζεῦ πάτερ, ἦ πολλῶν κε κακῶν λύσειας ἅπαντας,
εἰ πᾶσιν δείξαις, οἵῳ τῷ δαίμονι χρῶνται.
Ἀλλὰ σὺ θάρσει, ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν,
οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα·
ὧν εἴ σοί τι μέτεστι, κρατήσεις ὧν σε κελεύω,
ἐξακέσας ψυχὴν δὲ πόνων ἀπὸ τῶνδε σαώσεις.

Τὸν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ Παντὸς ἔθος ἦν τοῖς Πυθαγορείοις τῷ τοῦ Διὸς καὶ Ζηνὸς ὀνόματι σεμνύνειν. Δι' ὃν γὰρ τὸ εἶναι καὶ τὸ ζῆν τοῖς πᾶσιν ὑπάρχει, τοῦτον δίκαιον ἀπὸ τῆς ἐνεργείας ὀνομάζεσθαι. Κύριον γὰρ ὄντως ὄνομα θεοῦ, τὸ ταῖς ἐνεργείαις αὐτοῦ καὶ ταῖς ποιήσεσι μάλιστα πρέπον· τὰ δὲ ἐφ' ἡμῶν δοκοῦντα κύρια εἶναι τύχῃ καὶ προαίρεσις τίθεται μᾶλλον, ἢ ἡ τῆς οὐσίας οἰκειότης ἐξευρίσκει, ὡς ἔστιν ἐπὶ πολλῶν ἰδεῖν ὀνομάτων ἀλλοτρίως τισὶ κειμένων· οἷον, εἰ ὁ πονηρὸς τὸν τρόπον Ἀγάθων

---

cum Deo excidit, sed circa ea quæ bona videntur vagatur, et a recto abducitur sensuum affectionibus huc illuc agitatus, quod verbis illis, *huc illuc feruntur, infinitis malis oppressi*, indicavit. Quoniam autem *fati mentes lædentis* et separationis istius a Deo causa est liberi arbitrii motus naturæ repugnans, quomodo et hunc sedare oporteat et ad Deum convertere, duobus qui sequuntur versibus docet, voluntariam noxam his verbis ostendens, *gravis enim comes latenter nocet contentio innata*, voluntarium autem remedium illis, *quam provocare non decet, sed cedendo evitare*. Animadvertens vero nos ante omnia divino auxilio ad malorum effugium et bonorum recuperationem egere, conversus ad Jovem quasi precem quandam et auxilii petitionem hanc subjungit.

XXV. 61—66.

Jupiter pater, multis profecto malis omnes liberaris,
si cunctis ostendas, quali genio utantur.
Tu autem bono sis animo, quum divinum genus sit [mortalibus,
quibus sacra natura singula pandens commonstrat.
Quorum si fueris particeps, mea jussa tenebis
remedioque usus istis ærumnis liberabis animum.

Pythagoreorum mos erat, universitatis hujus conditorem et parentem Διός et Ζηνός nomine ornare. Eum enim, per quem (δι' ὅν) omnia sunt et vivunt (ζῆν) ab industria sua nominari æquum est. Illud enim proprium revera est Dei nomen, quod ejus actionibus et operibus maxime congruit: quæ autem in nobis videntur propria esse nomina, casu magis et humana voluntate data quam ex naturæ proprietate inventa sunt, quemadmodum in multis nominibus videre licet quæ improprie nonnullis imposita sunt; velut si improbus *Agatho* nominetur, et impius *Eusebius*. Talia enim nihil habent nominum veritatis ac proprietatis, quia nec naturam nec vim earum rerum, quibus indita sunt, exprimunt. Vera igitur nominum proprietas in rebus æternis quærenda est; ex iis autem in divinis, et inter divinas in præstantissimis. Unde et illud Διός nomen signum est atque imago naturæ rerum parentis ipsa voce adumbrata, propterea quod ii qui primi nomina rebus indiderunt ob summam sapientiam, velut statuarum artifices quidam optimi nominibus tanquam imaginibus earum virtutes indicaverunt. Nomina enim voce expressa signa cogitationum

καλοῖτο, καὶ εἰ ὁ ἄθεος τὴν γνώμην Εὐσέβιος. Τὰ γὰρ τοιαῦτα οὐδὲν μετέχει τῆς τῶν ὀνομάτων ὀρθότητος, ὅτι μηδὲν τῆς οὐσίας ἢ τῆς ἐνεργείας παρίστησι τῶν πραγμάτων ἐκείνων, οἷς κεῖται ὀνόματα. Τὴν οὖν ὄντως ὀρθότητα τῶν ὀνομάτων ἐν τοῖς ἀϊδίοις τῶν πραγμάτων χρὴ ζητεῖν· καὶ τούτων ἐν τοῖς θείοις· καὶ τῶν θείων ἐν τοῖς ἀρίστοις. Ὅθεν καὶ τὸ τοῦ Διὸς ὄνομα σύμβολόν ἐστι καὶ εἰκὼν ἐν φωνῇ δημιουργικῆς οὐσίας, τῷ τοὺς πρώτους θεμένους τοῖς πράγμασι τὰ ὀνόματα, διὰ σοφίας ὑπερβολὴν, ὥσπερ τινὰς ἀγαλματοποιοὺς ἀρίστους, διὰ τῶν ὀνομάτων, ὡς δι' εἰκόνων, ἐμφανίσαι αὐτῶν τὰς δυνάμεις. Τὰ γὰρ ἐν τῇ φωνῇ ὀνόματα σύμβολα τῶν ἐν τῇ ψυχῇ νοήσεων ἀπειργάζοντο, τὰς δὲ νοήσεις αὐτὰς γνωστικὰς εἰκόνας τῶν νοηθέντων πραγμάτων ἐποιοῦντο. Τῇ γὰρ πρὸς τὰ νοητὰ ἐπιστροφῇ θεωρίας πλησθέντες, κἀκεῖθεν ἐγκύμονες γενόμενοι νοερῶν ὠδίνων, εἰς φωνὰς ἤδη προϊόντες τοιαῦτα ἐτίθεντο τοῖς οὖσι τὰ ὀνόματα, ἃ δι' αὐτῆς τῆς φωνῆς, καὶ τῶν εἰς τὴν ταύτης ἐκφώνησιν παραληφθέντων στοιχείων, ὡς οἷόν τε ἦν, ἀπετύπου τῶν ὀνομαζομένων τὰ εἴδη, καὶ ἐπέστρεφε πρὸς αὐτὰς τὰς οὐσίας τοὺς ὀρθῶς αὐτῶν κατακούοντας· ὥστε γίνεσθαι τὸ πέρας τῆς ἐκείνων θεωρίας ἀρχὴν ἡμῖν πρὸς εὕρεσιν τῆς τῶν πραγμάτων νοήσεως. Οὕτω μὲν οὖν ὁ δημιουργὸς αὐτοῖς πάλαι μὲν τετρακτὺς, νῦν δὲ Ζεὺς πατὴρ, δι' ἃς εἴπομεν αἰτίας, ὠνόμασται. Ὃ δὲ αἰτεῖ παρ' αὐτοῦ τῆς παρούσης εὐχῆς ὁ λόγος, τοῦτο ἤδη τοῖς πᾶσιν ἐφήπλωται δι' ἀγαθότητα· παρ' ἡμῖν δέ ἐστι τὸ λαβεῖν τὸ ἀεὶ παρ' ἐκείνου διδόμενον. Καὶ γὰρ ἐν τοῖς προτέροις ἐλέγετο,

ἔργου ἐπ' ἔργον
θεοῖσιν ἐπευξάμενος,

ὡς ἐκείνων μὲν ἀεὶ διδόντων τὰ ἀγαθά, ἡμῶν δὲ τότε αὐτὰ δεχομένων, ὅταν ἑαυτοὺς πρὸς τὴν θείαν δόσιν συντείνωμεν· τὸ γὰρ αὐτεξούσιον οὐκ ἂν λάβοι τὰ ὄντως ἀγαθά, μὴ βουλόμενον λαβεῖν. Ταῦτα δέ ἐστιν ἀλήθεια καὶ ἀρετή, ἀπὸ τῆς δημιουργικῆς αἰτίας ἀεὶ καὶ ὡσαύτως πᾶσιν ἐλλαμπόμενα. Καὶ νῦν δὲ ὁ λόγος ὡς ἀναγκαῖον πρὸς τὴν τῶν κακῶν λύσιν ἀπαιτεῖ τὴν ἑαυτῶν οὐσίαν ἡμᾶς ἰδεῖν· τοῦτο γὰρ ἦν τὸ οἵῳ τῷ δαίμονι χρῶνται: ἀντὶ τοῦ, οἵᾳ ψυχῇ. Τῇ δὲ τοιαύτῃ εἰς ἑαυτοὺς ἐπιστροφῇ διορίζεται ἐξ ἀνάγκης ἕπεσθαι καὶ τὴν ἀποφυγὴν τῶν κακῶν, καὶ τὴν ἔκφανσιν τῶν πρὸς εὐδαιμονίαν ὑπὸ τοῦ θεοῦ προτεινομένων. Ἐξ ὑποθέσεως οὖν πρόεισιν ὁ λόγος, ὅτι εἰ πάντες ἴδοιεν ὅ εἰσι, καὶ οἵῳ τῷ δαίμονι χρῶνται, πάντες ἀπολυθεῖεν ἂν τῶν κακῶν. Τοῦτο δὲ ἀδύνατον. Οὐ γὰρ οἷόν τε πάντας ὁμοῦ φιλοσοφῆσαι, καὶ ὑποδέξασθαι τὰ παρὰ τοῦ θεοῦ ἀεὶ προσφερόμενα ἀγαθὰ πρὸς εὐζωΐας τελειότητα. Τί οὖν τὸ λειπόμενον, ἢ τούτους μόνους χρῆναι θαρρεῖν τοὺς προσιόντας τῇ ἀναφαινούσῃ τὰ οἰκεῖα ἡμῖν ἀγαθὰ ἐπιστήμῃ; μόνους γὰρ τούτους ἀπολυθήσεσθαι τῶν παραπεπηγότων κακῶν τῇ θνητῇ φύσει· ἐπειδὴ καὶ μόνοι πρὸς τὴν θεωρίαν τῶν ὄντως ἀγαθῶν ἐπεστράφησαν, οὓς ἄξιον καὶ εἰς τὸ θεῖον γένος ἐγγράφειν, ὡς ὑπὸ τῆς ἱερᾶς φύσεως, τουτέστι φιλοσοφίας, διδαχθέντας, καὶ ἀσκηθέντας τὰ δέοντα. Τῆς δὲ κοινωνίας τῶν θείων ἀνδρῶν εἴ τι μέτεστιν ἡμῖν δηλώσομεν ἀντεχόμενοι τῶν σπουδαίων ἔργων καὶ τῶν

---

quæ in animo versantur esse volebant, ipsas vero cogitationes intelligentes rerum mente conceptarum imagines faciebant. Quum enim assidua rerum intelligibilium meditatione earum contemplatione repleti essent, atque inde notionibus gravidati parturirent, in voces continuo prorumpentes ea rebus nomina imponebant, quæ ipsa voce et litteris ad eam efferendam assumtis, quantum fieri potuit, rerum nominatarum formas depingerent, eosque qui illa recte intelligerent ad ipsas rerum naturas attentos redderent, ita ut finis illorum contemplationis principium nobis consequendæ rerum intelligentiæ fieret. Ita igitur mundi opifex ab illis olim quaternarius numerus, nunc autem *Jupiter pater* propter eas quas diximus causas appellatus est. Quod autem ab eo hac prece petitur, id jam omnibus propter ejus bonitatem abunde præbitum est; nos vero potestatem habemus accipiendi quod semper ab eo datur. Etenim superius dictum est :

accingere ad opus
deos precatus,

quia illi nunquam non bona largiantur, nos autem ea tum accipiamus, quum ad divinam liberalitatem intenti sumus; neque enim accipiat liberum arbitrium, nisi velit quæ vere bona sunt. Hæc autem sunt veritas et virtus, quæ ab opifice causa ortæ semper eodemque modo omnibus affulgent. Sed hoc etiam loco carmen postulat, tanquam necessarium quid ad mala sananda, ut nostram naturam intelligamus; hoc enim significat illud, *quali genio utantur*, id est, quali animo. Hujusmodi vero ad nos conversionem necessario sequi affirmat et malorum effugium, et eorum quæ ad felicitatem a Deo porriguntur patefactionem. A conditione igitur proficiscitur hoc dictum, *si omnes* videant, qui sint et *quali genio utantur, omnes a malis liberentur*. Hoc autem fieri nequit. Neque enim omnes simul possunt philosophari et bona accipere, quæ a Deo ad vitæ felicis perfectionem semper conferuntur. Quid igitur restat, nisi ut illi soli *bono animo esse* debeant, qui ad disciplinam illam se applicant, quæ propria nobis bona ostendit? Hos enim solos patet *malis*, quæ

ἐπιστημονικῶν γνώσεων· οἷς μόνοις ἡ τοῦ ἀνθρώπου ψυχὴ θεραπεύεται, καὶ τῶν τῇδε ἐλευθεροῦται πόνων εἰς τὴν θείαν λῆξιν μεθισταμένη. Συνελόντι οὖν εἰπεῖν, ὁ νοῦς τῶν προκειμένων ἐπῶν ἐστι τοιοῦτος· οἱ γνόντες ἑαυτοὺς ἀπολύονται τῆς θνητῆς ἐμπαθείας. Διὰ τί οὖν οὐ πάντες ἀπολύονται, πάντες ἀφορμὰς ἔχοντες ἐμφύτους πρὸς ἐπίγνωσιν τῆς ἑαυτῶν οὐσίας; Ὅτι οἱ πλεῖστοι, ὡς ἔφην, αὐθαίρετα πήματ' ἔχοντές εἰσιν, οἳ τῶν ἀγαθῶν πέλας ὄντων οὔτ' ἐσορῶσιν, οὔτε κλύουσιν. Ὀλίγοι δέ εἰσιν οἱ τὴν τῶν κακῶν λύσιν συνιέντες ἐκ τοῦ γνῶναι οἵῳ τῷ δαίμονι χρῶνται· οὗτοι δέ εἰσιν οἱ φιλοσοφίᾳ καθαιρόμενοι τῶν τῆς ἀλογίας παθῶν, καὶ ἐκ τῶν τῇδε τόπων, ὥσπερ ἐκ δεσμωτηρίων, ἐλευθερούμενοι. Πῶς οὖν φησι πρὸς τὸν Δία; ἦ πολλῶν κε κακῶν λύσειας ἅπαντας, εἰ πᾶσιν δείξας οἵῳ τῷ δαίμονι χρῶνται; Ἆρα ὡς ἐπ' ἐκείνῳ ὂν καὶ ἄκοντας ἐπιστρέψαι πρὸς τὴν ἀλήθειαν ἅπαντας, ἀμελείᾳ δὲ ἢ ἐπιβουλῇ τοῦτο μὴ ποιοῦντος, ἵν' ἐν τοῖς δεσμοῖς κατέχοιντο; Ἢ ταῦτα μὲν οὐδ' ὅσιον ἐπινοεῖν. Ἐκεῖνο δὲ μᾶλλον ὁ λόγος ἐπιδείκνυται, ὅτι ἐπὶ τὸν θεόν, ὡς πρὸς πατέρα, ἐπιστραφῆναι δεῖ τὸν πρὸς εὐζωΐαν ἐπειγόμενον. Ἔστι γὰρ ὁ θεὸς δημιουργὸς μὲν πάντων, τῶν δὲ ἀγαθῶν καὶ πατήρ. Ὁ γοῦν τὴν λύσιν τῶν κακῶν συνιείς, καὶ τῶν αὐθαιρέτων πημάτων ἐλευθερούμενος, καὶ τὴν λυγρὰν ἔριν περικόπτων τῇ ἑκουσίῳ φυγῇ, οὗτος πρὸς τὴν ἐκ τοῦ θεοῦ καθήκουσαν ἀΐδιον βοήθειαν ἐπιστρεφόμενος, ἀναβοᾷ τὸ Ζεῦ πάτερ, τῷ ἤδη προειργάσθαι τὰ παιδὸς ἄξια τὸν θεὸν πατέρα καλῶν· καὶ ἐννοεῖ, τὸ ἐφ' ἑαυτοῦ συμβαῖνον ὡς εἰ γένοιτο ἐπὶ πάντων, πάντες ὁμοίως ἂν αὐτῷ κακῶν ἀπολυθεῖεν. Εἶθ' εὑρὼν τοῦτο μὴ προβαῖνον, οὐ διὰ τὸν θεόν, ἀλλὰ διὰ τοὺς πλείστους αὐθαίρετα πήματ' ἔχοντας, λέγει πρὸς ἑαυτόν, ἀλλὰ σὺ θάρσει ὡς τὴν ὁδὸν ἐξευρηκὼς τῆς ἀπολύσεως τῶν κακῶν. Αὕτη δὲ ἦν ἡ διὰ τῆς ἱερᾶς φιλοσοφίας ἐπιστροφὴ πρὸς τὰ δεικνύμενα ὑπὸ τοῦ θεοῦ, ἃ οἱ πολλοὶ οὐχ ὁρῶσι, διὰ τὸ μὴ ὀρθῶς χρῆσθαι ταῖς κοιναῖς ἐννοίαις, ἃς προσέφυσεν ὁ δημιουργὸς τῷ λογικῷ γένει πρὸς ἐπίγνωσιν ἑαυτοῦ. Ἐπεὶ οὖν τὸ δεῖξαί τινι ὁτιοῦν δύο προσώπων ἐνεργείας εἰς ταὐτὸν συνδραμούσας ἐμφαίνει· (πῶς γὰρ ἂν δείξαις τυφλῷ, κἂν μυριάκις

---

mortali naturæ firmiter adhærent, *liberatum iri*, quandoquidem soli etiam ad eorum contemplationem, quæ vere bona sunt, sese converterunt, quos æquum est et *deorum ordinibus* ascribi, ut a *sacra natura*, id est philosophia, edoctos et in iis quæ officium postulat exercitatos. Num vero divinorum hominum societatis participes simus ostendemus, si honestis actionibus et litterarum scientiæ operam dederimus, quibus solis hominis animus curatur, et *laboribus* quos hic patitur liberatus ad *divinam* sortem commigrat. Ut summatim igitur dicam, horum versuum hujusmodi est sententia : qui se ipsos norunt, ii mortalibus *liberantur* affectibus. Cur igitur non *omnes liberantur*, quum omnes habeant innatas naturæ suæ cognoscendæ facultates? Quia plerique, ut dixi, malis ultro arcessitis obruti vicina bona nec vident nec audiunt. Pauci autem sunt qui e malis se expedire didicerunt, quod sciunt, *quali genio utantur;* hi vero sunt ii qui philosophia perturbationibus rationi contrariis liberantur atque ex hisce locis, tanquam e carcere, emittuntur. Quomodo igitur Jovem alloquitur? *multis profecto malis omnes liberaris, si cunctis ostendas, quali genio utantur.* Nonne, quasi ille potestatem habeat *omnes* etiam invitos ad veritatem convertendi, negligentia vero aut malo consilio id non faciat, ut in vinculis retineantur? At hæc certe vel suspicari nefas est. Sed id potius ostendit carmen, ei ad Deum, tanquam ad patrem, revertendum esse, qui ad vitæ felicitatem contendit. Est enim Deus *omnium* quidem creator, bonorum vero etiam *pater.* Qui ergo e malis se expedire scit et damnis ultro arcessitis liberatur, et gravem contentionem fuga voluntaria præcidit, hic ad æternum auxilium a Deo datum conversus *Jupiter pater* exclamat, propterea Deum patrem appellans quod jam ante fecerit quæ filium decebant, ac secum reputat, si id quod ipsi contingit *omnibus* eveniat, futurum esse ut *omnes* æque atque ipse *malis liberentur.* Deinde inveniens hoc minime procedere, non Dei culpa, sed quod plerique malis ultro arcessitis urgeantur, sibi ipsi dicit : *sed tu bono sis animo* qui te e malis expediendi viam inveneris. Hæc vero est illa per *sacram* philosophiam conversio ad ea quæ a Deo *monstrantur,* quæ plerique non vident, quia communibus notionibus, quas mundi ædificator generi mentis compoti ad sui cognitionem comparandam indidit, non recte utuntur. Quoniam vero quæcunque res alteri demonstrata duarum simul personarum actiones concurrentes significat (quî enim cæco quid *ostendas*, etiamsi id quod vis *ostendere* millies ei offeras? aut quî videnti id demonstres, quod non profers?), utrumque igitur adesse oportet, tum bonum quod ab eo proponitur qui ostendit, tum ejus cui ostenditur oculum acutum, ut illinc res spectabilis, hinc autem spectatio ad demonstrationem perficiendam concurrant. Quæ quum ita sint, ponamus omnes simul malis *liberatum iri, si Deus omnibus ostendat* naturæque ipsorum notitiam patefaciat, et *quali genio utantur.* Atqui non *omnes* simul *malis liberantur.* Ergo non *omnibus ostendit,* sed iis solis

προσφέρῃς ὃ βούλει δεῖξαι, ἢ πῶς ἂν τῷ ὁρῶντι δείξαις μηδὲν προσάγων;) ἀμφότερα οὖν παρεῖναι δεῖ· τό τε παρὰ τοῦ δεικνύντος προσαγόμενον ἀγαθόν, καὶ τὸ παρὰ τοῦ, ᾧ δείκνυται, διορατικὸν ὄμμα· ἵνα ἐκεῖθεν μὲν τὸ ὁρατόν, ἐντεῦθεν δὲ ἡ ὅρασις, συνδράμῃ πρὸς τὴν τῆς δείξεως συμπλήρωσιν. Τούτων δὲ οὕτως ἐχόντων, λάβωμεν ὑπόθεσιν πάντας ἅμα ἀπολυθῆναι ἂν τῶν κακῶν, εἰ πᾶσι δείξειεν ὁ δημιουργὸς καὶ ἐμφανίσειε τὴν τῆς ἑαυτῶν οὐσίας ἐπίγνωσιν, καὶ οἵῳ τῷ δαίμονι χρῶνται. Ἀλλὰ μὴν οὐ πάντες ἅμα ἀπολύονται τῶν κακῶν. Οὐκ ἄρα πᾶσι δείκνυσιν, ἀλλὰ μόνοις ἐκείνοις τοῖς πρὸς ἀπόλυσιν τῶν κακῶν οἴκοθεν ὡρμημένοις, καὶ τὸ παρ' ἑαυτῶν ὄμμα πρὸς θέαν τοῦ δεικνυμένου καὶ ὑποδοχὴν ἀνατείνασιν. Οὐκ ἄρα αὐτὸς αἴτιος τοῦ μὴ πᾶσι δεῖξαι, ἀλλ' οἱ τῶν ἀγαθῶν πέλας ὄντων οὔτ' ἐσορῶντες, οὔτε κλύοντες, καὶ διὰ τοῦτ' αὐθαίρετα πήματ' ἔχειν λεγόμενοι. Αἰτία οὖν τοῦ ἑλομένου· θεὸς δὲ κακῶν ἀναίτιος, προλάμπων μὲν ἀεὶ τὰ ἀγαθὰ πᾶσιν, ὅσον ἐφ' ἑαυτῷ, οὐ δεικνὺς δὲ ἀεὶ πᾶσιν, τῷ τὸ θεωρὸν ὄμμα τῶν προτεινομένων ἀγαθῶν ἐν τοῖς πλείστοις μεμυκέναι, καὶ κάτω νεύειν ἀσχολίᾳ τῇ πρὸς τὰ χείρονα. Ἡ δὲ τοιαύτη τῶν προκειμένων ἐπῶν ἐξήγησις καὶ πρὸς τὴν ἀλήθειαν αὐτὴν συμφωνεῖ, καὶ πρὸς τὴν τῶν ὑπερκειμένων ἐπῶν διάνοιαν. Εἰ γὰρ ἐπὶ τῷ θεῷ ἐστιν ἑλκύσαι πρὸς τὴν ἀλήθειαν τοὺς ἀνθρώπους καὶ ἄκοντας, τί αὐθαίρετα πήματ' ἔχειν αὐτοῖς ἐπεγκαλοῦμεν; τί δὲ συμβουλεύομεν ὡς τὴν ἔριν οὐ δεῖ προσάγειν, εἴκοντα δὲ φεύγειν; ἢ, τί τὰ συμβαίνοντα πράως φέρειν, καὶ ἰᾶσθαι σπουδάζειν ἐπιτάττομεν; ὅλως γὰρ ἡ διὰ μαθήσεως πρὸς ἀρετὴν ὁδὸς ἀποκέκλεισται τοῖς Τὸ ἐφ' ἡμῖν ἀναιροῦσιν. Οὐ γὰρ ἂν ἔδει πονεῖν, οὐδὲ ἐν μελέτῃ καὶ ἔρωτι τίθεσθαι τὰ καλά, εἰ τοῦ θεοῦ ἴδιον ἦν σώζειν ἡμᾶς ἀπὸ κακίας, καὶ τῶν ἀρετῶν πλήρεις ποιεῖν μηδὲν παρ' ἑαυτῶν συνεισφέροντας. Ἀλλ' οὕτως ἂν ἡ αἰτία τῆς τῶν πολλῶν πονηρίας θεοῦ ἦν ἔγκλημα. Εἰ δὲ ἀναίτιος κακῶν ὁ θεός, ὥσπερ καὶ λέγεται καὶ ἔστι, δῆλον ὡς παρ' ἡμᾶς ἡ τῶν ἀγαθῶν ἀπόστασις, ὅτι πέλας ὄντων αὐτῶν, καὶ ἐν ἡμῖν κατὰ τὰς φυσικὰς ἐννοίας κειμένων, οὔτ' ἐσορῶμεν, οὔτε κλύομεν. Αἰτία δὲ τῆς ἀβλεψίας ταύτης καὶ ἀνηκοΐας ἡ λυγρὰ ἔρις, αὐθαίρετος οὖσα βλάβη, ἣν οὐ δεῖ προάγειν ἐπὶ πλεῖον, εἴκοντα δὲ φεύγειν ἀπ' αὐτῆς, καὶ τὴν τῶν κακῶν λύσιν συνιέναι, καὶ τὴν εἰς θεὸν ἐπιστροφὴν ἐξευρίσκειν. Οὕτω γὰρ ἡ παρὰ τοῦ θεοῦ ἔλλαμψις, τῆς παρ' ἡμῶν ὁράσεως αὐτῇ συντρεχούσης, δεῖξις γίνεται. Ἔργα δὲ τῆς δείξεως, ψυχῆς ἄκεσις, καὶ σωτηρία ἀπὸ τῶν τῇδε πόνων, καὶ συναίσθησις τῶν θείων ἀγαθῶν, καὶ κοινωνία τῆς πατρικῆς πολιτείας. Τοσαῦτα περὶ ἀρετῆς καὶ ἀληθείας προειπών, καὶ τὰ μὲν τῆς ἀρετῆς παραγγέλματα εἰς τὸν νυκτερινὸν σύλλογον περατώσας, τὰς δὲ τῆς ἀληθείας ἐλπίδας ἕως τῆς ἀκέσεως καὶ σωτηρίας τῆς ψυχῆς ὁρίσας, ἐπάγει τὰ περὶ τῆς τοῦ αὐγοειδοῦς καθαρότητος πτερωτικῆς, τρίτον τι φιλοσοφίας γένος ἐπισυνάπτων τοῖς προειρημένοις.

---

qui per se ad *malorum liberationem* prompti sunt et oculos suos ad id quod *ostenditur* contemplandum et excipiendum intendunt. Ergo non ipse in causa est, cur non omnibus ostendat, sed ii qui vicina bona neque vident neque audiunt ideoque voluntaria mala pati dicuntur. Culpa igitur ejus est qui eligit; Deus autem *malorum* culpa vacat, efficiens, quantum in ipso est, ut bona semper *omnibus* præluceant, non *ostendens* vero semper *omnibus*, quoniam plurimorum oculi, quibus bona proposita contemplari possent, clausi sunt et deorsum flectuntur in deterioribus occupati. Hujusmodi propositorum versuum explicatio et cum veritate ipsa et cum præcedentium versuum sensu congruit. Si enim Deus habet potestatem homines, etiam invitos, ad veritatem trahendi, cur eis damna ultro arcessita exprobramus? Cur vero litem non adducere, sed cedendo evitare suademus? aut cur casus adversos patienter ferre et remedia quærere eos jubemus? via enim illa, quæ per disciplinam ad virtutem ducit, ab illis prorsus intercluditur qui liberum arbitrium tollunt. Neque enim opus foret nos laborare et meditari et amare bona, si Dei proprium esset nos vitiorum immunes servare virtutibusque implere, nihil ex nobis conferentes. Atqui sic malorum facinorum, quæ vulgo patrant homines, culpa Deo attribuenda esset. Quodsi Deus malorum auctor non est, quemadmodum et dicitur et revera est, apparet istius a bonis defectionis culpam in nobis esse, quod quum illa præsto sint atque in nobis secundum insitas notiones posita, neque videmus neque audimus. Cæcitatis vero hujus ac surditatis causa est perniciosa ista contentio, voluntaria noxa, quam non debemus provocando augere, sed cedendo vitare, et malorum liberationem discere et reditum ad Deum reperire. Ita enim ex divina illuminatione et spectatione nostra cum ea concurrente fit *demonstratio*. Hujus vero *demonstrationis* effectus sunt animi sanatio atque ærumnarum, quas hic toleramus, liberatio et divinorum bonorum sensus paternæque vivendi rationis consortium. His igitur omnibus de virtute et veritate præmissis ac virtutis præceptis in nocturno colloquio finitis, veritatis autem spe usque ad sanationem et salutem animi perducta, ea adjicit quæ ad lucidi corporis castimoniam alas addentem pertinent, tertium quoddam philosophiæ genus superioribus adjungens.

XXVI. 67—69.

Ἀλλ' εἴργου βρωτῶν, ὧν εἴπομεν, ἔν τε καθαρμοῖς,
ἔν τε λύσει ψυχῆς κρίνων, καὶ φράζευ ἕκαστα,
ἡνίοχον γνώμην στήσας καθύπερθεν ἀρίστην.

Ἡ λογικὴ οὐσία συμφυὲς ἔχουσα σῶμα παρὰ τοῦ δημιουργοῦ εἰς τὸ εἶναι παρῆλθεν, ὡς μήτε τὸ σῶμα εἶναι αὐτήν, μήτε ἄνευ σώματος· ἀλλ' αὐτὴν μὲν ἀσώματον, ἀποπερατοῦσθαι δὲ εἰς σῶμα τὸ ὅλον αὐτῆς εἶδος. Οἷον γὰρ ἐπὶ τῶν ἄστρων, τὸ μὲν ἄνω αὐτῶν ἀσώματος οὐσία, τὸ δὲ κάτω, σωματική· καὶ ἔστιν ἥλιος τὸ ὅλον τὸ ἐξ ἀσωμάτου καὶ σώματος, οὐ ποτὲ διεστώτων, εἶτα συνελθόντων (οὕτω γὰρ ἂν καὶ διέστη πάλιν), ἀλλ' ἅμα συνδεδημιουργημένων,. καὶ ἐν τάξει συμπεφυκότων, ὡς τὸ μὲν ἡγούμενον εἶναι, τὸ δὲ ἑπόμενον. Οὕτως ἔχει καὶ ἐπὶ τῶν ἐφεξῆς λογικῶν γενῶν, τοῦ τε ἡρωϊκοῦ, καὶ τοῦ ἀνθρωπίνου· καὶ ἔστιν ἕκαστος ἥρως ψυχὴ λογικὴ μετὰ φωτεινοῦ σώματος· καὶ ὁ ἄνθρωπος ὁμοίως ψυχὴ λογικὴ μετὰ συμφυοῦς ἀθανάτου σώματος. Καὶ τοῦτο τῶν Πυθαγορείων ἦν δόγμα, ὃ δὴ Πλάτων ὕστερον ἐξέφηνεν, ἀπεικάσας ξυμφύτῳ δυνάμει ὑποπτέρου ζεύγους τε καὶ ἡνιόχου πᾶσαν θείαν τε καὶ ἀνθρωπίνην ψυχήν. Δεῖ οὖν πρὸς μὲν τελείωσιν τῆς ψυχῆς ἀληθείας ἡμῖν καὶ ἀρετῆς· πρὸς δὲ κάθαρσιν τοῦ αὐγοειδοῦς ἡμῶν σώματος, τῆς τῶν ὑλικῶν μολυσμῶν ἀποθέσεως, καὶ τῶν ἱερῶν καθαρμῶν παραλήψεως, καὶ τῆς ἐπεγειρούσης ἡμᾶς πρὸς τὴν ἐντεῦθεν ἀνάπτησιν θεοσυνδέτου ἀλκῆς. Περὶ ὧν οἱ προκείμενοι στίχοι διδάσκουσι, τὰ μὲν περιττὰ μολύσματα τῆς ὕλης περικόπτοντες διὰ τοῦ, εἴργου βρωτῶν ὧν εἴπομεν· τὴν δὲ ἱερὰν κάθαρσιν καὶ τὴν θεοσύνδετον ἀλκὴν ἐντιθέντες δι' ὧν ἠνίξαντο οὑτωσὶ λέγοντες, ἔν τε καθαρμοῖς, ἔν τε λύσει ψυχῆς κρίνων· καὶ τὸ ὅλον εἶδος τῆς ἀνθρωπίνης οὐσίας ὁλόκληρον ἡμῖν ἀποδεδώκασι δι' ὧν ἐπήγαγον, ἡνίοχον γνώμην στήσας καθύπερθεν ἀρίστην. Τοῦτο γὰρ καὶ τὴν ὅλην οὐσίαν τοῦ ἀνθρώπου παρέστησε, καὶ τὴν τάξιν τῶν ἐν αὐτῷ μερῶν διεστείλατο, ὅτι τὸ μὲν κριτικόν, ὡς ἡνιοχοῦν· τὸ δὲ ἑπόμενον, ὡς ἡνιοχούμενον. Ταῦτα γάρ ἐστιν ἐκ τῶν προκειμένων ἐπῶν διδαχθῆναι τὸν τῶν Πυθαγορείων συμβόλων μὴ ἀνήκοον, ὅτι δεῖ σὺν τῇ ἀσκήσει τῆς ἀρετῆς, καὶ τῇ ἀναλήψει τῆς ἀληθείας, καὶ καθαρότητος ἐπιμέλειαν ποιεῖσθαι τῆς περὶ τὸ αὐγοειδὲς ἡμῶν σῶμα, ὃ καὶ ψυχῆς λεπτὸν ὄχημα οἱ χρησμοὶ καλοῦσι. Διατείνει δὲ αὕτη ἡ κάθαρσις ἕως σιτίων καὶ ποτῶν, καὶ τῆς ὅλης διαίτης τοῦ θνητοῦ ἡμῶν σώματος, ἐν ᾧ τὸ αὐγοειδὲς ἔγκειται προσπνέον τῷ ἀψύχῳ σώματι

XXVI. 67—69.

Abstine vero cibis iis quos diximus, cum in lustrationibus,
tum in purgatione animi judicium adhibens : et considera singula,
ratione, optima rectrice, superiori in loco constituta.

Natura intelligens cui corpus adhæret ita a mundi procreatore producta est, ut illa neque corpus sit, nec sine corpore, sed ipsa quidem incorporea sit, in corpus autem tota ejus forma desinat. Ut enim in astris id, quod superius est, substantia est incorporea, quod autem inferius corporea; et sol totus ex incorporeo et corpore constat, non aliquando separatis, deinde conjunctis (ita enim rursus etiam disjungi possent), sed simul conditis atque eo ordine consociatis, ut alterum ducat, alterum sequatur : ita quoque res se habet in generibus ratione præditis, quæ ordine proxima sunt, heroico et humano; quilibet enim heros est animus rationalis lucido corpori conjunctus, atque homo similiter est animus rationalis cui corpus immortale adhæret. Atque hoc erat Pythagoreorum dogma, quod Plato sane postea evulgavit, divinum omnem et humanum animum consociatæ potentiæ alati currus atque aurigæ comparans. Nobis igitur ad animum perficiendum veritate et virtute opus est, ad lucidi autem corporis nostri purificationem depositis terrenæ materiæ inquinamentis et assumtis sacris lustrationibus et vi divinitus addita, qua ad superiores regiones hinc celeri volatu petendas excitemur. De quibus propositi versus quædam tradunt, supervacanea materiæ inquinamenta circumcidentes his verbis : *abstine cibis iis quos diximus*, sacram vero purificationem et vim divinitus adjectam dantes paulo obscuriore dicto, *cum in lustrationibus, tum in purgatione animi judicium adhibens;* totam autem humanæ naturæ formam plene perfecteque expressam nobis exhibuerunt iis quæ subjuncta sunt, *rationem, optimam rectricem, superiori in loco constituens*. Hoc enim et totam hominis naturam ostendit et partium ejus ordinem distincte docuit; quippe judicandi facultatem esse rectricis instar, sequentem vero partem velut regi. Hæc enim ex propositis versibus ei discere licet qui signorum Pythagoricorum non ignarus est, una cum virtutis exercitatione et veritatis studio castimoniæ etiam lucidi corporis nostri curam esse habendam, quod et animi subtile vehiculum oracula vocant. Pertinet vero hæc purificatio ad cibum quoque et ad potum cæterumque victum mortalis nostri corporis, in quo lucidum illud inest quod vitam inanimo corpori inspirat atque ejus compagem continet. Nam vita quædam est corpus materiæ expers vitæque e materia constantis parens, per quam mortale nostrum animal perficitur, ex vita rationis experte et materiali corpore

ζωήν, καὶ τὴν ἁρμονίαν αὐτοῦ συνέχον. Ζωὴ γάρ τίς ἐστι τὸ ἄϋλον σῶμα, καὶ ζωῆς ἐνύλου γεννητικόν, δι' ἧς τὸ θνητὸν ἡμῶν ζῷον συμπληροῦται, ἐκ τῆς ἀλόγου ζωῆς καὶ τοῦ ὑλικοῦ σώματος συγκείμενον, εἴδωλον ὂν τοῦ ἀνθρώπου, ὃς ἐκ λογικῆς οὐσίας καὶ σώματος ἀΰλου συνέστηκεν. Ἐπεὶ οὖν ἡμεῖς ὁ ἄνθρωπος, ἀνθρώπου δὲ ταῦτα· προσήκει διὰ πάντων μὲν καθήρασθαι καὶ τελειωθῆναι, τὸν δὲ ἐπιβάλλοντα τρόπον ἐφ' ἑκάστης φύσεως τηρῆσαι. Ἔστι γὰρ ἄλλη ἄλλου κάθαρσις. Οἷον, ψυχῆς λογικῆς, κατὰ μὲν τὸ λογικόν, κάθαρσις ἐπιστημονικὴ ἀλήθεια· κατὰ δὲ τὸ δοξαστικόν, ἡ βουλευτικὴ ἀρετή. Θεωρεῖν γὰρ τὰ ἄνω πεφυκότες, καὶ τάττειν τὰ κάτω, ἀληθείας μὲν πρὸς ἐκεῖνα, πολιτικῆς δὲ ἀρετῆς πρὸς ταῦτα δεησόμεθα, ὅπως ἂν τῶν μὲν ἀϊδίων θεωρητικοὶ γινώμεθα, τῶν δὲ ἐνδεχομένων πρακτικοί. Κατ' ἀμφότερα δὲ τοῖς θείοις ὅροις ἐμμένοντες τὸν τῆς ἀλογίας ἂν ἀποφύγοιμεν κλύδωνα. Ἀπὸ ταύτης γὰρ δεῖ καθήρασθαι τὴν λογικὴν ἡμῶν οὐσίαν, ἐπειδὴ καὶ ταύτῃ προσῆλθεν ἐν τῇ εἰς γένεσιν νεύσει. Ἀλλὰ δὴ καὶ τῷ αὐγοειδεῖ ἡμῶν σώματι προσέφυ σῶμα θνητόν· ὅμως καθαρεῦσαι δεῖ καὶ τούτου, καὶ τῆς πρὸς αὐτὸ συμπαθείας ἀπαλλαγῆναι. Λείπεται δὴ οὖν ἡ τοῦ ψυχικοῦ σώματος κάθαρσις, ἣν ποιήσασθαι δεῖ τοῖς ἱεροῖς ἑπόμενον θεσμοῖς, καὶ ταῖς τῶν ἱερῶν τέχναις. Σωματικωτέρα δέ πως αὕτη ἡ κάθαρσις· διὸ καὶ ὑλῶν ἐφάπτεται παντοδαπῶν, θεραπεύουσα παντοίως καὶ μεταπείθουσα δραστηρίως τὸ ζωτικὸν τοῦτο σῶμα χωρισθῆναι τῆς ὕλης, καὶ ἀναπτῆναι πρὸς τὸν αἰθέριον τόπον, ὅπου τὴν κατάταξιν ἔχειν αὐτῷ εὐδαιμονία ἦν πρώτη. Πάντα δὲ τὰ περὶ τοῦτο δρώμενα, ἐὰν θεοπρεπῶς καὶ μὴ ἀγυρτικῶς γίνηται, συνεπόμενα τοῖς τῆς ἀρετῆς καὶ ἀληθείας κανόσιν εὑρίσκεται. Αἱ γὰρ τῆς λογικῆς ψυχῆς καθάρσεις καὶ τοῦ αὐγοειδοῦς ὀχήματος προμηθοῦνται, ὅπως ἂν αὐταῖς ὑπόπτερον καὶ τοῦτο γενόμενον μὴ ἐμποδὼν ἵστηται πρὸς τὴν ἄνω πορείαν. Πτεροφυΐα δὲ αὐτοῦ ἀρίστη, ἡ κατὰ μικρὸν μελέτη τῆς τῶν περιγείων ἀποστάσεως, καὶ ὁ πρὸς τὴν ἀϋλίαν ἐθισμός, καὶ ἡ ἀπόθεσις ὧν ἂν ἐπλήσθη μολυσμῶν ἐκ τῆς πρὸς τὸ ὑλικὸν σῶμα συζεύξεως. Διὰ γὰρ τούτων ἀναβιώσκεται τρόπον τινά, καὶ συλλέγεται, καὶ θείου πληροῦται τόνου, καὶ τῇ νοερᾷ τελειότητι τῆς ψυχῆς συνάπτεται. Τί οὖν ἡ ἐνίων βρωμάτων ἀποχὴ πρὸς ταῦτα συμβάλλοιτο ἄν; τοῖς ἐθιζομένοις ἀπὸ πάντων χωρίζεσθαι τῶν θνητῶν, τὸ τινῶν ἐντεῦθεν ἤδη παντελῶς ἀποσχέσθαι, καὶ μάλιστα τῶν γλυκυθυμούντων,

---

compositum, quæ ipsius hominis imago est e natura intelligenti et corpore materia vacuo conflati. Quum igitur nos simus homo, hominis autem hæc sint, in omnibus *purificari* et perfici debemus, modum vero unicuique naturæ convenientem servare. Est enim alia alius *purificatio*. Velut animi rationalis in parte rationis usum flagitante *purificatio* est litterarum veritas, in illa, quæ opinandi vi prædita est, virtus deliberativa. Quum enim ita comparata sit natura nostra, ut superiora contemplemur, regamus autem inferiora, veritate nobis ad illa, civili autem virtute ad hæc opus erit, ut et res æternas contemplari et eas quæ usu veniunt peragere possimus. In utrisque autem divinas regulas observando insaniæ æstum effugiamus. Ab hac enim natura nostra mentis compos liberanda est, quoniam et huic se adjunxit, quum in hunc mundum descendit. Atqui lucido etiam corpori nostro adhæret corpus mortale, sed tamen et ab hoc purum esse oportet atque a naturæ ejus convenientia et conjunctione liberum. Restat igitur corporis animalis *purificatio*, quæ secundum sacras leges et sacrorum artes fieri debet. Sed corporea magis hæc purificatio est; unde omnis generis materiam attingit varia vitali huic corpori remedia adhibens et efficaciter illud adducens, ut a materia separetur et in æthereum locum subvolet, ubi sedem habere prima felicitate fruenti contigit. Quæcunque autem circa hoc aguntur, si ritu ad divinum honorem accommodato, non autem præstigiatorum more fiant, virtutis ac veritatis regulis convenientia reperiuntur. Namque animi ratione præditi purificationes lucido etiam vehiculo prospiciunt, ut hoc quoque earum ope pennis instructum illius iter ad loca superiora susceptum ne impediat. Optime autem ejus pennæ renascentur, adhibita cura, ut a terrestribus rebus paulatim abscedat et semotis a materia assuescat et inquinamenta ex adjuncto materiali corpore forte contracta deponat. Etenim his reviviscit quodammodo et se colligit et divino vigore impletur atque intellectuali animi perfectioni conjungitur. Quid igitur ciborum quorundam abstinentia ad hæc conferat? Iis qui ab omnibus rebus mortalibus separari assuescunt plena quorundam ciborum, imprimis animo gratorum et mortale corpus in mundum detrudentium jam dehinc abstinentia profuerit ad *purificationem*. Quamobrem et in symbolicis præceptis nonnullorum abstinentia studiosis imperabatur, sensum quidem primarium habens latiorem et magis generalem, deinde vero etiam a particulari ista re arcens, cujuscunque mentionem facit; verbi gratia, *animantis vulvam ne comedas*. Quod quidem ita dictum ab una quadam re terrestri eaque minima nos avertit. Sin autem profundos Pythagoricæ mentis sensus introspicias, omnium rerum creatarum abstinentiam ex uno quodam exemplo

καὶ κατατεινόντων εἰς γένεσιν τὸ θνητὸν σῶμα, πρὸ ὁδοῦ ἂν γένοιτο εἰς κάθαρσιν. Διὸ καὶ ἐν τοῖς συμβολικοῖς παραγγέλμασιν ἐπετάττετό τινων ἀποχή, μείζονα μὲν καὶ καθολικώτερον ἔχουσα τὸν προηγούμενον νοῦν, ἑπομένως δὲ καὶ τοῦ μερικοῦ τούτου ἀπείργουσα, οὗ ἂν τὴν μνήμην ἑκάστοτε ποιῆται· οἷον, μήτραν ζώου μὴ ἐσθίειν. Τοῦτο δὲ οὑτωσὶ λεγόμενον ἑνός τινος ἀφίστησιν ἡμᾶς τῶν περὶ γῆν, καὶ τούτου σμικροτάτου. Ἐὰν δὲ εἰς τὸ πολύνουν τῆς Πυθαγορικῆς βαθύτητος ἀπίδῃς, τὴν ὅλης τῆς γενέσεως ἀποχὴν δι' ἑνός τινος παραδείγματος διδαχθήσῃ· καὶ ὡς ἐν βρώμασι τοῦτο οὐ προσοισόμεθα, οὕτως ἐν τοῖς τοῦ αὐγοειδοῦς καθαρσίοις τὸ ἀπὸ τούτου νοούμενον ἐπιτηδεύσομεν. Ὁμοίως δὲ καὶ τὸ καρδίαν μὴ ἐσθίειν, προηγουμένως μὲν εἰς τὴν τοῦ θυμικοῦ κατάστασιν μὴ ἰέναι λέγει· κατ' ἐπακολούθησιν δέ, καὶ τὴν τούτου τοῦ μέρους ἀποχὴν εἰσηγεῖται. Κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ τὸ θνησιμαίων ἀπέχεσθαι δεῖν θεωρήσομεν τὸ μὲν ὅλον τῆς θνητῆς φύσεως ἀπείργειν ἡμᾶς, ἤδη δὲ καὶ τῆς τῶν ἀθύτων καὶ ἀνιέρων σαρκῶν μεταλήψεως. Δίκαιον γὰρ τῶν συμβολικῶν νουθετήσεων καὶ τὸ προφαινόμενον φυλάττειν, καὶ τὸ εἴσω νοούμενον. Ἐκ γὰρ τῆς συνεχοῦς τοῦ φαινομένου τηρήσεως ἡ τῶν μειζόνων μελετᾶται κατόρθωσις. Οὕτως οὖν καὶ νῦν ἀκουσόμεθα, ὡς διὰ βραχυτάτου τοῦ λόγου, μεγίστων ἔργων ἀρχὰς ἡμῖν ἐνδιδόντος τοῦ ἔπους. Εἴργου γάρ φησι βρωμάτων, ὃ ταυτόν ἐστι τῷ, ἀπέχου φθαρτῶν σωμάτων. Ἐπεὶ δὲ οὐ πάντων νῦν ἀπέχεσθαι δυνατόν, ἐπάγει ὧν εἴπομεν. Καὶ ποῦ περὶ τούτων εἴρηται ὑποδείκνυσιν, ἔν τε καθαρμοῖς, ἔν τε λύσει ψυχῆς· ἵν' ἡ ἀποχὴ τῶν τροφῶν τῆς διαυγείας τοῦ σωματικοῦ ὀχήματος ἐπιμέλειαν ποιῆται πρέπουσαν τῇ καθαιρομένῃ ψυχῇ καὶ ἀπολυομένῃ τῶν ὑλικῶν κατοχῶν. Τῇ δὲ τοιαύτῃ ἐπιτηδεύσει τὸν κριτικὸν ἐπέστησε λογισμόν, τὸν δυνάμενον τὴν τοῦ αὐγοειδοῦς θεραπείαν τῇ καθαρότητι τῆς ψυχῆς σύμφωνον ἀποδοῦναι. Διὸ καὶ ἡνίοχον γνώμην αὐτὸν προσηγόρευσεν, ὡς ἐφεστάναι πεφυκότα τῇ τοῦ ὀχήματος εὐταξίᾳ. Γνώμην μέν, ὅτι λογικῆς ψυχῆς δύναμις ἦν· ἡνίοχον δέ, ὅτι ἐφαπτομένη καὶ ἐπιστατοῦσα τοῦ σώματος. Τὸ δὲ ὁρατικὸν ὄμμα ὑπὲρ τὸν ἡνίοχον τέτακται. Εἰ γὰρ καὶ μία ψυχή, ἀλλ' ὄμματι μὲν οἷον θεωρεῖ τὸ τῆς ἀληθείας πεδίον· τῇ δὲ ἀναλόγῳ πρὸς χεῖρα δυνάμει τὸ συμφυὲς σῶμα κατέχει, καὶ πρὸς ἑαυτὴν ἐπιστρέφει, ἵν' ὅλη πρὸς τὸ θεῖον ἴδῃ, καὶ τὴν θείαν ὁμοίωσιν κτήσηται. Καὶ ὁ μὲν καθόλου τῆς ἀποχῆς τόπος τοιοῦτος, καὶ τοσούτων ἀγαθῶν στοχαζόμενος· τὰ δὲ ἐπὶ μέρους ἐν τοῖς ἱεροῖς ἀποφθέγμασιν ἐν ἀποῤῥήτῳ παρεδίδοτο· ὧν ἕκαστον εἰ καὶ μερικὴν ἀποχὴν εἰσηγεῖτο, οἷον, κυάμων μὲν ἐν σπέρμασι, θνησειδίων δὲ ἐν ζώοις, καὶ τούτων κατὰ γένος, ὡς ἐπὶ ἰχθύων τὸ ἐρυθρίνου ἀπέχεσθαι, καὶ ἐν χερσαίοις ἄλλου, καὶ ἑτέρου τινὸς ἐν πτηνοῖς, καὶ τὸ τελευταῖον, μέρη τινὰ ζώων ἀπηγόρευεν, οἷον· κεφαλὴν μὴ ἐσθίειν, μηδὲ καρδίαν· ὅμως καὶ ἐν ἑκάστῳ τούτων τὴν τελειότητα τῆς καθάρσεως ἐναπετυποῦτο ὁ λόγος·

---

disces; et quemadmodum hoc in cibis non comedemus, sic in lucidi corporis lustrationibus id quod ea re significatur observabimus. Similiter vero et illud, *cor ne comedas*, præcipue quidem nos, ne iracundiæ indulgeamus, admonet, deinde autem ut ab hoc etiam membro abstineamus præcipit. Pari autem ratione videbimus et illud, *a carnibus morticinis abstinendum*, nos omnino a mortali natura arcere, jam vero et a comedendis carnibus ad sacrificia minime aptis et profanis. In symbolicis enim præceptis et id observari oportet quod aperte dicitur et quod tecte significatur. Namque assidua ejus quod apparet observatione ad majora etiam rite peragenda præparamur. Sic igitur et nunc intelligemus carmen, ut quod verbis paucissimis maximorum operum principia nobis tradat. Dicit enim, *abstine cibis*, quod idem est ac si dicatur, a corporibus corruptioni obnoxiis abstine. At quum ab omnibus nunc abstinere non possimus, subjungit, *quos diximus*. Atque ubi de his dictum sit ostendit, *cum in lustrationibus*, *tum in purgatione animi*, ut ciborum abstinentia corporei vehiculi splendorem eâ curet diligentiâ, quæ *animo purificato* et materialibus impedimentis *soluto* conveniat. Hujusmodi autem studio rationem *judicem* præfecit, quæ lucidi corporis curam animi puritati congruentem reddere possit. Quapropter et *rectricem mentem* eam appellavit, quippe quæ a natura comparata sit ad vehiculum rite gubernandum: *mentem* quidem, quia rationalis facultas est, *rectricem* autem, quod corpori moderetur et præsit. Cæterum oculus accurate prospectans *rectrici* superpositus est. Quamvis enim *animus* unus sit, oculo tamen velut contemplatur veritatis campum, ea vero facultate quæ manus instar est corpus consociatum cohibet atque ad se convertit, ut totus Deum intueatur divinamque similitudinem adipiscatur. Generalis igitur abstinentiæ forma hujusmodi est tantaque bona petit: singulæ autem ejus partes in sacris sententiis secreto tradebantur; quarum etsi suam quæque et particularem abstinentiam suadebat, velut fabarum in seminibus, cadaverum in animalibus, atque in his secundum genera, velut in piscibus rubellionis abstinentiam atque in terrestribus alius et alius cujusdam in avibus, denique et partes aliquas animalium comedi vetabat, ut caput et cor: tamen in his etiam singulis purificationis perfectionem sermo expressit, hujus

διὰ μέν τινας φυσικὰς ἰδιότητας τόδε ἢ τόδε εἰς σωματικὴν ἀποχὴν κατατάξας, δι' ἑκάστου δὲ τῆς θνητῆς προσπαθείας κάθαρσιν εἰσηγούμενος, καὶ ἐθίζων διὰ πάντων εἰς ἑαυτὸν ἐπιστραφῆναι τὸν ἄνθρωπον, καὶ τοῦ μὲν τῆς γενέσεως καὶ φθορᾶς τόπου ἐξαναδῦναι, πρὸς δὲ τὸ Ἠλύσιον πεδίον καὶ Αἰθέρα τὸν ἐλεύθερον μετοικίσασθαι. Ἐπειδὴ δὲ ἐν τάξει τὴν ἐπίδοσιν τῆς ἀποχῆς ἐποιοῦντο, διὰ τοῦτο καὶ μαχόμενα, ὡς ἂν οἰηθείη τις, εὑρίσκεται παρ' αὐτοῖς σύμβολα. Τῷ γὰρ Ζῴων ἀπέχεσθαι τὸ Καρδίας ἀπέχεσθαι ἐναντίον· εἰ μή πού τις τὸ μὲν Καρδίας ἀπέχου, τοῖς ἀρχομένοις παρηγγέλθαι λέγοι, τὸ δὲ Ζῴων, τοῖς ἤδη τελείοις. Περιττὴ γὰρ ἡ κατὰ μέρος ἀποχὴ, οἷς τὸ ὅλον ζῷον ἀπηγορεύετο. Διὸ οὐ παρέργως προσέχειν δεῖ τῇ τάξει τῆς ἀναβάσεως, ἣν ἐμφαίνει τὰ ἔπη. Εἴργου γάρ, φησί, βρωμάτων· εἶτα, ὡς ἐρωτῶντός τινος, ποίων; ἀπεκρίνατο, ὧν εἴπομεν. Καὶ πάλιν, ὡς πρὸς δευτέραν πεῦσιν ζητοῦσαν, ποῦ εἶπον περὶ τούτων οἱ Πυθαγόρειοι, καὶ ἐν ποίαις μαθημάτων παραδόσεσιν ἀποχὰς βρωμάτων συνέφηναν; ἐπήγαγεν, ἔν τε καθαρμοῖς ἔν τε λύσει ψυχῆς· ὡς τῶν μὲν καθαρμῶν προηγουμένων, τῆς δὲ λύσεως ἐπακολουθούσης. Καθαρμοὶ δὲ λογικῆς ψυχῆς εἰσιν αἱ μαθηματικαὶ ἐπιστῆμαι, καὶ ἀναγωγὸς λύσις ἡ διαλεκτικὴ τῶν ὄντων ἐποπτεία. Διὸ καὶ ἑνικῶς ἀπήγγελται, ἔν τε λύσει ψυχῆς· ὅτι εἰς μίαν ἐπιστήμην αὕτη τελεῖ, τῆς μαθηματικῆς πλῆθος ἐπιστημῶν περιεχούσης. Τοῖς οὖν ἐπὶ ψυχῆς εἰς κάθαρσιν καὶ ἀπόλυσιν οἰκείως παρειλημμένοις δεῖ τὰ ἀναλογοῦντα καὶ ἐπὶ τοῦ αὐγοειδοῦς ἐπιτάξαι. Οὐκοῦν τοῖς τε μαθηματικοῖς καθαρμοῖς τοὺς τελεστικοὺς συνεισιέναι, καὶ τῇ διαλεκτικῇ λύσει τὴν ἱερατικὴν ἀναγωγὴν συνέπεσθαι ἀνάγκη. Ταῦτα γὰρ ἰδίως καθαίροντα καὶ τελειοῦντα τὸ πνευματικὸν ὄχημα τῆς λογικῆς ψυχῆς, τῆς μὲν ὑλικῆς ἀζωΐας αὐτὸ χωρίζει, πρὸς δὲ τὴν τῶν καθαρῶν πνευμάτων συνουσίαν ἐπιτηδείως ἔχειν παρασκευάζει. Μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι οὐκ ἔστι θέμις. Ὥσπερ οὖν τὴν ψυχὴν ἐπιστήμῃ καὶ ἀρετῇ προσήκει κοσμῆσαι, ὅπως ἂν τοῖς ἀεὶ τοιούτοις συνεῖναι δύνηται· οὕτω καὶ τὸ αὐγοειδὲς καθαρὸν καὶ ἄϋλον δεῖ παρασκευάσαι, ἵνα τὴν τῶν αἰθερίων σωμάτων ἀνάσχηται κοινωνίαν. Δι' ὁμοιότητος γὰρ πάντα φιλεῖ πρὸς ἄλληλα συνάπτεσθαι, τῇ δὲ ἀνομοιότητι καὶ τὰ ἐγγὺς ὄντα τοῖς τόποις χωρίζεται. Τοῦτο τῆς τελειοτάτης φιλοσοφίας τὸ μέτρον οἱ Πυθαγόρειοι παρέδοσαν, πρὸς τὴν ὅλου τοῦ ἀνθρώπου τελειότητα οἰκεῖον καὶ σύμμετρον. Ὁ γὰρ ψυχῆς μόνης ἐπιμέλειαν ποιούμενος, τοῦ δὲ σώματος ἀμελῶν,

---

vel illius propter proprietates quasdam naturales corpoream abstinentiam ordine constituens, singulis autem mortalium affectionum purificationem docens et omnibus hominem adducens, ut ad se convertatur atque e loco generationis et corruptionis emergens ad campum Elysium liberumque ætherem commigret. At quum illi certo ordine abstinentiæ progressum facerent, nonnulla eorum symbola inter se, quemadmodum quis existimet, pugnantia etiam inveniuntur. Namque animalium abstinentia contraria est cordis abstinentiæ, nisi quis forte dicit *a corde abstine* incipientibus injunctum fuisse, illud autem, *ab animalibus*, jam perfectis. Iis enim supervacanea erat partium abstinentia, quibus totum animal interdicebatur. Quare diligenter animus attendendus est ad ordinem ascensus, quem carmen indicat. Dicit enim, *abstine a cibis*, deinde tanquam interrogante aliquo, *a quibus?* respondet *ab iis quos diximus*. Et rursus quasi iterum quæratur, ubi de his locuti sint Pythagorei et in quibus disciplinis tradendis ciborum abstinentiam simul monstraverint, adjicit, *in lustrationibus atque in animi purgatione*, tanquam præcedentibus lustrationibus animi purgatione subjuncta. *Animi* vero ratione præditi *lustrationes* sunt artes mathematicæ, atque in sublime evehens purgatio dialectica rerum inspectio. Quamobrem etiam singulariter prolatum est, *atque in animi purgatione*, quod ad unam disciplinam hæc pertineat, quum mathematica multas artes complectatur. Illis ergo quæ ad animi *purificationem* et *expiationem* apte adhibita sunt, similia de lucido etiam corpore præcipi oportet. Necesse igitur est *lustrationibus* mathematicis mysticas adjungi et dialecticæ expiationis hieraticam animi elationem esse comitem. Hæc enim quæ proprie spiritale animi rationalis vehiculum purificant et perficiunt, a materiali morte id separant atque ad purorum spirituum societatem idoneum reddunt. Impuro enim purum attingere nefas est. Quemadmodum igitur animus scientia et virtute ornari debet, ut cum iis qui semper tales sunt versari queat : sic et lucidum corpus purum et materiæ expers reddi oportet, ut æthereorum corporum consortionem ferat. Solent enim similitudine cuncta inter se conjungi; dissimilitudine autem ea etiam, quæ locis propinqua sunt, separantur. Hunc perfectissimæ philosophiæ modum ad totius hominis perfectionem aptum et accommodatum tradiderunt Pythagorei. Ille enim, qui animi solius curam gerit, corpus autem negligit, non totum hominem purificat. Contra vero is qui neglecto animo corporis solum sibi agendam esse curam existimat, aut ejus cultum *animo* per se non *purificato* conducere opinatur, in eodem versatur errore. Qui autem perpetua utriusque cura habita apte progreditur,

οὐ τὸν ὅλον ἄνθρωπον καθαίρει. Πάλιν δ' αὖ ὁ τοῦ σώματος οἰόμενος δεῖν ἐπιμελεῖσθαι χωρὶς τῆς ψυχῆς, ἢ τὰς τοῦ σώματος θεραπείας συντελέσειν τι τῇ ψυχῇ μηδὲν δι' ἑαυτῆς καθαιρομένῃ, τὸ αὐτὸ διαμαρτάνει. Ὁ δὲ δι' ἀμφοτέρων οἰκείως προϊὼν ὅλος τελειοῦται, καὶ κατὰ τοῦτο συνάπτεται τῇ τῶν ἱερῶν τέχνῃ ἡ φιλοσοφία, ὡς περὶ τὴν τοῦ αὐγοειδοῦς κάθαρσιν πραγματευομένῃ· ἣν εἰ χωρίσειας τοῦ φιλοσόφου νοῦ οὐκ ἔτι τὴν αὐτὴν δύναμιν ἔχουσαν εὑρήσεις. Καὶ γὰρ τῶν συμπληρούντων τὴν ἡμετέραν τελείωσιν τὰ μὲν ὁ φιλόσοφος νοῦς προεξεῦρε, τὰ δὲ ἡ τελεστικὴ ἐνέργεια συνεισήγαγε, τῷ φιλοσόφῳ νῷ ἑπομένη. Τελεστικὴν δὲ ἐνέργειαν λέγω τὴν τοῦ αὐγοειδοῦς καθαρτικὴν δύναμιν, ἵνα τῆς ὅλης φιλοσοφίας τὸ μὲν θεωρητικὸν προηγῆται, ὡς νοῦς, τὸ δὲ πρακτικόν, ὡς δύναμις, ἕπηται. Τοῦ δὲ πρακτικοῦ δύο θῶμεν εἴδη, πολιτικὸν καὶ τελεστικόν· τὸ μὲν διὰ τῶν ἀρετῶν τῆς ἀλογίας ἀποκαθαῖρον ἡμᾶς, τὸ δὲ διὰ τῶν ἱερῶν μεθόδων τὰς ὑλικὰς φαντασίας ἀποτέμνον. Δεῖγμα δὲ οὐ μικρὸν τῆς μὲν πολιτικῆς φιλοσοφίας οἱ ἐν κοινῷ κείμενοι νόμοι, τῆς δὲ τελεστικῆς τὰ τῶν πόλεων ἱερά. Καὶ ἔστι τὸ μὲν ἀκρότατον τῆς ὅλης φιλοσοφίας ὁ θεωρητικὸς νοῦς· μέσον δέ, ὁ πολιτικός· καὶ τρίτον, ὁ τελεστικός· τοῦ μὲν πρώτου πρὸς τὰ δύο τὴν ὀφθαλμοῦ ἀναλογίαν ἀποσώζοντος· τῶν δὲ μετ' αὐτὸ πρὸς ἐκεῖνο τὴν χειρὸς καὶ ποδὸς ἀξίαν ἐχόντων· πρὸς ἄλληλα δὲ πάντων συντεταγμένων, ὡς ἀτελὲς εἶναι ὁτιοῦν τούτων καὶ ἐγγὺς μάταιον, μὴ τῆς τῶν λοιπῶν συνεργείας τυγχάνον. Διὸ εἰς μίαν ἕνωσιν συνελθεῖν δεῖ τὴν τῆς ἀληθείας εὑρετικὴν ἐπιστήμην, καὶ τὴν ἀρετῆς προβλητικὴν δύναμιν, καὶ τὴν καθαρότητος ἀπεργαστικήν, ἵνα σύμφωνον τῷ ἡγουμένῳ τῷ τὸ πολιτικὸν ἔργον ἀποτελῆται, καὶ τούτοις ἀμφοτέροις ὁμολογούμενον τὸ ἱερὸν ἔργον ἀποφαίνηται. Τοῦτο τῆς Πυθαγορικῆς ἀγωγῆς τὸ πέρας, ὅλους δι' ὅλων ὑποπτέρους γενέσθαι πρὸς τὴν τῶν θείων ἀγαθῶν μετάληψιν, ἵν' ὅταν ὁ τοῦ θανάτου καιρὸς ἐνστῇ, καταλιπόντες ἐπὶ γῆς τὸ θνητὸν σῶμα, καὶ τὴν τούτου φύσιν ἀποδυσάμενοι, πρὸς τὴν οὐρανίαν πορείαν ὦσιν εὔζωνοι οἱ τῶν φιλοσοφίας ἀγώνων ἀθληταί· τότε γὰρ καὶ τὴν ἀρχαίαν αὐτοῖς ἀποδίδοσθαι στάσιν, καὶ θεοποιεῖσθαι, ὅσον οἷόν τε ἀνθρώποις θεοὺς γενέσθαι, μηνύει ὁ λόγος διὰ τῶν ἑξῆς.

XXVII. 70—71.

Ἢν δ' ἀπολείψας σῶμα ἐς αἰθέρ' ἐλεύθερον ἔλθῃς,
ἔσσεαι ἀθάνατος θεός, ἄμβροτος, οὐκ ἔτι θνητός.

Τοῦτο πέρας τῶν πόνων τὸ κάλλιστον. Τοῦτο, ὡς Πλάτων φησίν, ὁ μέγας ἀγὼν καὶ ἐλπὶς ἡ μεγάλη. Τοῦτο φιλοσοφίας ὁ τελειότατος καρπός, τοῦτο τῆς

---

totus perficitur, eaque ratione philosophia cum sacrorum arte copulatur, quippe quæ in lucidi corporis purificatione versetur; quam artem si a philosophica mente separaveris, non amplius eandem vim habere invenies. Ex iis enim quæ perfectionem nostram absolvunt, alia quidem philosophica mens prius invenit, alia autem mystica industria simul induxit, quæ philosophicam mentem sequitur. Mysticam vero industriam voco lucidi corporis *purificandi* facultatem, ut totius philosophiæ pars contemplativa, tanquam mens, præeat, activa autem, tanquam facultas, sequatur. Cæterum activæ philosophiæ duas species ponamus, civilem et mysticam; quarum illa virtutum ope nos a rationis et judicii inopia liberat, hæc autem sacris artibus visa materialia præcidit. Ac civilis quidem philosophiæ non exiguum specimen leges sunt in republica sanctæ, mysticæ vero civitatum sacra. Est etiam totius philosophiæ caput mens contemplativa, medium vero civilis, tertium denique velut membrum mystica; quorum primum cum duobus illis comparatum oculi vice fungitur, illa autem sequentia cum primo collata manûs et pedis locum tenent: omnia vero ita inter se sunt conjuncta et ordinata, ut horum quidvis sit imperfectum ac propemodum inane, si reliquorum ope destituatur. Oportet igitur scientiam veritatis inventricem et facultatem virtutis procreatricem eamque, quæ puritatis effectrix est, in unum coire, ut menti duci congruens reddatur civile opus et his ambobus consentaneum fiat opus sacrum. Hic Pythagoricæ disciplinæ finis est, ut philosophicorum certaminum athletæ toti penitus alati fiant ad adipiscendam divinorum bonorum consortionem, ut quum mortis tempus advenerit, relicto in terra mortali corpore et exuta ejus natura ad ingrediendum cœleste iter rite accincti sint; tunc enim et in antiquum statum eos restitutum iri et deos fore, quoad homines dii fieri possunt, carmen in sequentibus declarat.

XXVII. 70—71.

Quodsi relicto corpore ad liberum ætherem commi-
[graveris,
eris immortalis deus, incorruptus, neque amplius
[morti obnoxius.

Hic est laborum finis pulcherrimus. Hoc, ut ait Plato, magnum illud certamen et spes magna. Hic philosophiæ fructus perfectissimus: huc hieraticæ et mysticæ artis opus maximum spectat, ut eos qui iter supra descriptum fecerunt conciliatos ad verorum bonorum possessionem reducat, atque ab ærumnis hisce, tanquam

ἱερατικῆς καὶ τελεστικῆς τέχνης τὸ μέγιστον ἔργον, οἰκειῶσαι μὲν καὶ ἀναγαγεῖν πρὸς τὰ ὄντως καλά, ἀπολῦσαι δὲ τῶν τῇδε πόνων, ὡς ἔκ τινος καταγείου σπηλαίου τῆς ἐνύλου ζωῆς, καὶ ἀναγαγεῖν πρὸς τὰς αἰθερίους αὐγάς, καὶ ταῖς μακάρων ἐνιδρῦσαι νήσοις, τοὺς διὰ τῶν προειρημένων ὁδεύσαντας. Τούτοις γὰρ καὶ τὸ τῆς ἀποθεώσεως ἀπόκειται γέρας· ἐπειδὴ εἰς θεῶν γένος οὐ θέμις ἀφικνεῖσθαι ἄλλῳ, ἢ τῷ κτησαμένῳ ἀλήθειαν μὲν καὶ ἀρετὴν ἐν ψυχῇ, καθαρότητα δὲ ἐν τῷ πνευματικῷ αὐτῆς ὀχήματι. Οὕτω γὰρ ὑγιής τε καὶ ὁλόκληρος γενόμενος εἰς τὸ τῆς ἀρχαίας ἕξεως εἶδος ἀποκαθίσταται, διὰ τῆς πρὸς τὸν ὀρθὸν λόγον ἑνώσεως ἀπολαβὼν ἑαυτόν, καὶ πάντα τὸν θεῖον κόσμον ἀναγνωρίσας, καὶ τὸν δημιουργὸν τουδὶ τοῦ παντός, κατὰ τὸ δυνατὸν ἀνθρώπῳ, ἐξευρών. Τοῦτο δὲ γενόμενος ὡς οἷόν τε μετὰ τὴν κάθαρσιν, ὃ ἀεί εἰσιν οἱ μὴ εἰς γένεσιν πίπτειν πεφυκότες, ταῖς μὲν γνώσεσιν ἑνοῦται τῷ παντί, καὶ πρὸς αὐτὸν ἀνάγεται τὸν θεόν· σῶμα δὲ συμφυὲς ἔχων, τόπου δεῖται εἰς κατάταξιν ἀστροειδῆ, οἷον θέσιν ζητῶν. Πρέποι δ' ἂν τῷ τοιούτῳ σώματι τόπος ὁ ὑπὸ σελήνην προσεχῶς, ὡς ὑπερέχων μὲν τῶν φθαρτῶν σωμάτων, ὑποβεβηκὼς δὲ τῶν οὐρανίων, ὃν αἰθέρα ἐλεύθερον οἱ Πυθαγόρειοι καλοῦσιν· αἰθέρα μέν, ὡς ἄϋλον καὶ ἀΐδιον σῶμα· ἐλεύθερον δέ, ὡς ὑλικῶν παθημάτων καθαρόν. Τί οὖν ὁ ἐκεῖσε ἐλθὼν ἔσται, ἢ τοῦτο, ὅ φησιν, ἔσσεαι ἀθάνατος θεός, ὡμοιωμένος τοῖς ἐν ἀρχῇ τῶν ἐπῶν λεχθεῖσιν ἀθανάτοις θεοῖς, οὐ φύσει ἀθάνατος θεός. Πῶς γὰρ τὸ ἀπὸ χρόνου τινὸς προκόψαν καὶ ἐπιδεδωκὸς εἰς ἀρετὴν καὶ ἀποθέωσιν τοῖς ἐξ ἀϊδίου τοιούτοις εἰς ταυτὸν ἄν ποτε κατασταίη; Δηλοῖ δὲ τοῦτο ἡ προσθήκη· τῷ γὰρ ἔσσεαι ἀθάνατος θεὸς ἐπήγαγεν, ἄμβροτος, οὐκ ἔτι θνητός· ἵνα κατὰ ἀφαίρεσιν τοῦ βροτοῦ καὶ τοῦ θνητοῦ ἡ θεοποιία ἡμῶν νοῆται, ἅτε μὴ φύσει μηδὲ κατ' οὐσίαν ἡμῖν ἐνυπάρχουσα, ἀλλ' ἐκ προκοπῆς καὶ κατ' ἐπίδοσιν ἐπιγενομένη. Ὡς ἄλλο γένος εἶναι τοῦτο θεῶν, ἀθανάτων μὲν τῇ ἀνόδῳ, θνητῶν δὲ τῇ καθόδῳ γιγνομένων, οἳ καὶ τῶν ἀγαυῶν ἡρώων ἐξ ἀνάγκης ὑποβεβήκασιν, εἴπερ ἐκεῖνοι μὲν ἀεὶ νοοῦσι τὸν θεόν, οὗτοι δὲ καὶ εἰς ἄγνοιαν αὐτοῦ ποτε πίπτουσιν. Οὐ γὰρ δὴ τὸ τρίτον γένος τελειωθὲν ἢ τοῦ μέσου γένοιτο ἂν κρεῖττον, ἢ τῷ πρώτῳ ἴσον, ἀλλὰ μένον τρίτον ὁμοιοῦται τῷ πρώτῳ γένει ὑποτεταγμένον τῷ μέσῳ. Ἡ γὰρ κατὰ σχέσιν ἐν ἀνθρώποις δρωμένη πρὸς τοὺς οὐρανίους ὁμοιότης ἤδη προϋπάρχει τελειότερον καὶ προσφυέστερον τοῖς ἡρωϊκοῖς καὶ μέσοις γένεσι. Καὶ οὕτω κοινὴ καὶ μία πάντων τῶν λογικῶν γενῶν τελειότης θεωρεῖται ἡ πρὸς τὸν δημιουργὸν θεὸν ὁμοιότης. Αὕτη δὲ ἀεὶ μὲν καὶ ὡσαύτως ὑπάρχει τοῖς οὐρανίοις· ἀεὶ δὲ μόνον, οὐχ

---

ex subterraneo quodam corporeæ vitæ specu liberatos ad æthercam lucem evehat atque in beatorum insulis collocet. His enim præmii loco etiam relatio inter divos proposita est, quandoquidem nemini in deorum ordinem venire fas est, nisi ei, qui in animo veritatem et virtutem, in spiritali autem ejus vehiculo puritatem adeptus sit. Ita enim sanus et integer factus in antiqui habitûs formam restituitur; quippe qui ad rectam se rationem applicans sese recollegerit et divinum universi ordinem recognoverit ipsumque hujus universi parentem, quantum homo potest, invenerit. Post *purificationem* vero id quoad potest factus, quod ii semper sunt quorum ea est natura ut in hunc mundum decidere non possint, intelligentiâ cum universo conjungitur, et ad Deum ipsum evehitur : adhærente autem corpore loco eget ad habitandum, talem desiderans, in quo stellæ instar collocetur. Conveniat vero hujusmodi corpori locus ille qui lunæ proxime subjacet, quippe qui corporibus corruptioni obnoxiis superior sit, cœlestibus autem inferior, quem Pythagorei *liberum ætherem* vocant, *ætherem* quidem, ut corpus materiæ expers atque æternum, *liberum* autem, ut a materiæ affectibus purum. Quid igitur is qui eo pervenerit aliud erit, quam quod dicit carmen, *eris immortalis deus?* illis similis factus qui carminis initio immortales dii dicti sunt, non natura *immortalis deus*. Quo pacto enim quod a certo tempore profecit atque in virtute tantos fecit progressus, ut relationem inter divos consequeretur, eandem unquam sortiatur dignitatem, quæ in iis est qui ab omni æternitate tales fuerunt? Hoc autem id quod additur ostendit; verbis enim illis *eris immortalis deus* adjecit *incorruptus, neque amplius morti obnoxius*, ut eo quod caducum et mortale est sublato divinitas nobis tributa intelligatur, quippe quæ nec natura nec substantia nobis insit, sed profectu et progressu nobis accesserit; ut aliud hoc sit deorum genus, immortalium quidem ascensu, mortalium vero descensu, qui etiam heroibus illustribus necessario inferiores sunt, siquidem illi Deum semper intelligunt, hi autem in ejus ignorationem aliquando incidunt. Nequaquam enim tertium genus ad perfectionis fastigium evectum aut medio præstantius aut primo æquale fuerit, sed tertium adhuc manens et medio generi subjectum primo assimilatur. Nam quæ in hominibus cernitur cum diis immortalibus ex habitu orta similitudo : ea perfectior et convenientior jam prius est heroicis et mediis generibus. Sic communis et una omnium generum ratione præditorum perfectio apparet eorum cum Deo rerum opifice similitudo. Hæc semper atque eodem modo inest cœlestibus, sem-

ὡσαύτως δὲ τοῖς μονίμοις αἰθερίοις· οὔτε δὲ ἀεί, οὔτε ὡσαύτως, τοῖς μεταπίπτουσιν αἰθερίοις καὶ ἐπὶ γῆς πολιτεύεσθαι πεφυκόσι. Τὴν δὲ πρώτην καὶ ἀρίστην ὁμοίωσιν πρὸς θεὸν εἴ τις τῆς δευτέρας καὶ τρίτης ἀπεικασίας παράδειγμα ποιοῖτο, ἢ τὴν δευτέραν τῆς τρίτης, λέγοι ἂν ὀρθῶς. Οὐ γὰρ μόνον σκοπὸς ὁμοιωθῆναι τῷ δημιουργῷ θεῷ, ἀλλὰ καὶ ὡς πρὸς κανόνα, τὴν ἀρίστην ἢ τὴν μέσην ὁμοίωσιν. Εἰ δὲ ἀπολειπόμενοι τούτων, τυγχάνομεν οἵας δυνάμεθα τυχεῖν, αὐτὸ τοῦτο τὸ κατὰ φύσιν ἔχομεν, καὶ τὸ τέλειον τῆς ἀρετῆς ἐν τούτῳ καρπούμεθα, ἐν τῷ τὸ μέτρον τῆς οὐσίας ἡμῶν μήτε ἀγνοεῖν, μήτε δυσχεραίνειν. Ἀκροτάτη δὲ ἀρετὴ τοῖς τε τῆς δημιουργίας ὅροις ἐμμένειν, οἷς πάντα κατ' εἶδος διακέκριται, καὶ τοῖς τῆς προνοίας ἕπεσθαι νόμοις, δι' οὓς τὰ πάντα, κατὰ τὴν οἰκείαν δύναμιν, πρὸς τὸ σύμμετρον ἀγαθὸν οἰκειοῦται.

Τοιαύτη τῶν Χρυσῶν Ἐπῶν ἡ ἐξήγησις ἡμῖν γέγονε, περιέχουσα ἐν αὐτῇ Πυθαγορείων δογμάτων μετρίαν σύνοψιν. Ἔδει γὰρ μήτε ἐν τῇ τῶν ἐπῶν βραχύτητι στῆσαι τὸν λόγον, (οὕτω γὰρ ἂν πολλὰ διέλαθεν ὅτι καλῶς νενομοθέτηται,) μήτε εἰς μῆκος ἀποτεῖναι τῆς ὅλης φιλοσοφίας αὐτόν, (μεῖζον γὰρ τοῦτο ἢ κατὰ τὸν παρόντα λόγον,) ἀλλὰ τὸ μέτρον τῶν λόγων, ὅσον οἷόν τε, πρὸς τὸν τούτων ποιήσασθαι νοῦν, τοσοῦτον μόνον ἐν αὐτοῖς ἐξαπλώσαντας, ὅσον ἐκ τῶν καθόλου δογμάτων τῇ τῶν ἐπῶν ἐξηγήσει προσήρμοττεν. Ἔστι γὰρ οὐδὲν ἄλλο τὰ ἔπη ταῦτα, ἢ τελειότατος χαρακτὴρ φιλοσοφίας, καὶ τῶν κεφαλαιωδεστέρων αὐτῆς δογμάτων ἐπιτομή, καὶ ὑπὸ τῶν ἤδη τὴν θείαν οἶμον ἀναβεβηκότων ὑπογραφεῖσα τοῖς μετ' αὐτοὺς παιδευτικὴ στοιχείωσις· ἃ δὴ καὶ τῷ ὄντι εἴποι τις ἂν τῆς ἀνθρωπίνης εὐγενείας εἶναι γνώρισμα κάλλιστον, καὶ οὐχ ἑνός τινος τῶν Πυθαγορείων ἀπομνημόνευμα, ὅλου δὲ τοῦ ἱεροῦ συλλόγου, καὶ ὡς ἂν αὐτοὶ εἴποιεν, τοῦ ὁμακόου παντὸς ἀπόφθεγμα κοινόν. Διὸ καὶ νόμος ἦν ἕωθέν τε ἀνισταμένους αὐτοὺς ἀκροᾶσθαι τούτων τῶν ἐπῶν, ὥσπερ τινῶν Πυθαγορικῶν θεσμῶν, ἑνός τινος ὑπαναγινώσκοντος, καὶ πρὸς ἑσπέραν εἰς ὕπνον μέλλοντας τρέπεσθαι· ὅπως ἂν τῇ συνεχείᾳ τῆς μελέτης τῶν τοιούτων λόγων ζῶντα ἐν αὐτοῖς ἀποφήνωσι τὰ δόγματα. Ὃ δὴ καὶ ἡμᾶς ποιεῖν δίκαιον, πρὸς τὸ συναίσθησιν τῆς ἀπ' αὐτῶν ὠφελείας ὀψὲ γοῦν ποτε κτήσασθαι.

---

per vero tantum, nec tamen eodem modo æthereis certo loco manentibus, at neque semper neque eodem modo æthereis mutationi obnoxiis, quorum ea est natura, ut in terris versari possint. Si quis autem primam præstantissimamque cum Deo similitudinem secundæ et tertiæ assimilationis exemplar faciat, aut secundam tertiæ, recte sentiat. Neque enim id solum spectatur, ut mundi ædificatori Deo similes fiamus, sed etiam ut ad optimam vel mediam similitudinem, tanquam ad normam, dirigamur. Quodsi his destituti similitudinem, qualem possumus, assequamur, id ipsum quod naturæ convenit obtinemus et in hoc perfectum virtutis fructum percipimus, quod naturæ nostræ modum nec ignoramus nec ægre ferimus. Summa autem virtus est et creationis finibus, quibus omnia per species distincta sunt, sese continere, et providentiæ legibus obtemperare, quibus omnia pro sua quæque facultate ad bonum ipsis accommodatum adducuntur.

Hujusmodi est *Aureorum Versuum* explicatio nostra, quæ Pythagoricorum dogmatum modicum conspectum continet. Decebat enim nos neque ad carminis brevitatem expositionem nostram contrahere, (ita enim latuisset multorum præceptorum pulchritudo, neque sermonem ad universæ philosophiæ amplitudinem producere, (id enim majus quid fuisset quam instituti nostri ratio postulat,) sed disputationis modum, quoad potuimus, ad versuum mentem accommodare, tantum in iis solum explanantes, quantum ex universis decretis ad eorum explicationem aptum esset. Nihil enim aliud sunt hi versus, quam perfectissima philosophiæ imago et primariorum ejus dogmatum epitome atque elementaria institutio posterorum gratia scriptis mandata ab iis qui divinam jam viam ascenderant: quos quidem et pulcherrimum humanæ ingenuitatis ornamentum esse revera dicere possis, ac non unius Pythagorici dictum memorabile, sed totius sacri collegii, atque ut ipsi vocarent, ὁμακόου universi commune effatum. Unde etiam illis moris erat, et mane e lecto surgentes hos versus, tanquam leges quasdam Pythagoricas, recitante aliquo, audire, et vesperi, quum somno se dare volebant; ut assidua ejusmodi sermonum meditatione viventia in animo efficerent dogmata. Quod sane et nos facere æquum est, ut sensu utilitatis quæ ex iis oritur tandem aliquando afficiamur.

ΕΚ ΤΩΝ ΠΑΡΑ ΠΥΘΑΓΟΡΕΙΟΙΣ ΑΛΛΟΙΣ ΤΕ ΟΜΟΙΩΜΑΤΩΝ.

PYTHAGOREORUM ALIORUMQUE PHILOSOPHORUM SIMILITUDINES QUÆDAM.

ΔΗΜΟΦΙΛΟΥ ΕΚ ΤΩΝ ΠΥΘΑΓΟΡΕΙΩΝ ΟΜΟΙΑ Η ΒΙΟΥ ΘΕΡΑΠΕΙΑ.

1. Ἔοικεν ἡ κολακεία γραπτῇ πανοπλίᾳ· διὸ τέρψιν μὲν ἔχει, χρείαν δὲ μηδεμίαν παρέχεται.
2. Ἡ παιδεία ὁμοία ἐστὶ χρυσῷ στεφάνῳ· καὶ γὰρ τιμὴν ἔχει καὶ τὸ λυσιτελές.
3. Οἱ ἐλαφροὶ τῶν ἀνθρώπων καθάπερ τὰ κενὰ τῶν ἀγγείων εὐβάστακτοι τοῖς ὠταρίοις εἰσίν.
4. Ὁ βίος ὥσπερ ὄργανον ἀνέσει καὶ ἐπιτάσει ἁρμοζόμενος ἡδίων γίνεται.
5. Ὁ λόγος ὥσπερ πλάστης ἀγαθὸς καλὸν τῇ ψυχῇ περιτίθησι σχῆμα.
6. Ὁ τῶν σοφῶν νοῦς, ὥσπερ χρυσός, βάρος ἔχει μέγιστον.
7. Τῆς ἀλαζονείας, καθάπερ τῶν κεχρυσωμένων ὅπλων, οὐχ ὅμοιά ἐστι τὰ ἐντὸς τοῖς ἐκτός.
8. Μύρῳ τὴν αὐτὴν δύναμιν ἔχει ὁ λόγος· κάμνοντας μὲν ἡμᾶς ὠφελεῖ, καλῶς δὲ πράσσοντας εὐφραίνει.
9. Φαύλου ἀνδρός, καθάπερ κυνὸς κακοῦ, μᾶλλον δεῖ τὴν σιγὴν ἢ τὴν φωνὴν εὐλαβεῖσθαι.
10. Οὔτε τῇ γαμετῇ πρέπον τὴν ἑταίραν, οὔτε τῇ φιλίᾳ τὴν κολακείαν προτιμᾶσθαι.
11. Οἱ ἀδολέσχαι, ὥσπερ αἱ χελιδόνες, τῷ συνεχεῖ τῆς λαλιᾶς τὴν ἡδονὴν τῆς ὁμιλίας ἀποβάλλουσιν.
12. Τοὺς μὲν κακοὺς ἀσεβήσαντας, τοὺς δὲ ἀνοήτους καὶ θρασεῖς γηράσαντας αἱ τῶν ἁμαρτημάτων συνδιώκουσιν ἐριννύες.
13. Τὸν πεπαιδευμένον, ὥσπερ ἐκ συμποσίου, ἐκ τοῦ βίου εὐσχημονοῦντα δεῖ ἀναλύειν.
14. Λιμὴν μὲν πλοίῳ ὅρμος, βίῳ δὲ φιλία.
15. Πατρὸς ἐπιτίμησις ἡδὺ φάρμακον· πλεῖον γὰρ ἔχει τὸ ὠφελοῦν τοῦ δάκνοντος.

DEMOPHILI SIMILITUDINES SEU VITÆ CURATIO EX PYTHAGOREIS.

1. Adulatio pictæ armaturæ similis est, ideoque oblectamentum quidem affert, sed usum nullum præbet.
2. Eruditio similis est coronæ aureæ, quippe quæ honorem simul cum pretio conjunctum habeat.
3. Homines vani et leves ut vasa inania facillime auribus prehensi ducuntur.
4. Vita musici instrumenti instar remissione et intentione temperata suavior redditur.
5. Ratio boni fictoris more egregiam figuram animo inducit.
6. Mens sapientum non secus atque aurum plurimum ponderis habet.
7. Jactantiæ pariter atque armorum auratorum interna externis haudquaquam respondent.
8. Eadem orationis vis atque unguenti; nam et male affectos nos juvat, et bene valentes oblectat.
9. Hominis improbi, æque ac mali canis, silentium magis quam vox cavenda.
10. Neque uxori amica, neque amicitiæ adulatio præferenda est.
11. Homines garruli hirundinum instar continua loquacitate colloquio gratiam adimunt.
12. Homines malos in impietatem prolapsos, dementes vero et protervos ætate provectos peccatorum furiæ agitant.
13. Sapienti ex vita, velut ex convivio, honeste discedendum.
14. Navi quidem portus, vitæ autem amicitia refugium est.
15. Parentis objurgatio dulce remedium est: plus enim habet utilitatis quam mordacitatis.

16. Τὸν σπουδαῖον ἄνδρα, καθάπερ παλαιστὴν ἀγαθόν, δεῖ πρὸς τὴν ἀνταγωνιζομένην τύχην τὰ βάρη μεταφέρειν.

17. Ἡ αὐτάρκεια, καθάπερ ὁδὸς βραχεῖα καὶ ἐπιτερπής, χάριν μὲν ἔχει μεγάλην, κόπον δὲ μικρόν.

18. Οἱ μὲν τραχεῖς ἵπποι τοῖς χαλινοῖς, οἱ δ' ὀξεῖς θυμοὶ τοῖς λογισμοῖς μετάγονται.

19. Τῷ γελοίῳ καθάπερ ἁλὶ πεφεισμένως δεῖ χρῆσθαι.

20. Καὶ ὑπόδημα καὶ βίος ἁρμόττων ὁ ἀλυπότερος.

21. Αἱ μὲν ποδήρεις ἐσθῆτες τὰ σώματα, αἱ δὲ ὑπέρμετροι οὐσίαι τὰς ψυχὰς ἐμποδίζουσιν.

22. Τοῖς μὲν σταδιοδρομοῦσιν ἐπὶ τῷ τέρματι τὸ βραβεῖον τῆς νίκης, τοῖς δὲ φιλοπονήσασιν ἐπὶ τοῦ γήρους τὸ πρωτεῖον τῆς φρονήσεως ἀπόκειται.

23. Δεῖ ὥσπερ Σειρῆνας τὰς ἡδονὰς παρελθεῖν τὸν κατασπεύδοντα τὴν ἀρετὴν ἰδεῖν ὡς πατρίδα.

24. Ὥσπερ οἱ ἐν εὐδίᾳ πλέοντες καὶ τὰ πρὸς τὸν χειμῶνα ἔχουσιν ἕτοιμα· οὕτως οἱ ἐν εὐτυχίαις φρονοῦντες καὶ τὰ πρὸς τὴν ἀτυχίαν ἑτοιμάζουσι βοηθήματα.

25. Αἱ μὲν ἐσθῆτες γενόμεναι διάλαμπροι πάλιν ἐν τῇ χρήσει ἀναπίμπλανται ῥύπου· αἱ δὲ ψυχαὶ ἅπαξ ἀποκαθαιρόμεναι τὴν ἀμάθειαν διὰ παντὸς μένουσι λαμπραί.

26. Οἱ μὲν δραπέται κἂν μὴ διώκωνται φοβοῦνται· οἱ δὲ ἄφρονες, κἂν μήπω κακῶς πράσσωσι, ταράσσονται.

27. Ὁ τῶν φιλαργύρων πλοῦτος, ὥσπερ ὁ ἥλιος καταδὺς εἰς τὴν γῆν, οὐδένα τῶν ζώντων εὐφραίνει.

28. Οἱ μὲν ἐκ τῆς γῆς καρποὶ κατ' ἐνιαυτόν, οἱ δὲ ἐκ τῆς φιλίας κατὰ πάντα καιρὸν φύονται.

29. Μουσικοῦ μὲν ἔργον τὸ πᾶν ὄργανον ἁρμόσασθαι, πεπαιδευμένου δὲ ἀνδρὸς τὸ πάσῃ ψυχῇ συμφωνῆσαι.

30. Οὔτ' ἀῤῥώστου πληγήν, οὔτ' ἀνοήτου ἀπειλὴν δεῖ εὐλαβεῖσθαι.

31. Ὑπενδύεσθαι δεῖ τῷ μὲν θώρακι χιτῶνα, τῇ δὲ λύπῃ νοῦν.

32. Νοσοῦντος δίαιτα καὶ ἄφρονος ψυχὴ δυσάρεστον.

33. Οἱ μὲν ἀμαθεῖς παῖδες τὰ γράμματα, οἱ δὲ ἀπαίδευτοι ἄνδρες τὰ πράγματα συγχέουσιν.

34. Ὁ ἐκ φιλοσοφίας νοῦς ἔοικεν ἡνιόχῳ· περίεστι γὰρ τῶν ἐν ἡμῖν ἐπιθυμιῶν, ἀεὶ μετάγων αὐτὰς εἰς τὸ καλόν.

35. Τὸ μὲν ἀψίνθιον ὁ καιρὸς τοῦ μέλιτος γλυκύτερον, τὸν δ' ἐχθρὸν ἐντιμότερον τοῦ φίλου ἡ περίστασις ἐνίοτε ποιεῖ.

36. Καὶ κυβερνήτης ἀγαθὸς ἐνίοτε ναυαγεῖ, καὶ ἀνὴρ σπουδαῖος ἀτυχεῖ.

37. Αἱ μὲν βρονταὶ μάλιστα τοὺς παῖδας ἐκφοβοῦσιν, αἱ δὲ ἀπειλαὶ τοὺς ἄφρονας.

38. Ἀνδριάντα μὲν τὸ σχῆμα, ἄνδρα δὲ ἡ πρᾶξις κοσμεῖ.

16. Virum bonum boni luctatoris exemplo adversanti fortunæ tota corporis mole obniti decet.

17. Frugalitas, brevis et jucundæ viæ instar, multum gratiæ, defatigationis parum habet.

18. Equi contumaces frenis, animi ad iracundiam proni rationibus ducuntur.

19. Joco, ut sale, parce utendum.

20. Et calceus et fortunæ modus aptus minus molestus est.

21. Vestes talares corpora, opes immensæ animos impediunt.

22. Qui stadium decurrunt, iis victoriæ præmium in meta, hominibus autem laboriosis prudentiæ palma in senectute posita est.

23. Voluptates ut Sirenes prætereundæ sunt ei qui virtutem tanquam patriam visere cupit.

24. Ut secunda tempestate navigantes etiam adversæ præsidia in promtu habent : ita in rebus secundis viri sapientes etiam adversæ fortunæ medicinam parant.

25. Vestes lotæ et nitidæ usu rursus sordibus implentur : animi autem semel ab ignorantia purgati perpetuo nitorem servant.

26. Fugitivi etiam nemine persequente timent; stulti vero, quamvis nullis malis premantur, perturbari solent.

27. Avarorum divitiæ occidui solis instar terram subeuntis nemini vivorum voluptatem afferunt.

28. Ex terra quotannis, ex amicitia quovis temporis momento fructus proveniunt.

29. Musici est quodcunque instrumentum numeris contendere, viri autem sapientis ad cujusvis animum sese accommodare.

30. Neque ægroti verbera, neque stulti minæ sunt pertimescendæ.

31. Thoraci quidem tunica, dolori autem bonus animus subesse debet.

32. Victus ægrotantis et stulti animus molestus est.

33. Pueri indocti litteras, viri imperiti res confundunt.

34. Animus sapientiæ præceptis imbutus aurigæ similis est; nam insitas nobis cupiditates coercet et ad honestatem componit.

35. Occasio quidem absinthium melle dulcius reddit, rerum autem status quandoque efficit, ut inimicus amico potior sit.

36. Aliquando et bonus gubernator naufragium facit, et vir bonus malis premitur.

37. Tonitrua quidem pueros imprimis, minæ autem stultos territant.

38. Statuam figura, virum actio ornat.

39. Ταυτόν ἐστιν ἐκ χρυσοῦ ποτηρίου φάρμακον θανάσιμον πιεῖν, καὶ παρὰ φίλου ἀγνώμονος συμβουλίαν λαμβάνειν.

40. Αἱ μὲν χελιδόνες εὐδίαν σημαίνουσιν ἡμῖν, οἱ δὲ φιλοσοφίας λόγοι τὴν ἀλυπίαν.

41. Οὐχ οὕτως τοῖς ὀρφανοῖς παισίν, ὡς τοῖς ἀνοήτοις ἀνδράσιν ἐπιτρόπων ἐστὶ χρεία.

42. Ἡ τύχη ἔοικε φαύλῳ ἀγωνοθέτῃ· πολλάκις γὰρ τὸν μηδὲν πράξαντα στεφανοῖ.

43. Εἰς μὲν τὸ εὐπλοῆσαι κυβερνήτου καὶ πνεύματος χρεία· εἰς δὲ τὸ εὐδαιμονῆσαι λογισμοῦ καὶ τύχης.

44. Ὁ μὲν δειλὸς καθ' ἑαυτοῦ τὰ ὅπλα, ὁ δὲ ἀνόητος τὰ χρήματα ἔχει.

45. Τὸ αὐτό ἐστιν ἐξ ἀσθενοῦς ἀγκυρίου σκάφος ὁρμίζειν, καὶ ἐκ φαύλης γνώμης ἐλπίδα.

46. Ἐπισκοτεῖ τῷ μὲν ἡλίῳ πολλάκις τὰ νέφη, τῷ δὲ λογισμῷ τὰ πάθη.

47. Οὔτε τὸν ἄῤῥωστον ἡ χρυσῆ ὠφελεῖ κλίνη, οὔτε τὸν ἀνόητον ἐπίσημος εὐτυχία.

48. Τὸ μὲν εὔκρατον ὕδωρ τὰς φλεγμονὰς ἐκλύει· ὁ δ' ἐπιεικὴς λόγος τὰς ὀργάς. (Scripsi ἐκλύει; cod. ἐπιλύει).

49. Οὔτε ὁ αὐστηρὸς οἶνος εἰς πολυποσίαν εὔθετος, οὔτε ἄγροικος τρόπος εἰς ὁμιλίαν.

50. Πιθήκου ὀργὴν καὶ κόλακος ἀπειλὴν ἐν ἴσῳ θετέον.

51. Τοῦ βίου καθάπερ δράματος πρῶτον μέρος ἐστὶν ἡ νεότης· διὸ πάντες αὐτῇ προσέχουσιν.

52. Τὰς μὲν γραφὰς ἀσφαλεστέρας, τὰς δὲ πράξεις λαμπροτέρας ἔχειν δεῖ.

53. Ὃν τρόπον ἐπὶ τῶν φυτῶν, καὶ ἐπὶ τῶν νέων ἡ πρώτη φυὴ προδείκνυσι τὸν μέλλοντα καρπὸν τῆς ἀρετῆς.

54. Ἐν μὲν τοῖς συμποσίοις ὁ μὴ παροινῶν ἡδύτερος· ἐν δὲ τοῖς ἀγαθοῖς ὁ μὴ παρανομῶν.

55. Τὸ αὐτό ἐστιν ὄφιν ἐκτρέφειν καὶ τὸν πονηρὸν εὐεργετεῖν· παρ' οὐδετέρῳ γὰρ ἡ χάρις εὔνοιαν γεννᾷ.

56. Ἐν μὲν εὐδίᾳ σπάνιον τὸ ναυαγῆσαι· ἐν δὲ τῇ ἀβουλίᾳ τὸ μὴ ναυαγῆσαι.

57. Τοὺς μὲν κενοὺς ἀσκοὺς τὸ πνεῦμα διΐστησι· τοὺς δ' ἀνοήτους ἀνθρώπους τὸ οἴημα.

58. Γυμναζόμενον δεῖ φυλάσσεσθαι τὸν κόπον, εὖ πράσσοντα δὲ τὸν φθόνον.

59. Μέτρον ἄριστον, ἔφη τις τῶν σοφῶν· ᾧ πειθόμενοι καὶ ἡμεῖς ὁμοίως τὰς τοῦ βίου θεραπείας ἀναπαύσωμεν, φίλτατε ἡμῖν καὶ ἱερώτατε Ἀσκληπιάδη.

Τέλος τῶν Δημοφίλου ὁμοίων.

39. Idem est ex aureo poculo lethale venenum bibere, et consilium a perfido amico datum accipere.

40. Hirundines lætum anni tempus, sermones autem de philosophia habiti animi tranquillitatem nobis prænuntiant.

41. Non tam orbi parentibus pueri, quam viri stulti tutoribus indigent.

42. Fortuna malo pugnæ arbitro similis est, quippe quæ sæpe nullius præclari facinoris auctorem coronet.

43. Ad feliciter navigandum gubernatore et vento; ad beate vivendum ratione et fortuna opus est.

44. Ut timidus arma, ita stultus opes contra se ipsum habet.

45. Idem est navem infirma ancora et spem animo perverso fulcire.

46. Solem sæpenumero nubes, rationem affectus obscurant.

47. Neque ægrotantem aureus lectus, nec stultum ampla fortuna juvat.

48. Temperata aquæ potio intestinorum ardores, lenis autem oratio iras diluit.

49. Neque vinum austerum largiori potationi, neque rustici mores conversationi apti sunt.

50. Ira simiæ et adulatoris minæ eodem loco habendæ.

51. Vitæ tanquam comœdiæ primus actus adolescentia est : ideo cuncti attento animo eam spectant.

52. Scripturam indelebilem, facinora tua præclara esse oportet.

53. Sicut in plantis, ita in pueris quoque prima indoles futurum virtutis fructum indicat.

54. In conviviis quidem suavior est homo minime vinolentus, in rebus secundis autem minime iniquus.

55. Idem est enutrire anguem et malum beneficiis afficere; apud neutrum enim gratia benevolentiam parit.

56. Raro secunda tempestate navis frangitur; raro autem temeritate servatur.

57. Utres inanes ventus, homines autem stultos arrogantia inflat.

58. In exercitiis lassitudo, in rerum successu invidia cavenda.

59. Modum rem omnium optimam sapientum aliquis nominavit : cujus consilio etiam nos, o amicissime piissimeque Asclepiades, vitæ curandæ præceptis finem imponemus.

Finis Demophili Similitudinum.

Has Pythagoreorum similitudines a Demophilo collectas e codice Vaticano edidit Lucas Holstenius. Sed multo plures quam in Vaticano libro comparent ejusdem generis sententias opere suo Demophilum complexum fuisse suspicamur. Namque ex antiquo illo volumine petita videntur similium rerum exempla quæ maximam partem Socrati vel aliis auctoribus ascripta insertis nonnullis Vaticani Demophili effatis servarunt Jo. Stobæus in Florilegio atque Antonius et Maximus in Eclogis. Ea igitur, omissis quæ trium illorum fontium communia sunt, hoc loco proponere mihi visum est.

1. Τοῦ βίου καθάπερ ἀγάλματος πάντα τὰ μέρη καλὰ εἶναι δεῖ.
2. Ἀνδριὰς μὲν ἐπὶ βάσεως, σπουδαῖος δὲ ἀνὴρ ἐπὶ καλῆς προαιρέσεως ἑστὼς ἀμετακίνητος ὀφείλει εἶναι.
3. Τὸν λιβανωτὸν τοῖς θεοῖς, τὸν δὲ ἔπαινον τοῖς ἀγαθοῖς ἀπονέμειν δεῖ.
4. Ἀπολογεῖσθαι μὲν γὰρ χρὴ ὑπὲρ τῶν ἀδίκως περὶ τὸ ἀδικεῖν αἰτίαν ἐχόντων, ἐπαινεῖν δὲ τοὺς ἐπ' ἀγαθῷ τινι διαφέροντας.
5. Οὔτε ἵππος εὐγενὴς κρίνοιτ' ἂν πολυτελῆ σκευὴν ἔχων, ἀλλ' ὁ τῇ φύσει λαμπρός, οὔτε ἀνὴρ σπουδαῖος ὁ πολύτιμον οὐσίαν κεκτημένος, ἀλλ' ὁ τὴν ψυχὴν γενναῖος.
6. Τοῦ σοφοῦ στόματος ἀνοιχθέντος, καθάπερ ἱεροῦ, τὰ τῆς ψυχῆς καλὰ βλέπεται ὥσπερ ἀγάλματα.
7. Οὔτε ναῦν ἐξ ἑνὸς ἀγκυρίου, οὔτε βίον ἐκ μιᾶς ἐλπίδος ὁρμιστέον.
(Stob. Flor. I, 33, 34, 35, 36, 37, 38, 86 addito lemmate Σωκράτους.)
8. Οὔτε συμπόσιον χωρὶς ὁμιλίας, οὔτε πλοῦτος χωρὶς ἀρετῆς ἡδονὴν ἔχει.
(Stob. Flor. I, 30 sub Antisthenis nomine.)
9. Οὔτε ἐξ ἱεροῦ βωμόν, οὔτε ἐκ τῆς ἀνθρωπίνης φύσεως ἀφαιρετέον τὸν ἔλεον.
(Stobæus Flor. I, 31 ubi Phocioni tribuitur.)
10. Ὁδὸν μὲν τὴν λειοτάτην ἐκλέγεσθαι, βίον δὲ τὸν ἀλυπότατον.
(Stobæus Flor. III, 42 Socrati ascriptum.)
11. Μόνῳ τῷ λόγῳ, καθάπερ ἐπιτρόπῳ σώφρονι, παρακαταθετέον τὸν βίον καὶ τὴν νεότητα.
12. Καὶ ὑποδήματα καὶ βίος ἁρμόζων ἀλυπότερος.
13. Ὥσπερ εἰς κενὸν σκάφος [εἰς τὴν ψυχὴν] τὸ ἀπὸ τῆς φρονήσεως ἕρμα δεῖ προσεμβάλλειν.
(Inserui εἰς τὴν ψυχήν.)
14. Ψυχῆς ἐστι λόγος ἑαυτὸν αὔξων.
15. Ἐν τῷ βίῳ καθάπερ ἐν δράματι χρὴ τὰ πρῶτα λέγειν οὐ τὸν πλουσιώτατον, ἀλλὰ τὸν φρονιμώτατον.
16. Καλὸν ἐπὶ μὲν τῆς ἑστίας φαίνεσθαι τὸ πῦρ λαμπρόν· ἐπὶ δὲ τῆς εὐτυχίας τὸν νοῦν.
17. Δεῖ ὥσπερ εὐνομουμένης τῆς πόλεως φυγαδεύειν στασιαστὴν ἄνθρωπον, οὕτως ἐκ τῆς σωθησομένης ψυχῆς τὸν πρὸς τὰ φαῦλα κεκλικότα νοῦν.
18. Οὔτε ἵππῳ χωρὶς χαλινοῦ, οὔτε πλούτῳ χωρὶς λογισμοῦ δυνατὸν ἀσφαλῶς χρήσασθαι.

---

1. Vitæ ut simulacri cujusdam partem unamquamque pulchram esse decet.

2. Quemadmodum statua basi, sic vir probus bono instituto innixus immotus esse debet.

3. Tus diis, laus vero bonis viris tribuenda est.

4. Defendendi sunt qui immerentes accusantur injuriarum : laude ornandi qui virtute aliqua cæteris præstant.

5. Neque equus generosus judicabitur qui sumtuosas phaleras gestat, sed qui natura eximius est : neque vir honestus qui opibus affluit, sed qui animo præclarus est.

6. Quum sapiens os suum tanquam templum aperuit, ibi animi bona velut simulacra conspiciuntur.

7. Neque navem unica ancora, neque vitam una spe fultam esse oportet.

8. Neque convivium colloquio carens, neque divitiæ virtutis expertes voluptatem cuiquam afferunt.

9. Neque e templo ara, neque ex humana natura misericordia tollenda est.

10. Via eligenda planissima, vita autem jucundissima.

11. Soli rationi, tanquam prudentissimæ tutelæ, ut vitam omnem, ita maxime juventutem credi par est.

12. Quemadmodum calceamenta pedibus apta : sic vitæ ratio nobis accommodata minus molestiarum affert.

13. Sicut vacuum navigium saburra stabiliendum : ita animus prudentia firmandus est.

14. Inest animo ratio quæ suapte vi increscit.

15. Oportet in vita, tanquam in fabula quadam, primas dicendi partes agere non ditissimum, sed prudentissimum.

16. Decet in foco quidem ignem conspici splendidum, in felicitate autem animum.

17. Oportet quomodo ex civitate bonis legibus temperata seditiosum civem expellere, sic ex animo quem salvum esse voluerimus voluntatem ad mala propensam.

18. Neque equo sine freno, neque divitiis sine ratione tuto quis uti poterit.

(Stobæus Flor. III, 43, 44, 72, 85, 86, 87, 90 adjuncto lemmate Σωκράτους.)

19. Κυβερνήτου μὲν ἔργον ἀγαθοῦ εἰς τὰς τῶν πνευμάτων μεταβολὰς ἁρμόσασθαι, ἀνδρὸς δὲ σοφοῦ πρὸς τὰς τῆς τύχης.

20. Ἐν μὲν τῷ πλεῖν πείθεσθαι τῷ κυβερνήτῃ, ἐν δὲ τῷ ζῆν τῷ λογίζεσθαι δυναμένῳ βέλτιον.

(Stobæus Flor. III, 40 et 41 ἐκ τῶν Ἀριστωνύμου τομαρίων. Posterior sententia Socrati in quibusdam libris assignatur.)

21. Ὁ μὲν δειλὸς τῆς πατρίδος, ὁ δὲ φιλόδοξος τῆς πατρῴας οὐσίας ἐστὶ προδότης.

22. Ἐν μὲν ταῖς μέθαις παροινοῦσιν, ἐν δὲ ταῖς ἀτυχίαις παρανοοῦσιν οἱ ἀνόητοι.

23. Οὔθ' οἱ ἄμουσοι τοῖς ὀργάνοις οὔθ' οἱ ἀπαίδευτοι ταῖς ἀτυχίαις δύνανται συναρμόσασθαι.

24. Τῷ τῶν ἀπαιδεύτων βίῳ, καθάπερ ὑποκριτῇ, πολλὰ τύφου μετενδύματα περίκειται.

25. Τοῖς ἄφροσιν, ὥσπερ τοῖς παιδίοις, μικρὰ πρόφασις εἰς τὸ κλαίειν ἱκανή.

26. Οἱ μὲν ξένοι ἐν ταῖς ὁδοῖς, οἱ δὲ ἀπαίδευτοι ἐν τοῖς πράγμασι πλανῶνται.

27. Ταυτόν ἐστιν ἀῤῥωστοῦντι φορτίον ἀναθέσθαι, καὶ ἀπαιδεύτοις εὐτυχίαν.

28. Οὔτε πλέοντας παρὰ τόπον ὁρμεῖν ἀσφαλές, οὔτε ζῶντας παρὰ νόμον βιοῦν ἀκίνδυνον.

29. Ὁ μὲν Πρωτεὺς τῇ μορφῇ, ὁ δ' ἀπαίδευτος τῇ ψυχῇ παρ' ἕκαστον ἀλλοιοῦται.

30. Πολλοὺς ὥσπερ ἀσθενοῦντας, οὕτω καὶ εὐτυχοῦντας τὸ πλῆθος τῶν παρακειμένων λυπεῖ.

31. Οἱ μὲν ἀκρατεῖς ἐν ταῖς ἀῤῥωστίαις, οἱ δὲ ἄφρονες ἐν ταῖς ἀτυχίαις εἰσὶ δυσθεράπευτοι.

32. Οὔτε τὰ τοῦ Ἀχιλλέως ὅπλα τῷ Θερσίτῃ, οὔτε τὰ τῆς ψυχῆς ἀγαθὰ τῷ ἄφρονι ἁρμόττει.

(Stobæus Flor. IV, 57, 59, 60, 61, 62, 63, 64, 65, 66, 67, 108, 119 sub Socratis nomine.)

33. Πολλοὶ ἀδικηθέντες ὑπὸ ῥητόρων τοὺς υἱοὺς ῥήτορας διδάσκουσιν, οὐδεὶς δὲ ἀδικηθεὶς ὑπὸ λύκου αὐτὸς λύκος γίνεται καὶ ἀντιδάκνει.

(Stobæus Flor. IV, 106 ἐκ τῶν Ἀριστωνύμου τομαρίων.)

34. Οἱ μὲν σφοδρῶς πυρέττοντες τὴν ὄρεξιν καὶ τὴν ῥώμην, οἱ δ' ἐν τοῖς βασιλείοις παροικοῦντες τὸν νοῦν καὶ τὰ ἤθη πεφύκασι διαφθείρεσθαι, εἰ μὴ τὸ Γνῶθι σαυτὸν συχνῶς αὐτοῖς ἐπιλέγουσιν.

(Antonius et Maximus Serm. περὶ τοῦ Γνῶθι σαυτόν.)

35. Οὔτε πῦρ ἱματίῳ περιστεῖλαι δυνατὸν οὔτε αἰσχρὸν ἁμάρτημα χρόνῳ.

36. Τὸ μὲν πῦρ ὁ ἄνεμος, τὸν δὲ ἔρωτα ἡ συνήθεια ἐκκαίει.

(Stobæus Flor. VI, 31-32 Σωκράτους.)

37. Παρὰ τῷ τύφῳ, καθάπερ παρὰ τῷ κακῷ πλάστῃ, διεστραμμένας τὰς τῶν πραγμάτων εἰκόνας ἰδεῖν ἐστιν.

38. Ἡ δεισιδαιμονία καθάπερ πατρὶ τῷ τύφῳ πείθεται.

(Stobæus Flor. XXII, 35-36 Σωκράτους.)

39. Ὁ τῦφος ὥσπερ ποιμὴν οὗ θέλει τοὺς πολλοὺς ἄγει.

(Stobæus Flor. XXII, 41 Διογένους.)

40. Ὑποστάθμη ἐστὶν οἴνου μὲν τρύξ, φιλαργύρου δὲ ἀνελευθερία.

---

19. Boni gubernatoris est ventorum se mutationibus accommodare, viri autem sapientis, fortunæ.

20. In cursu maritimo gubernatori, in vita viro prudenti obedire decet.

21. Timidus patriæ, ambitiosus patrimonii proditor est.

22. Stulti per vinolentiam lasciviunt, in rebus adversis autem insaniunt.

23. Neque musicæ ignari instrumentis neque indocti adversæ fortunæ apti esse possunt.

24. Indoctorum vita, tanquam histrio, multa arrogantiæ integumenta quæ paullatim exuenda sunt gestat.

25. Stultis sicut infantibus levissima causa ad fundendas lacrimas sufficit.

26. Errant peregrini in viis, in rebus imperiti et rudes.

27. Idem est ægro onus imponere et indoctis bonam fortunam.

28. Neque navigantibus tutum est importuno loco appellere, neque viventibus præter legem vitam agere.

29. Proteus quidem formam, imperitus vero animum pro rerum singularum diversitate mutat et variat.

30. Multos ut ægros, ita etiam beatos adstantium multitudo molestia afficit.

31. Intemperantes in morbis, stulti in rebus adversis vix sanantur.

32. Neque Achillis arma Thersitæ, neque animi bona stulto accommodata sunt.

33. Multi ab oratoribus injuria affecti filios suos oratoriam docent: nemo vero qui a lupo injuriam accepit ipse lupus fit ut remordeat.

34. Qui valde febricitant, cibi appetentiam et robur amittunt; qui vero in principum aulis habitant, mentem et bonos mores corrumpere solent, nisi frequenter secum revolvunt hoc dictum: Nosce te ipsum.

35. Nec ignem vestimento tegere possumus neque flagitium tempore.

36. Ignem quidem ventus, amorem autem consuetudo accendit.

37. Apud jactantiam, tanquam apud malum fictorem, distortas rerum imagines videre licet.

38. Superstitio jactantiæ tanquam parenti obtemperat.

39. Fastus, velut pastor, quoquo libet, vulgus hominum ducit.

40. Sedimentum est vini quidem fæx, avari autem illiberalitas.

41. Οὔτε παρὰ νεκροῦ ὁμιλίαν οὔτε παρὰ φιλαργύρου χάριν δεῖ ζητεῖν.
(Stobæus Flor. X, 55-56 Σωκράτους.)

42. Οἱ τὸ ἀπὸ τῶν αἰσχρῶν κέρδος εἰς καλὰς ἀναλίσκοντες λειτουργίας ὅμοιόν τι ποιοῦσι τοῖς ἀπὸ ἱεροσυλείας εὐσεβοῦσιν.
(Antonius et Maximus Serm. περὶ πλεονεξίας p. 225.)

43. Οἱ φιλάργυροι, καθάπερ μαχαίρᾳ, τῷ βίῳ χρῶνται, πάντα ποιοῦντες κατὰ τὴν λαβήν.
(Stobæus Flor. X, 59 Διογένους.)

44. Ἡ τῶν κολάκων εὔνοια καθάπερ ἐκ τροπῆς φεύγει τὰς ἀτυχίας.

45. Θηρεύουσι τοῖς μὲν κυσὶν τοὺς λαγωοὺς οἱ κυνηγοί, τοῖς δὲ ἐπαίνοις τοὺς ἀνοήτους οἱ κόλακες.

46. Οἱ μὲν λύκοι τοῖς κυσίν, οἱ δὲ κόλακες τοῖς φίλοις ὄντες ὅμοιοι ἀνομοίων ἐπιθυμοῦσιν.
(Stobæus Flor. XIV, 21, 22, 23 Σωκράτους.)

47. Ἐπὶ τῆς κολακείας ὥσπερ ἐπὶ μνήματος αὐτὸ μόνον τὸ ὄνομα τῆς φιλίας ἐπιγέγραπται.
(Stobæus Flor. XIV, 14. Διογένους.)

48. Τὰ μὲν ξύλα τὸ πῦρ αὔξοντα ὑπ' αὐτοῦ καταναλίσκεται, ὁ δὲ πλοῦτος ἐκτρέφων τοὺς κόλακας ὑπ' αὐτῶν τούτων διαφθείρεται.
(Stobæus Flor. XIV, 9 ἐκ τῶν Ἀριστωνύμου τομαρίων.)

49. Τῆς παρρησίας ὥσπερ ὥρας ἐν καιρῷ ἡ χάρις ἡδίων.

50. Οὔτε μάχαιραν ἀμβλεῖαν, οὔτε παρρησίαν ἄπρακτον ἔχειν δεῖ.

51. Ἔστιν ὥσπερ τρίβωνα ῥυπαρὸν ἀμπεχόμενον εὐεκτεῖν, οὑτωσὶ καὶ βίον ἔχοντα πενιχρὸν παῤῥησιάζεσθαι.

52. Οὔτε ἐκ τοῦ κόσμου τὸν ἥλιον οὔτε ἐκ τῆς παιδείας ἀρτέον τὴν παῤῥησίαν.
(Stobæus Flor. XIII, 46, 47, 48, 49 Σωκράτους.)

53. Ὥσπερ τὸ μέλι τὰ ἡλκωμένα δάκνει, τοῖς δὲ κατὰ φύσιν ἡδύ ἐστιν, οὕτω καὶ οἱ ἐκ φιλοσοφίας λόγοι.
(Stobæus Flor. XIII, 23 ἐκ τῶν Ἀριστωνύμου τομαρίων.)

54. Ὁ τῶν φιλαργύρων βίος ἔοικε νεκροῦ δείπνῳ· πάντα γὰρ ἔχων τὸν εὐφραινόμενον οὐκ ἔχει.
(Stobæus Flor. XVI, 27 Σωκράτους.)

55. Οὕτως ἔνιοι αὐτοῖς δοκοῦσι φιλοσοφεῖν ὡς καὶ νήφειν οἱ μεθύοντες.
(Stobæus Flor. XXIII, 7 ἐκ τῶν Ἀριστωνύμου τομαρίων.)

56. Ἡ μὲν ἐσθὴς τὴν ἀῤῥυθμίαν, ἡ δὲ εὔνοια τὴν ἁμαρτίαν περιστέλλει.
(Stobæus Flor. XXXVII, 27 Σωκράτους.)

57. Σωκράτης τὸν φθόνον εἶπεν ἕλκος εἶναι τῆς ψυχῆς.

58. Τὸ τῆς δόξης κάλλος ὥσπερ ὑπὸ νόσου τοῦ φθόνου ταχὺ μαραίνεται.
(Stobæus Flor. XXXVIII, 48, 34 Σωκράτους.)

59. Τοῖς μὲν διὰ τοῦ ἡλίου πορευομένοις ἕπεται κατ' ἀνάγκην σκιά, τοῖς δὲ διὰ τῆς δόξης βαδίζουσιν ἀκολουθεῖ φθόνος.
(Stobæus Flor. XXXVIII, 35 Σωκράτους.)

60. Ὁ φθόνος ὥσπερ φαῦλος δημαγωγὸς ταῖς καλαῖς ἀντιπολιτεύεται πράξεσιν.

---

41. Neque a mortuo colloquium neque ab avaro beneficium petendum est.

42. Qui lucrum turpiter factum ad honesta in rebus publicis ministeria conferunt, simile quid faciunt illis qui sacrilegia ad pietatem et religionem convertunt.

43. Avari vita sua tanquam gladio utuntur oblata lædendi ansa nihil non facientes.

44. Adulatorum benevolentia quasi tergis versis improsperam fortunam fugit.

45. Lepores quidem canibus venatores capiunt; assentatores autem stolidos laudibus pelliciunt.

46. Lupi quum sint canibus similes, assentatores amicis, dissimilia tamen studia sequuntur.

47. In assentatione velut sepulcro solum amicitiæ nomen inscriptum est.

48. Ligna dum augent ignem ab ipso hauriuntur, opes autem dum alunt adulatores ab ipsis consumuntur.

49. Liberæ orationi ut tempori occasio majorem gratiam conciliat.

50. Neque gladium obtusum, neque loquendi libertatem inefficacem nobis esse decet.

51. Sicut pallium sordidum gestanti bono corporis habitu esse, ita pauperi etiam libere et ingenue loqui licet.

52. Neque e mundo sol neque e liberali eruditione liberior sermo tollendus est.

53. Ut mel exulcerata mordet, naturæ convenientibus suave est : ita etiam sermones philosophici.

54. Avarorum vita similis est funebri epulo : omnia enim quum habeat, lætum hominem non habet.

55. Nonnulli non secus sibi videntur philosophari atque ebrii esse sobrii.

56. Vestis quidem corporis vitiositatem, benevolentia vero peccatum obtegit.

57. Socrates invidiam animi ulcus esse dixit.

58. Gloriæ pulchritudo invidia tanquam morbo cito marcescit.

59. In sole ambulantes necessario comitatur umbra, gloriæ vero vestigiis ingredientes comitem habent invidiam.

60. Invidia tanquam malus concionator honestis actionibus obsistit.

(Stobæus Flor. XXXVIII, 36 ἐκ τῶν Ἀριστωνύμου τομαρίων.)

61. Ὁ λόγος ὥσπερ πλάστης ἀγαθὸς καλὸν τῇ ψυχῇ περιτίθησι σχῆμα.

62. Ἐν μὲν πολέμῳ πρὸς ἀσφάλειαν σίδηρος χρυσοῦ κρείττων, ἐν δὲ τῷ ζῆν ὁ λόγος τοῦ πλούτου.

(Stobæus Flor. LXXXI, 13, 12 Σωκράτους.)

63. Οὔτε σῖτον ἄριστον τὸν ἐκ τοῦ καλλίστου πεδίου κρίνομεν, ἀλλὰ τὸν εὔθετον πρὸς τὴν τροφήν, οὔτε ἄνδρα σπουδαῖον ἢ φίλον εὔνουν τὸν ἐξ ἐπιφανοῦς ὄντα γένους, ἀλλὰ τὸν ὑπάρχοντα τῷ τρόπῳ κρείττονα.

(Stobæus Flor. LXXXVI, 23 Σωκράτους.)

64. Ὁ μὲν οἶνος συμμεταβάλλει τοῖς ἀγγείοις, ὁ δὲ πλοῦτος τοῖς τῶν κεκτημένων τρόποις.

65. Ἱδρὼς μὲν ὁ ἐκ τῶν γυμνασίων εὐσχημονέστερος, πλοῦτος δ' ὁ ἐκ τῶν ἰδίων πόνων.

66. Τὸν πλοῦτον ὥσπερ φίλον ἐκτενῆ καὶ ἀπροφάσιστον εἰς τὰς καλὰς δεῖ παραλαμβάνειν πράξεις.

(Stobæus Flor. XCIV, 12, 33, 34 Σωκράτους.)

67. Ὅτι πλῷ ἔοικε τῷ παρὰ γῆν ὁ τῶν πενήτων βίος, ὁ δὲ τῶν πλουσίων τῷ διὰ πελάγους· τοῖς μὲν γὰρ ῥᾴδιόν ἐστι καὶ πεῖσμα βαλεῖν καὶ προσσχεῖν καὶ νεωλκῆσαι, τοῖς δ' οὔ.

(Stobæus Flor. XCVII, 29 ἐκ τῶν Ἀριστωνύμου τομαρίων.)

68. Ταυτόν ἐστιν ἐπ' εὐτυχίᾳ μέγα φρονεῖν καὶ ἐπὶ ὀλισθηρᾶς ὁδοῦ σταδιοδρομεῖν.

(Stobæus Flor. CV, 58 Σωκράτους.)

69. Ἔοικεν ὁ βίος θεάτρῳ· διὸ πολλάκις χείριστοι τὸν κάλλιστον ἐν αὐτῷ κατέχουσι τόπον.

(Stobæus Flor. CVI, 14 ἐκ τῶν Ἀριστωνύμου τομαρίων.)

70. Ταυτόν ἐστιν ἐν γυμνικῷ ἀγῶνι ἡττηθέντα ὕβρεως δίκην τῷ ἀνταγωνιστῇ λαχεῖν, καὶ ἐν τῷ ζῆν νικώμενον ὑπὸ τῆς τύχης ἐγκαλεῖν αὐτῇ, ἀγνοοῦντα ἐφ' οἷς δικαίοις εἰς τὸν ἀγῶνα τοῦ ζῆν συγκαταβεβήκαμεν.

(Stobæus Flor. CIX, 9 Σωκράτους.)

71. Τοῖς μὲν νοσοῦσιν ἰατρούς, τοῖς δ' ἀτυχοῦσι φίλους δεῖ παραινεῖν.

(Stobæus Flor. CXIII, 16 Σωκράτους.)

72. Αἱ πονηραὶ ἐλπίδες ὥσπερ οἱ κακοὶ ὁδηγοὶ ἐπὶ τὰ ἁμαρτήματα ἄγουσιν.

(Stobæus Flor. CXI, 21 ἐκ τῶν Ἀριστωνύμου τομαρίων.)

73. Οὔτε γυνὴ χωρὶς ἀνδρὸς οὔτε ἐλπὶς ἀγαθὴ χωρὶς πόνου γεννᾷ τι χρήσιμον.

(Stobæus Flor. CXI, 26 Σωκράτους.)

74. Ἐν τῷ βίῳ καθάπερ ἐν θεάτρῳ ἄχρι τούτου δεῖ παραμένειν, ἄχρις οὗ τὴν τῶν ἔργων θέαν ἐπιτερπῆ εἶναι συμβαίνει.

(Stobæus Flor. CXXI, 39 Σωκράτους.)

75. Πεττείᾳ τινὶ ἔοικεν ὁ βίος, καὶ δεῖ ὥσπερ ψῆφόν τινα τίθεσθαι τὸ συμβαῖνον· οὐ γὰρ ἔστιν ἄνωθεν βαλεῖν οὐδὲ ἀναθέσθαι τὴν ψῆφον.

(Stobæus Flor. CXXIV, 41 Σωκράτους.)

76. Ὁ πλουσίῳ χορηγῶν οὐδὲν διαφέρει τοῦ εἰς θάλασσαν ὕδωρ ἐκχέοντος.

77. Οὐδὲν ἐν τῷ βίῳ τάχιστα γηράσκει ὡς χάρις.

---

61. Sermo boni fictoris instar egregiam animo speciem induit.

62. Ad sui defensionem in bello ferrum auro, in vita autem oratio divitiis prævalet.

63. Neque frumentum optimum judicamus, quod in pulcherrimo agro natum est, sed quod commode nutrit, neque virum bonum aut amicum benevolum, qui genere claro natus sit, sed qui moribus egregiis alios superet.

64. Vinum immutatur cum vasis; divitiæ vero pro possidentium moribus variant.

65. Sudor quidem exercitiis elicitus decentior est, divitiæ autem propriis laboribus partæ.

66. Divitias velut amicum diligentem et promtum ad honestas actiones assumere oportet.

67. Pauperum vita similis est navigationi juxta littus, divitum autem ei quæ profundo in mari fit : illis enim facile est funem ejicere, appellere et navem subducere, divitibus non item.

68. Idem est in secunda fortuna magnos spiritus gerere, et in lubrica via cursu certare.

69. Similis est vita theatro : quocirca sæpe pessimi quique honoratissimum inter homines locum obtinent.

70. Idem est in gymnico certamine victum contumeliæ actionem adversario intendere, et in vita victum a fortuna eam accusare, nescientem, quo jure quibusque legibus in vitæ certamen cum ipsa descenderimus.

71. Ægrotis medicos, infortunatis amicos consilia dare oportet.

72. Malæ spes, sicut mali viæ duces, ad peccata ducunt.

73. Neque mulier sine viro, neque bona spes sine labore quidquam utile pariet.

74. In vita, tanquam in theatro, tamdiu permanendum est, quamdiu rerum et operum jucundum erit spectaculum.

75. Vita ad calculorum lusus similitudinem accedit, ideoque eventum calculi promoti instar esse debet : non enim denuo ponere, neque reducere calculum licet.

76. Qui diviti aliquid largitur, nihil ab eo differt qui aquam in mare profundit.

77. Nihil in vita celerius quam beneficium senescit.

(Antonius et Maximus Eclog. LVI p. 275 Σωκράτους.)

78. Κρεῖσσόν ἐστι τῷ ποδὶ ὀλισθαίνειν ἢ τῇ γλώσσῃ.

(Antonius et Maximus Eclog. XCIII Σωκράτους.)

79. Σωκράτης τοὺς μὲν πλεονέκτας εἴκαζε ταῖς ὄρνισιν, ὧν ἡ μὲν καταπίνει ὅ, τι ἂν προστύχῃ, καὶ ἔστιν ὅτε πνίγεται· αἱ δ' ἄλλαι περιακολουθοῦσιν ἀφελεῖν αὐτὸ σπεύδουσαι, ἵνα παρὰ μέρος πνιγῶσιν.

(Antonius et Maximus Eclog. LIV p. 225.)

80. Τὰ τῶν καλῶν φιλήματα φυλάττεσθαι δεῖ, ὡς τὰ τῶν ἰοβόλων δήγματα.

(Antonius et Maximus Eclog. CIX p. 565.)

81. Οἱ ἀδελφοὺς παριέντες καὶ ἄλλους φίλους ζητοῦντες παραπλήσιοί εἰσι τοῖς τὴν ἑαυτῶν γῆν ἐῶσι, τὴν δὲ ἀλλοτρίαν γεωργοῦσιν.

(Antonius et Maximus Eclog. CXXXV p. 716.)

82. Τὸ φιλεῖν ἀκαίρως ἴσον ἐστὶ τῷ μισεῖν.

(Antonius et Maximus Eclog. CXXXVII p. 723.)

83. Τὰ τῶν πλουσίων καὶ ἀσώτων χρήματα ταῖς ἐπὶ τῶν κρημνῶν συκέαις εἴκαζεν (ὁ Σωκράτης), ἀφ' ὧν ἄνθρωπον μὲν μὴ λαμβάνειν, κόρακας δὲ καὶ ἰκτίνους, ὥσπερ παρὰ τούτων ἑταίρας καὶ κόλακας.

(Antonius et Maximus Eclog. CXL p. 757.)

84. Ἡδύ ἐστιν, ὥσπερ φίλῳ σπουδαίῳ, οὕτω καὶ λόγῳ καλῷ συγγηράσκειν.

(Antonius et Maximus Eclog. CXLIX p 855.)

85. Σωκράτης ἰδὼν πλούσιον ἀπαίδευτον ἔφη· Ἰδοῦ καὶ τὸ χρυσοῦν ἀνδράποδον.

(Antonius et Maximus Eclog. CCX.)

86. Ψυχῇ ζῶντας ἡμᾶς τῇ ταύτης ἀρετῇ ῥητέον εὖ ζῆν, ὡς ὀφθαλμοῖς ὁρῶντας τῇ τούτων ἀρετῇ καλῶς ὁρᾶν.

87. Οὔτε χρυσοῦ νομιστέον ἰόν, οὔτε ἀρετῆς αἶσχος ἅπτεσθαι.

88. Καθάπερ εἰς ἄσυλον τέμενος τὴν ἀρετὴν ὁρμητέον, ὅπως πρὸς μηδεμίαν ἀγεννῆ ψυχῆς ὕβριν ὦμεν ἔκδοτοι.

(Jamblichus Adhort. ad Philos. c. II p. 14 ed. Kiessl. cf. Stobæus Flor. I, 58-59.)

89. Ἀρετῇ μὲν θαρσητέον ὡς σώφρονι γαμετῇ, τύχῃ δ' ὡς ἀστάτῳ πιστευτέον ἑταίρᾳ.

90. Κρεῖττον μετὰ πενίας ἀρετὴν ὑποληπτέον ἢ πλοῦτον μετὰ κακίας, ὀλιγοσιτίαν μετὰ ὑγιείας ἢ πολυφαγίαν μετὰ νόσου.

91. Βλαβερὰ μάλιστα τροφῆς μὲν ἀφθονία τῷ σώματι, κτήσεως δὲ τῷ τὴν ψυχὴν διακειμένῳ κακῶς.

(Jamblichus Adhort. ad Philos. c. II p. 14 ed. Kiessling.)

92. Καὶ ἐπισφαλὲς καὶ ὅμοιον μαινομένῳ δοῦναι μάχαιραν, καὶ μοχθηρῷ δύναμιν.

93. Καθάπερ τῷ ἐμπύῳ βέλτιον τὸ καίεσθαι τοῦ διαμένειν, καὶ τῷ μοχθηρῷ τὸ τεθνάναι τοῦ ζῆν.

94. Τῶν κατὰ σοφίαν θεωρημάτων ἀπολαυστέον ἐφ' ὅσον οἷόν τε, καθάπερ ἀμβροσίας καὶ νέκταρος· ἀκήρατόν τε γὰρ τὸ ἀπ' αὐτῶν ἡδὺ καὶ τὸ θεῖον τὸ μεγαλόψυχον δύναταί τε ποιεῖν, καὶ εἰ μὴ ἀϊδίους, ἀϊδίων γε ἐπιστήμονας.

---

78. Præstat pede quam lingua labi.

79. Socrates avaros avibus comparabat, quarum alia devorat quidquid occurrit, et quandoque suffocatur: aliæ vero comitantur, ut quod habet ei extorqueant, et ipsæ quoque aliæ post alias suffocentur.

80. Formosorum oscula ut animalium venenatorum morsus vitari oportet.

81. Qui fratribus neglectis alios amicos quærunt, iis similes sunt qui relicto suo agro alienum colunt.

82. Amor intempestivus odium æquat.

83. Divitum et profusorum hominum bona ficis arboribus in loco præcipiti et abrupto positis comparabat (Socrates), unde homines nihil accipiant, sed corvi et milvi, quemadmodum ab illis scorta et adulatores.

84. Jucundum est, ut cum amico bono, sic cum bona ratione senescere.

85. Socrates divitem quendam indoctum conspicatus: Ecce, inquit, etiam aureum mancipium.

86. Quum anima vivamus, ejus nos virtute recte vivere dicendum est, sicut oculis cernentes eorum virtute bene videre dicimur.

87. Neque auro existimandum est adhærescere rubiginem, neque virtuti turpitudinem.

88. Sicut in tutum delubrum ad virtutem est contendendum, ne ulli ignobili animi insolentiæ dediti simus.

89. Virtuti confidendum est, ut castæ conjugi, fortunæ credendum, ut mutabili meretrici.

90. Præstantior cum paupertate virtus est habenda quam divitiæ cum improbitate, temperantia in victu cum bona valetudine quam edacitas cum morbo.

91. Damnosa inprimis corpori quidem ciborum, animo vero non recte constituto divitiarum copia est.

92. Æque periculosum est furibundo gladium dare, atque improbo potentiam.

93. Quemadmodum vomica laboranti magis conducit ulcus uri, quam pus relinqui: sic improbo mors quam vita utilior est.

94. Sapientiæ præceptis fruendum est, quantum licet, ut ambrosia et nectare. Nam et sincera est eorum dulcedo, et divinam naturam animum magnum efficere possunt, atque, si non æternos, at rerum æternarum peritos.

95. Εἰ εὐκτὸν ἡ εὐαισθησία, μᾶλλον σπουδαστὸν ἡ φρόνησις, ἔστι γὰρ τοῦ ἐν ἡμῖν πρακτικοῦ νοῦ οἱονεί τις εὐαισθησία· δι' ἣν μὲν γάρ, ἐν οἷς πάσχομεν, οὐ παραισθανόμεθα, δι' ἣν δέ, ἐν οἷς πράττομεν, οὐ παραλογιζόμεθα.

96. Καὶ τὸν θεὸν σεβόμεθα κατὰ τρόπον, εἰ τὸν ἐν ἡμῖν νοῦν παρασκευάσαιμεν πάσης κακίας ὥσπερ τινὸς κηλῖδος καθαρόν.

97. Κοσμητέον ἱερὸν μὲν ἀναθήμασι, τὴν δὲ ψυχὴν μαθήμασιν.

98. Ὡς πρὸ τῶν μεγάλων μυστηρίων τὰ μικρὰ παραδοτέον, καὶ πρὸ φιλοσοφίας παιδείαν.

99. Καθάπερ χώρας μάλιστα ἐπιμελητέον τῷ τῆς ἀρίστης ἐπιτυχόντι, καὶ ψυχῆς, ὅπως τῆς φύσεως ἄξιον ἐνέγκῃ τὸν καρπόν.

(Jamblichus Adhort. ad Philos. cap. II p. 15 ed. Kiessl. Posui ἐνέγκῃ pro membranarum lectione ἐνέγκηται.)

100. Ἀρίστων ὁ Χῖος τοὺς περὶ τὰ ἐγκύκλια μαθήματα πονουμένους, ἀμελοῦντας δὲ φιλοσοφίας ἔλεγεν ὁμοίους εἶναι τοῖς μνηστῆρσι τῆς Πηνελόπης, οἳ ἀποτυγχάνοντες ἐκείνης περὶ τὰς θεραπαίνας ἐγίνοντο.

101. Ὁ αὐτὸς τοὺς πολλοὺς εἴκαζε τῷ Λαέρτῃ, ὅστις τῶν κατὰ τὸν ἀγρὸν ἐπιμελούμενος πάντων ὀλιγώρως εἶχεν ἑαυτοῦ· καὶ γὰρ τούτους, τῶν κτημάτων πλείστην ἐπιμέλειαν ποιουμένους, περιορᾶν τὴν ψυχὴν ἑαυτῶν, πλήρη παθῶν ἀγρίων οὖσαν.

(Stobæus Floril. IV, 110-111 ἐκ τῶν Ἀρίστωνος ὁμοιωμάτων.)

102. Οἱ ἄρτι ἐκ φιλοσοφίας πάντας ἐλέγχοντες καὶ ἀπὸ τῶν γονέων ἀρχόμενοι πάσχουσιν ὅπερ καὶ οἱ νεώνητοι κύνες, οἳ οὐ μόνον τοὺς ἄλλους ὑλακτοῦσιν ἀλλὰ καὶ τοὺς ἔνδον.

(Stobæus Floril. LXXIX, 44 ἐκ τῶν Ἀρίστωνος ὁμοιωμάτων.)

103. Οἱ ἐν διαλεκτικῇ βαθύνοντες ἐοίκασι καρκίνους μασσωμένοις, οἳ δι' ὀλίγον τρόφιμον περὶ πολλὰ ὀστᾶ ἀσχολοῦνται.

(Stobæus Floril. LXXXII, 7 ἐκ τῶν Ἀρίστωνος ὁμοιωμάτων.)

104. Ἀρίστων ἔλεγεν ἐοικέναι τὴν διαλεκτικὴν τῷ ἐν ταῖς ὁδοῖς πηλῷ· πρὸς οὐδὲν γὰρ οὐδ' ἐκεῖνον χρήσιμον ὄντα καταπάττειν τοὺς βαδίζοντας.

(Stobæus Floril. LXXXII, 11. Scripsi καταπάττειν cum Menagio pro vulgato καταβάλλειν.)

105. Καρνεάδης τὴν διαλεκτικὴν ἔλεγε πολύποδι ἐοικέναι· καὶ γὰρ ἐκεῖνον αὐξηθείσας τὰς πλεκτάνας κατεσθίειν· καὶ τούτους, προϊούσης τῆς δυνάμεως, καὶ τὰ σφέτερα ἀνατρέπειν.

(Stobæus Floril. LXXXII, 13.)

106. Κλειτόμαχος εἴκαζε τὴν διαλεκτικὴν τῇ σελήνῃ· καὶ γὰρ ταύτην οὐ παύεσθαι φθίνουσαν καὶ αὐξομένην.

(Stobæus Floril. LXXXII, 14.)

107. Ἀρίστων τοὺς λόγους τῶν διαλεκτικῶν τοῖς τῶν ἀραχνίων ὑφάσμασιν εἴκαζεν, οὐδὲν μὲν χρησίμους, λίαν δὲ τεχνικούς.

(Stobæus Floril. LXXXII, 15.)

108. Ὁ ἐλλέβορος ὁλοσχερέστερος μὲν ληφθεὶς καθαίρει, εἰς δὲ πάνυ σμικρὰ τριφθεὶς πνίγει· οὕτω καὶ ἡ κατὰ φιλοσοφίαν λεπτολογία.

---

95. Si optabilis est sensuum integritas, magis quærenda prudentia. Est enim quasi integritas quædam mentis ad agendum conversæ. Nam illa efficit, ne in iis quæ nos afficiunt, sensu fallamur, hæc, ne in iis, quæ agimus, falsis rationibus decipiamur.

96. Deum rite colimus, si animum nostrum ab omni improbitate tanquam macula purum reddimus.

97. Ornandum est templum donariis, animus doctrinis.

98. Ut ante magna mysteria parva sunt tradenda, ita ante philosophiam reliquæ artes liberales.

99. Quemadmodum ab eo maxima cura in agrum est impendenda qui optimum nactus est, sic etiam in animum, ut dignos natura fructus ferat.

100. Ariston Chius eos qui disciplinarum orbi vacarent, neglecta philosophia, similes dicebat esse procis Penelopes, qui cum ipsa potiri non possent ancillis miscebantur.

101. Idem vulgus hominum Laerti comparabat, qui cum reliqua ruri diligenter omnia curaret, se ipsum negligebat : sic et illos studiosissimos quidem esse circa possessiones, animum autem feris obrutum affectibus non excolere ajebat.

102. Qui nunc e philosophia omnes reprehendunt, idque facere a parentibus incipiunt, non secus affecti sunt, quam nuper emti canes qui non solum alios, sed domesticos etiam allatrant.

103. Qui dialecticam altius perscrutantur, cancros edentibus similes sunt, qui propter exiguum alimentum circa crustas plurimas occupantur.

104. Ariston dialecticam ajebat luto viarum similem esse. Nam et lutum inutile cum sit, transeuntes opplet.

105. Carneades dialecticam dicebat polypo similem esse. Ut enim polypus cirros suos auctos devorat : ita dialecticos jam peritiores factos suas quoque opiniones refutare.

106. Clitomachus dialecticam lunæ comparabat, ut quæ similiter crescere et decrescere non desineret.

107. Ariston dialecticorum sermones cum aranearum telis conferebat, ut quæ subtiles admodum, sed inutiles essent.

108. Veratrum crassius sumtum purgat, at pollinis instar levigatum suffocat; sic et nimis anxia subtilisque in philosophia disputatio.

(Stobæus Floril. LXXXII, 16 ἐκ τῶν Ἀρίστωνος ὁμοιωμάτων.)

109. Τὴν κακολογίαν ἡ ὀργὴ φαίνεται ἀπογεννῶσα, ὥστε ἡ μήτηρ οὐκ ἀστεῖα.

(Stobæus Flor. XX, 69 Ἀρίστωνος.)

110. Ὀνείρῳ ἔοικεν ὁ τῶν ἀπαιδεύτων βίος, κενὰς ἔχων φαντασίας.

(Anton. et Maximus serm. περὶ παιδείας sub Isidori nomine; idem dictum Plutarcho tribuitur in Excerptis e cod. Flor. Joann. Damasc. apud Meinek. Stob. Flor. tom. IV pag. 225. Vid. Plutarchi op. ed. Hutten. tom. XIV p. 362 sqq.)

111. Δυσάρεστοι ὄντες οἱ ἀπαίδευτοι, καθάπερ ἐξ οἰκιῶν τῶν προαιρέσεων καθ' ἡμέραν μετοικίζονται.

(Anton. et Maximus serm. περὶ παιδείας, ubi nullo nomine ascripto Epicuri effatis hæc sententia subjungitur. Sed ad Plutarchum auctorem refertur in Excerpt. e cod. Flor. Joann. Damasc. l. c.)

112. Οἱ μὲν ξένοι ἐν ταῖς ὁδοῖς, οἱ δὲ ἀπαίδευτοι ἐν τοῖς πράγμασι διαπλανῶνται.

(Anton. et Maximus serm. περὶ παιδείας, ubi nullo nomine apposito Epicuri præceptis hoc apophthegma subjectum est. Exstat autem sub Plutarchi nomine in Excerpt. e cod. Flor. Joann. Damasc l. c.)

113. Οὔτε ὕδωρ θολερόν, οὔτε ἀπαίδευτον ψυχὴν ταράσσειν δεῖ.

(Anton. et Maximus serm. περὶ παιδείας et Excerpt. e cod. Flor. Joann. Damasc. l. c. Πλουτάρχου.)

114. Καὶ ὁδοῦ καὶ ἀληθείας χαλεπὸν ἀποπλανηθῆναι.

(Anton. et Max. serm. περὶ ἀληθείας et Excerpt. e cod. Flor. Joann. Damasc. l. c. p. 242 Πλουτάρχου.)

115. Τὸ μὲν ἴσον ζυγῷ, τὸ δὲ ἀληθὲς τῷ ἐκ φιλοσοφίας λόγῳ κρίνεται.

(Anton. et Maximus serm. περὶ ἀληθείας et Excerpt. e. cod. Flor. Joann. Damasc. l. c. p. 243.)

116. Τῆς ἀγνοουμένης ἀρετῆς, ὥσπερ τοῦ κατορωρυγμένου χρυσίου, ἡ λαμπρότης οὐ βλέπεται.

(Anton. et Max. serm. περὶ βίου ἀρετῆς καὶ κακίας.)

117. Ἡ μὲν τροφὴ τοῖς γυμναζομένοις, ἡ δὲ ἀρετὴ τοῖς πεπαιδευμένοις ἡδεῖα φαίνεται.

(Anton. et Max. serm. περὶ βίου ἀρετῆς καὶ κακίας.)

118. Ἐκ μὲν τοῦ ποδὸς τὴν ἄκανθαν, ἐκ δὲ τῆς ἀλόγου ψυχῆς τὴν ἄγνοιαν ὑπεξελέσθαι δεῖ.

(Anton. et Max. serm. περὶ λογικοῦ καὶ λογισμοῦ et Arsenius Violet. serm. περὶ λογικοῦ; item Plutarch. l. c. p. 363.)

119. Ὁδηγὸν τυφλὸν λαβεῖν καὶ σύμβουλον ἀνόητον ἴσον ἐστίν.

(Anton. et Max. serm. περὶ ἀφροσύνης, Plut. l. c. p. 363.)

120. Ποτὸν μὲν ἔσβεσε τὴν ποτοῦ ὄρεξιν, καὶ τροφὴ τὴν τροφῆς ἐπιθυμίαν ἠκέσατο· φιλαργυρίαν δὲ οὐ σβέννυσιν ἀργύριον ἢ χρυσίον.

(Anton. et Max. serm. περὶ φιλαργυρίας, Plut. l. c. p. 363.)

121. Ὥσπερ οἱ κόρακες παρεδρεύοντες ἐξορύσσουσι τοὺς τῶν νεκρῶν ὀφθαλμούς, οὕτως οἱ κόλακες τοῖς ἐπαίνοις τοὺς λογισμοὺς διαφθείρουσι τῶν ἀνθρώπων.

(Anton. et Max. serm. περὶ κολακείας, Plut. l. c. p. 364.)

122. Λαγῷ μὲν κύνα, φίλῳ δὲ κόλακα φύσει πολέμιον ἡγητέον.

(Anton. et Max. serm. περὶ κολακείας, Plut. l. c. p. 364.)

123. Χαίρειν χρὴ τοῖς ἐλέγχουσιν, οὐ τοῖς κολακεύουσιν· οἱ μὲν γὰρ ἡμᾶς λυποῦντες διεγείρουσιν, οἱ δὲ χαριζόμενοι ἐκλύουσι καὶ σκελίζουσι.

---

109. Apparet iram parere maledicentiam : itaque inhumanitatis mater est.

110. Somnio similis est imperitorum vita, vanas imaginationes habens.

111. Indocti morosi cum sint, tanquam ex ædibus, sic de suis institutis quotidie migrant.

112. Ut peregrini in viis, ita indocti in rebus ipsis errant.

113. Neque aquam turbidam, neque indoctum animum commoveri oportet.

114. A via et veritate aberrare molestum est.

115. Æqualitas trutina, veritas autem philosophica ratione examinatur.

116. Ignotæ virtutis velut defossi auri splendor non apparet.

117. Quemadmodum iis qui corpora exercent cibus, sic bene institutis virtus suavis videtur.

118. Pedi spinam, animæ rationis experti ignorantiam eximi oportet.

119. Viæ ducem cæcum adhibere et stultum consultorem, idem est.

120. Potu restinguitur appetitus bibendi, et cibus edendi desiderio medetur : avaritiam vero non aurum nec argentum exstinguit.

121. Ut corvi assidentes cadaverum oculos effodiunt, ita adulatores suis laudibus rationem et mentem humanam corrumpunt.

122. Lepori canem, amico adulatorem natura infestum esse cogitandum est.

123. Reprehensoribus, non assentatoribus lætandum : illi enim velut stimulo animos excitant, hi vero gratificantes dissolvunt et subvertunt.

(Anton. et Max. serm. περὶ κολακείας, Plut. l. c. p. 364.)

124. Γλῶσσα βλάσφημος διανοίας κακῆς ἔλεγχος.

(Anton. et Max. Serm. περὶ ψόγου καὶ διαβολῆς, Plut. p. 364.)

125. Ὁ τῶν ἀσώτων βίος ὥσπερ καθ' ἡμέραν ἀποθνήσκων ἐκφέρεται.

(Anton. et Max. Serm. περὶ ἀσωτίας, Plut. l. c. p. 364.)

126. Ἡ χάρις ὥσπερ ἡ σελήνη, ὅταν τελεία γένηται, τότε καλὴ φαίνεται.

(Anton. et Max. Serm. περὶ εὐεργεσίας, Plutarch. l. c. pag. 365. Sed in membranis hæc sententia partim Philoni partim Plutarcho attribuitur.)

127. Ἀχάριστον εὐεργετεῖν καὶ νεκρὸν μυρίζειν ἐν ἴσῳ κεῖται.

(Anton. et Max. Serm. περὶ εὐεργεσίας, Plutarchus l. c. pag. 365; Apostol. Proverb. V, 30 Πλουτάρχου.)

128. Φθείρεται ὁ μὲν κόσμος πυρὶ καὶ ὕδατι, ὁ δὲ τῶν ἀκολάστων πλοῦτος ἔρωτι καὶ μέθῃ.

(Anton. et Max. Serm. περὶ μέθης, Plut. l. c. p. 365; Arsen. Violet. Serm. περὶ μέθης.)

129. Ὕβρις καὶ οἶνος ἀποκαλύπτειν εἰώθασι φίλοις τὰ ἤθη τῶν φίλων.

(Anton. et Max. Serm. περὶ μέθης, nullo nomine addito; Plutarch. l. c. p. 365.)

130. Ὅπερ ἂν σιωπᾶσθαι βούλῃ, μηδενὶ εἴπῃς, ἢ πῶς παρά τινος ἀπαιτήσεις τὸ πιστὸν τῆς σιωπῆς, ὃ μὴ παρέσχες σεαυτῷ;

(Anton. et Max. Serm. περὶ σιωπῆς, Plut. l. c. p. 365.)

131. Ὥσπερ ὑπὸ τοῦ ἰοῦ τὸν σίδηρον, οὕτω τοὺς φθονεροὺς ὑπὸ τοῦ ἰδίου ἤθους κατεσθίεσθαι.

(Anton. et Max. Serm. περὶ φθόνου Clitarchi vel Plutarchi; Plutarch. l. c. p. 366.)

132. Τὰ μὲν φυτὰ ἀπὸ τῆς ῥίζης, ἡ δὲ δόξα ἀπὸ τῆς πρώτης ὑπολήψεως αὔξεται.

(Anton. et Max. Serm. περὶ δόξης, Plutarch. l. c. p. 366. Posui cum Wyttenbachio ὑπολήψεως αὔξεται pro membranarum lectione λήψεως αὔξει.)

133. Ἵππου μὲν ἀρετὴν ἐν πολέμῳ, φίλου δὲ πίστιν ἐν ἀτυχίᾳ κρίνομεν.

(Anton. et Max. Serm. περὶ φίλων καὶ φιλίας, Plutarch. l. c. pag. 366.)

134. Σκεύη τὰ μὲν καινὰ κρείττονα, φιλία δὲ ἡ παλαιοτέρα.

(Anton. et Max. Serm. περὶ φίλων καὶ φιλίας nullo nomine ascripto; Plutarch. l. c. p. 366.)

135. Φεύγειν δεῖ τὴν φιλίαν, ὧν τινων ἀμφίβολος ἡ διάθεσις.

(Anton. et Max. Serm. περὶ φίλων καὶ φιλίας, Plutarch. l. c. pag. 366.)

136. Αἱ ἐπιφανεῖς τύχαι, καθάπερ οἱ σφοδροὶ τῶν ἀνέμων, μεγάλα ποιοῦσι ναυάγια.

(Anton. et Max. Serm. περὶ εὐτυχίας καὶ δυστυχίας nullo auctore citato; Plutarch. l. c. p. 367.)

137. Ἀῤῥωστοῦντι φορτίον ἐπιθεῖναι, ἢ ἀπαιδεύτῳ ψυχῇ εὐτυχίαν ταυτόν ἐστιν.

(Anton. et Max. Serm. περὶ εὐτυχίας καὶ δυστυχίας omisso auctoris nomine; Plutarch. l. c. p. 368.)

138. Ἡ τύχη καθάπερ τοξότης, ποτὲ μὲν ἐπιτυγχάνει βάλλουσα ἐφ' ἡμᾶς, ὥσπερ ἐπί τινα σκοπόν, ποτὲ δὲ ἐπὶ τὰ σύνεγγυς παρακείμενα ἡμῖν.

(Anton. et Max. Serm. περὶ εὐτυχίας καὶ δυστυχίας nullo auctore citato; Plutarch. l. c. p. 368.)

139. Στάσιμοί εἰσιν αἱ τῶν πεπαιδευμένων ἐλπίδες, ὡς ἐν λιμένι τῷ λογισμῷ ὁρμοῦσαι.

(Maximus Serm. περὶ ἐλπίδος sine auctoris nomine; Arsenius Violet. Serm. περὶ ἀρετῆς, Plutarch. l. c. p. 368.)

---

124. Lingua maledica malæ mentis index est.

125. Luxuriosorum vita quasi quotidie moriens effertur.

126. Beneficentia, sicut luna, tum pulchra apparet, quum plena est.

127. Ingrato benefacere et ungere mortuum, idem est.

128. Mundus quidem igne et aqua corrumpitur: luxuriosorum autem opes amore et ebrietate.

129. Injuria et vinum detegere solent amicis mores amicorum.

130. Ne cui dicas quod taceri vis: quomodo enim ab alio postulabis silentii fidem, quam tute tibi non præstitisti?

131. Ut ferrugine ferrum, sic invidos suis ipsorum moribus consumi videmus.

132. Plantæ capiunt a radice incrementum, gloria vero a fama primum collecta augetur.

133. Equi bonitatem in bello, amici vero fidem in calamitate judicamus.

134. Vasa quidem meliora sunt nova, sed vetustior amicitia præstat.

135. Eorum fugienda amicitia est quorum animus ambiguus et inconstans est.

136. Splendidæ fortunæ, sicut venti vehementes, magna afferunt naufragia.

137. Infirmo onus imponere et animo indocto prosperitatem prorsus idem est.

138. Fortuna sagittarii more collineat, interdum in nos jaculans, tanquam in scopum quendam, interdum in ea quæ nobis adhærent.

139. Stabiles eruditorum sunt spes, ut quæ in ratione tanquam in portu acquiescant.

140. Αἱ μὲν τῆς ἀρετῆς ἐλπίδες ἴδιαί εἰσι τῆς ψυχῆς, αἱ δὲ τῆς κακίας νόθοι.

(Maximus Serm. περὶ ἐλπίδος nullo nomine apposito; Plutarchus l. c. p. 368.)

141. Ὁ μὲν χειμὼν σκέπης, τὸ δὲ γῆρας ἀλυπίας δεῖται.

(Antonius Serm. περὶ γερόντων ἀρετῇ καὶ συνέσει κεκοσμημένων, Plutarch. l. c. p. 369.)

142. Γέρων ἀνόητος, ὥσπερ τρίβων παλαιός, εἰς οὐδέν ἐστιν εὔθετος.

(Antonius Serm. περὶ γερόντων ἐν ἀνοίᾳ βιούντων, Plutarchus l. c. p. 369.)

143. Ὡς γὰρ ὁ καικίας τὰ νέφη, καὶ ὁ φαῦλος βίος ὑφ' ἑαυτὸν ἕλκει τὰς λοιδορίας.

(Antonius et Maximus Serm. περὶ θυμοῦ καὶ ὀργῆς.)

144. Ὁ ὑπὲρ μικρῶν ἁμαρτημάτων ἀνυπερβλήτως ὀργιζόμενος οὐκ ἐᾷ διαγνῶναι τὸν ἁμαρτάνοντα, πότε ἔλαττον καὶ πότε μεῖζον ἠδίκησεν.

(Antonius et Maximus Serm. περὶ θυμοῦ καὶ ὀργῆς sub Apollonii nomine, cui tribuit eandem sententiam etiam Stobæus Flor. XX, 51. At in Arsenii Violario ascribitur Plutarcho. Cf. Plutarch. l. c. pag. 369.)

ΑΛΛΑ ΤΩΝ

ΠΥΘΑΓΟΡΕΙΩΝ ΟΜΟΙΩΜΑΤΑ

ΠΑΝΤΑΧΟΘΕΝ ΣΥΝΕΙΛΕΓΜΕΝΑ.

145. Αἱρετώτερόν σοι ἔστω λίθον εἰκῇ βάλλειν ἢ λόγον ἀργόν.

(Antonius Melissa c. 48.)

146. Αἰσχρὸν τοῖς τῶν μελιττῶν δωρήμασι γλυκάζοντα τὴν κατάποσιν τὸ τοῦ θεοῦ δῶρον πικράζειν τὸν λόγον τῇ κακίᾳ.

(Maximus Philos. Collect. Sent. cap. 59.)

147. Βίος ἔοικε πανηγύρει· ὡς οὖν εἰς ταύτην οἱ μὲν ἀγωνιούμενοι, οἱ δὲ κατ' ἐμπορίαν, οἱ δέ γε βέλτιστοι ἔρχονται θεαταί· οὕτως ἐν τῷ βίῳ οἱ μὲν ἀνδραποδώδεις φύονται δόξης καὶ πλεονεξίας θηραταί, οἱ δὲ φιλόσοφοι τῆς ἀληθείας.

(Diog. Laert. VIII, 8.)

148. Βότρυας τρεῖς ἡ ἄμπελος φύει, τὸν μὲν πρῶτον ἡδονῆς, τὸν δεύτερον μέθης, τὸν δὲ τρίτον ὕβρεως.

(Antonius Melissa c. 48, Πυθαγόρου; Maximus cap. 30 Ἐπικτήτου.)

149. Ἰσχὺς καὶ τεῖχος καὶ ὅπλον σοφοῦ ἡ φρόνησις.

(Stobæus Flor. III, 24 Πυθαγόρου.)

150. Κενὸς ἐκείνου φιλοσόφου λόγος ὑφ' οὗ μηδὲν ἀνθρώπου πάθος θεραπεύεται. Ὥσπερ γὰρ ἰατρικῆς οὐκ ὄφελος μὴ τὰς νόσους ἐκβαλλούσης ἀπὸ τῶν σωμάτων· οὕτως οὐδὲ φιλοσοφίας, εἰ μὴ τὸ τῆς ψυχῆς κακὸν ἐκβάλλοι.

(Stobæus Flor. LXXXII, 6 Πυθαγόρου; cf. Porphyr. ad Marcell. c. 31.)

151. Ξίφους πληγὴ κουφοτέρα γλώσσης· τὸ μὲν γὰρ σῶμα, ἡ δὲ τὴν ψυχὴν τιτρώσκει.

(Maxim. cap. 41.)

152. Ὅμοιον ἀψινθίου τὸ δριμὺ καὶ λόγου παῤῥησίαν ἐκκόψαι.

(Stobæus Flor. XIII, 22 ἐκ τῶν Ἀρίστωνος ὁμοιωμάτων.)

153. Ὥσπερ σωματικὸν πάθος οὐ κρυπτόμενον, οὐδὲ ἐπαινούμενον ὑγιάζεται, οὕτως οὐδὲ ἡ ψυχὴ κακῶς φρουρουμένη καὶ συναγορευομένη θεραπεύεται.

(Stobæus Flor. XIII, 35.)

---

140. Virtutis spes propriæ sunt animi, vitii autem degeneres.

141. Hiems tegumentum, senectus doloris vacuitatem requirit.

142. Senex stultus, ut lacerna vetusta, ad nullam rem prodest.

143. Quomodo cæcias nubes, sic improborum vita in se convicia attrahit.

144. Qui leviter peccanti vehementissime succenset non sinit discernere peccati auctorem, quando minorem et quando majorem culpam commiserit.

ALIÆ PYTHAGOREORUM SIMILITUDINES UNDIQUE COLLECTÆ.

145. Magis tibi expetendus sit temerarius lapidum quam vocum inanium jactus.

146. Turpe est apum donis potum dulciorem reddere atque interim Dei donum, rationem dico, malitia exacerbare.

147. Vita humana celebri mercatui similis est. Quemadmodum enim ad hunc alii quidem certaturi, alii negotiaturi, alii vero iique optimi, spectores futuri veniunt: sic etiam in hac vita nonnulli quidem, ut homines serviles, nascuntur, gloriæ et lucri aucupes, alii vero, ut philosophi, veritatis studiosi.

148. Vitis tres producit uvas, primam voluptatis, alteram ebrietatis, tertiam contumeliæ.

149. Roboris et muri et armorum instar sapienti prudentia est.

150. Vana est illius philosophi oratio, qua nulla animi humani cupiditas sedatur. Ut enim nullus est medicinæ usus, nisi curato corpore morbum depellat, ita neque philosophiæ, nisi animi vitia tollat.

151. Plaga gladii levior est, quam linguæ; ille enim corpus, hæc animum vulnerat.

152. Idem est absinthii amaritudinem et dicendi libertatem tollere.

153. Ut corporis morbus, si eum abscondas aut laudes, nunquam sanatur, ita nec perturbati animi motus quibus male patrocinaris et faves unquam cohibentur.

154. Ζῆν κρεῖττόν ἐστιν ἐπὶ στιβάδος κατακείμενον καὶ θαῤῥεῖν ἢ ταράττεσθαι χρυσῆν ἔχοντα κλίνην.

(Stobæus Flor. V, 28; Maximus c. 21; Porphyr. Epist. ad Marcell. c. 29.)

155. Πυθαγόρας παρηγγύα « μὴ πυκνὰ τὸν ἄνθρωπον ἀπὸ τοῦ ἀνθρώπου » μὴ δεῖν συνεχῶς ἀφροδισιάζειν αἰνιττόμενος.

(Stobæus Flor. XVII, 13.)

ΔΗΜΟΦΙΛΟΥ

ΓΝΩΜΑΙ ΠΥΘΑΓΟΡΙΚΑΙ.

1. Ἃ κτησάμενος οὐ καθέξεις, μὴ αἰτοῦ παρὰ θεοῦ· δῶρον γὰρ θεοῦ ἀναφαίρετον· ὥστε οὐ δώσει, ἃ μὴ καθέξεις.

2. Ἄγρυπνος ἔσο κατὰ νοῦν· συγγενὴς γὰρ τοῦ ἀληθινοῦ θανάτου ὁ περὶ τοῦτον ὕπνος.

3. Βλάπτει θεὸς οὐ χολωθείς, ἀλλ' ἀγνοηθείς, ὀργὴ γὰρ θεοῦ ἀλλότριον· ἐπ' ἀβουλήτοις γὰρ ἡ ὀργή· θεῷ δὲ οὐδὲν ἀβούλητον.

4. Βουλευόμενος περὶ ἄλλου κακῶς φθάνεις σαυτὸν πάσχων ὑπὸ σαυτοῦ κακῶς. Καὶ αὐτὸς δὲ μὴ βούλου παρὰ κακοῦ πάσχειν καλῶς· οἷον γὰρ τὸ ἦθος ἑκάστου, τοιόσδε ὁ βίος καὶ αἱ πράξεις. Ψυχὴ γάρ ἐστι ταμιεῖον, ἀγαθὴ μὲν ἀγαθοῦ, κακὴ δὲ κακοῦ.

(Scripsi cum Holstenio φθάνεις σαυτὸν, cod. φθονεῖς σαυτῷ.)

5. Βουλευσάμενος πολλὰ ἧκε ἐπὶ τὸ λέγειν ἢ πράττειν· οὐ γὰρ ἕξεις ἐξουσίαν ἀνακαλέσασθαι τὰ πραχθέντα ἢ λεχθέντα.

6. Γλῶσσα σοφοῦ οὐ προηγουμένως τίμιον παρὰ θεῷ, ἀλλὰ τὰ ἔργα· σοφὸς γὰρ καὶ σιγῶν τὸν θεὸν τιμᾷ.

(Cf. Sext. Sent. 401 et 402; item Meliss. Serm. 93.)

7. Γλώσσαλγος ἄνθρωπος καὶ ἀμαθής, εὐχόμενος καὶ θύων τὸ θεῖον μιαίνει· μόνος οὖν ἱερεὺς ὁ σοφός, μόνος θεοφιλής, μόνος εἰδὼς εὔχεσθαι.

(Cf. Porphyr. Epist. ad Marcell.)

8. Γυμνὸς ἀποσταλεὶς σοφός, γυμνητεύων καλέσει τὸν πέμψαντα· μόνου γὰρ τοῦ μὴ τοῖς ἀλλοτρίοις πεφορτισμένου ἐπήκοος ὁ θεός.

(Cf. Porphyr. Epist. ad Marc. cap. 33.)

9. Δῶρον ἄλλο μεῖζον ἀρετῆς οὐκ ἔστι παρὰ θεοῦ λαβεῖν.

10. Δῶρα καὶ θυσίαι θεὸν οὐ τιμῶσιν, ἀναθήματα θεὸν οὐ κοσμεῖ, ἀλλὰ τὸ ἔνθεον φρόνημα διαρκῶς συνάπτει θεῷ· χωρεῖν γὰρ ἀνάγκη τὸ ὅμοιον πρὸς τὸ ὅμοιον.

(Cf. Porphyr. Epist. ad Marcell. cap. 19; item Hierocl. comm. ad aur. carm. vs. 1.)

11. Δουλεύειν πάθεσι χαλεπώτερον, ἢ τυράννοις.

(Idem dictum sub Pythagoræ nomine habet Stobæus Flor. VI, 47; cf. Porphyr. Epist. ad Marcell. cap. 34 et Maxim. cap. 3.)

12. Διαλέγεσθαι ἄμεινον ἑαυτῷ πλέον, ἤπερ τοῖς πέλας.

13. Ἐὰν ἀεὶ μνημονεύῃς, ὅτι, ὅπου ἂν ᾖ ἡ ψυχή σου καὶ τὸ σῶμα ἔργον ἀποτελῇ, θεὸς ἐφέστηκεν ἔφο-

---

154. Satius est in stramentis humi cubantem vivere et bono animo esse, quam in aureo lecto æstuare.

155. Pythagoras monebat: « *ne sæpe homo ab homine,* » frequenti venereorum usu abstinendum esse significans.

DEMOPHILI SENTENTIÆ PYTHAGORICÆ.

1. Quæ parta tueri non possis, ea a deo ne expetas: nullum enim donum eripi potest; idcirco haudquaquam dabit quod nequeas conservare.

2. Mente pervigili esto; nam animi veternus veræ morti cognatus est.

3. Calamitates hominibus infert deus non iratus, sed ignoratus: ira enim aliena est a deo; quippe quæ in rebus adversis locum habeat: deo autem nihil mali accidit.

4. Quum de alio male consulis, te ipsum malo accepto prævertis. Neque vero boni quidquam a malo exspectes: nam quales cujusque mores, talis et vita et actiones. Est enim animus quasi promtuarium, bonus quidem bonorum, malus autem malorum.

5. Diu multumque meditatus ad dicendum vel agendum accede: neque enim habebis potestatem facta aut dicta revocandi.

6. Non lingua sapientis præcipue deo cara est, sed ejus opera: nam sapiens, etiam cum tacet, deum honorat.

7. Homo garrulus et imperitus et orando et sacrificando numen contaminat: solus igitur sapiens sacerdos, solus pius, solus orandi gnarus.

8. Sapiens nudus in orbem missus, nudus eum, qui misit, invocet: deus enim solum exaudit illum qui alienis non est onustus.

9. Nullum donum majus virtute a deo accipi potest.

10. Munera et victimæ nihil honoris deo tribuunt, neque donaria deum ornant, sed mens sacro furore percita satis nos deo conjungit: nam simile simili accedere necesse est.

11. Durius est servire affectibus, quam tyrannis.

12. Præstat sæpius cum se ipso, quam cum aliis colloqui.

13. Si semper memineris, ubicunque animus tuus sit aut corpus aliquid perpetret, deum inspectorem adesse,

ρος, ἐν πάσαις σου ταῖς εὐχαῖς καὶ πράξεσιν, αἰδεσθήσῃ μὲν τοῦ θεωροῦ τὸ ἄληστον, ἕξεις δὲ τὸν θεὸν σύνοικον.

(Scripsi ἀποτελῇ, cod. ἀποτελεῖ. Cf. Porphyr. Epist. ad Marc. c. 20.)

14. Ἐφ' ὅσον σαυτὸν ἀγνοεῖς, νόμιζε μαίνεσθαι.

15. Ζητεῖν δεῖ καὶ ἄνδρα καὶ τέκνα τὰ μετὰ τὴν ἀπαλλαγὴν τοῦ βίου τούτου παραμενοῦντα.

(Posui παραμενοῦντα, cod. παραμένοντα. Iisdem fere verbis Pythagoras apud Stob. Flor. I, 21, nisi quod φίλους addit.)

16. Ζῇ ὡς ἀληθῶς θεῷ ὁμοίως ὁ αὐτάρκης καὶ ἀκτήμων φιλόσοφος, καὶ πλοῦτον ἡγεῖται μέγιστον, μηδὲν ἀλλότριον κεκτῆσθαι καὶ μὴ ἀναγκαῖον. Ἐπιτείνει γὰρ τὴν ἐπιθυμίαν ποτὲ ἡ τῶν χρημάτων ἐπίκτησις· αὔταρκες δὲ πρὸς εὐζωίαν τὸ μηδὲν ἀδικεῖν.

17. Ἡ τῶν ὄντως ὄντων κτῆσις διὰ ῥαστώνης οὐ περιγίνεται.

18. Ἡγοῦ μάλιστα ἀγαθὸν εἶναι, ὃ καὶ ἑτέρῳ μεταδιδόμενον σοὶ μᾶλλον αὔξεται.

19. Ἡγοῦ μάλιστα φίλους τοὺς ὠφελοῦντας τὴν ψυχὴν ἢ τὸ σῶμα.

20. Ἡγοῦ παντὸς ἀνοήτου καὶ τὸν ἔπαινον καὶ τὸν ψόγον καταγέλαστον, καὶ ὅλα τὰ τῶν ἀμαθῶν ὄνειδος εἶναι κατὰ τὸν βίον.

(Rescripsi εἶναι κατὰ τὸν βίον, cod. εἶναι τὸν βίον.)

21. Θέλε μᾶλλον τοὺς συνόντας αἰδεῖσθαί σε ἢ φοβεῖσθαι· αἰδοῖ γὰρ πρόσεστι σέβας, φόβῳ δὲ μῖσος.

(Eadem sententia sub Pythagoræ nomine exstat apud Stobæum Flor. XLIX, 20.)

22. Θυηπολία ἀφρόνων πυρὸς τροφή· τὰ δὲ ἀναθήματα ἱεροσύλων χορηγία.

(Cf. Hierocles Comment. ad carm. aur. vs. 1; Porphyr. Epist. ad Marcell. cap. 19; Stobæus Flor. IV, 109 Πυθαγόρου.)

23. Ἴσθι, ὡς οὐδεμία προσποίησις πολλῷ χρόνῳ λανθάνει.

24. Κακὰ μείζω πάσχει διὰ τὸ συνειδὸς ὁ ἀδικῶν, βασανιζόμενος τῇ ψυχῇ, ἤπερ τὸ σῶμα ταῖς πληγαῖς μαστιγούμενος.

(Cf. Stobæus Flor. XXIV, 8; Maximus cap. 5.)

25. Λόγον περὶ θεοῦ τοῖς ὑπὸ δόξης διεφθαρμένοις λέγειν οὐκ ἀσφαλές· καὶ γὰρ τἀληθῆ λέγειν ἐπὶ τούτων, καὶ τὰ ψευδῆ κίνδυνον φέρει.

26. Λόγῳ ἡγεμόνι ἐν παντὶ χρώμενος οὐχ ἁμαρτήσεις.

27. Λυποῦντα τὸν πλησίον οὐ ῥᾴδιον αὐτὸν ἄλυπον εἶναι.

28. Μεγάλην παιδείαν νόμιζε, δι' ἣν δυνήσῃ φέρειν ἀγνοούντων ἀπαιδευσίαν.

(Cf. Stobæus Flor. XIX, 8, ubi hæc sententia iisdem prope verbis Pythagoræ tribuitur.)

29. Νόμου θείου τὸ φαῦλον ἀνήκοον, διὸ καὶ παρανομεῖ.

(Cf. Stob. Flor. II, 23, qui Pythagoræ hoc dictum ascribit.)

30. Ξένος ἀνὴρ δίκαιος οὐ μόνον πολίτου, ἀλλὰ καὶ συγγενοῦς τι διαφέρει.

(Sic Pythagoras ap. Stob. Flor. IX, 37, unde hic reposui ἀλλὰ καὶ pro membranarum lectione ἀλλ' οὐδέ.)

---

in cunctis quidem precationibus actionibusque tuis vereberis inspectoris naturam non obliviscendam, deum vero contubernalem habebis.

14. In quantum te ipsum ignoras, furere et insanire te existima.

15. Talis maritus atque ejusmodi liberi comparandi sunt, qui etiam post mortem nostram superstites maneant.

16. Degit revera vitam deo similem frugalis inopsque philosophus, et opes maximas ducit nihil externum et non necessarium possidere. Nam divitiarum congerendarum studium quandoque earum cupiditatem intendit; sed ad bene beateque vivendum sufficit, nihil injuste agere.

17. Vera bona nequaquam otio et ignavia parantur.

18. Illud potissimum bonum esse existima, quod cum alio communicatum tibi magis augetur.

19. Eos præcipue amicos judica qui animum potius quam corpus juvant.

20. Cujusvis stulti et laudem et vituperationem ridiculam ducito, hominumque imperitorum, quamdiu vivunt, res omnes opprobrium existima.

21. Da operam, ut tui te familiares vereantur potius quam metuant: nam verecundia venerationem, metus odium conjunctum habet.

22. Stultorum sacrificium ignis alimentum est; donaria autem sacrilegorum præda.

23. Scito, nullam simulationem diu latere.

24. Homo iniquus majora perpetitur mala, dum animus scelerum conscientia excruciatur, quam si corpus cædatur verberibus.

25. Apud homines pravis opinionibus imbutos sermonem de deo instituere haudquaquam tutum est: nam sive vera sive falsa coram his dicenti idem periculum imminet.

26. Rationem ubique ducem sequendo nequaquam peccabis.

27. Aliis molestus haud facile ipse molestiis carebit.

28. Magnam doctrinam existima, qua imperitorum ignorantiam ferre possis.

29. Improbitas legi divinæ non obtemperat, ideoque etiam delinquit.

30. Peregrinus vir justus non tantum civi, sed etiam cognato quodammodo præstat.

31. Ὅσα πάθη ψυχῆς, τοσοῦτοι καὶ ὠμοὶ δεσπόται.

(Posui καὶ ὠμοὶ pro codicum scriptura οἱ ὠμοὶ adjutus Porphyrii auctoritate Epist. ad Marc. cap. 34 idem dictum usurpantis.)

32. Οὐδεὶς ἐλεύθερος ἑαυτοῦ μὴ κρατῶν.

(Ita Pythagoras apud Stob. Flor. VI, 51.)

33. Παντὸς καλοῦ κτήματος πόνος προηγεῖται ὁ κατ' ἐγκράτειαν.

(Eadem est Pythagoræ sententia ap. Stob. Flor. XVII, 8; conf. Porphyr. Epist. ad Marcell. cap. 7.)

34. Πέπεισο μὴ εἶναι σὸν κτῆμα, ὅπερ μὴ ἐντὸς διανοίας ἔχεις.

(Idem effatum sub Pythagoræ nomine affert Stobæus Flor. I, 23.)

35. Ποίει ἃ κρίνεις εἶναι καλά, κἂν ποιῶν μέλλῃς ἀδοξήσειν· φαῦλος γὰρ κριτὴς καλοῦ πράγματος ὄχλος.

(Sic Pythagoras ap. Stob. Flor. XLVI, 42, ubi quædam adjiciuntur.)

36. Πεῖραν ἀνθρώπου ἐκ τῶν ἔργων μᾶλλον λάμβανε ἢ ἐκ τῶν λόγων· πολλοὶ γὰρ βίῳ μέν εἰσι κακοί, λέγειν δὲ πιθανώτατοι.

37. Πρᾶττε τὰ μεγάλα μὴ ὑπισχνούμενος μεγάλα.

38. Ῥιζωθέντες ἐκ θεοῦ καὶ φύντες τῆς αὐτῶν ῥίζης ἐχώμεθα· καὶ γὰρ ὕδατος προχοαί, καὶ τὰ ἄλλα φυτὰ τῆς γῆς ῥίζης ἀποκοπέντα αὐαίνεται καὶ σήπεται.

39. Ῥώμη ψυχῆς σωφροσύνη· αὕτη γὰρ ψυχῆς ἀπαθοῦς φῶς ἐστι· τεθνάναι δὲ πολλῷ κρεῖττον, ἢ δι' ἀκρασίας σώματος τὴν ψυχὴν ἀμαυρῶσαι.

(Posterior sententiæ pars, τεθνάναι κτλ. exstat etiam sub Pythagoræ nomine apud Stobæum Flor. XVII, 27; cf. Porphyr. Epist. ad Marcell. cap. 35.)

40. Ῥᾳδίως μὴ μακαρίσῃς ἄνθρωπον σαλεύοντα ἐπὶ φίλοις ἢ τέκνοις, ἤ τινι τῶν ἐφήμερον τὴν σωτηρίαν ἐχόντων· ἐπισφαλῆ γὰρ πάντα τὰ τοιαῦτα, τὸ δὲ ἐφ' ἑαυτοῦ ὀχεῖσθαι καὶ τοῦ θεοῦ μόνον βέβαιον.

(Cf. Antonius Melissa cap. 148 περὶ εὐτυχίας καὶ δυστυχίας.)

41. Σοφὸς ἄνθρωπος καὶ θεοφιλής, ὃς ὅσα οἱ ἄλλοι μοχθοῦσι τοῦ σώματος ἕνεκα, τοσαῦτα σπουδάζει αὐτὸς ὑπὲρ ψυχῆς πονεῖν.

42. Συγγενεῖ καὶ ἄρχοντι πλὴν ἐλευθερίας πάντα εἶκε.

(Ita Pythagoras ap. Stob. Flor. XIII, 21.)

43. Τέκνα μάνθανε τίκτειν ἀΐδια, οὐ τὰ γηροβοσκήσοντα τὸ σῶμα, τὰ δὲ τὴν ψυχὴν θρέψοντα ἀϊδίῳ τροφῇ.

44. Φιλήδονον καὶ φιλοσώματον καὶ φιλοχρήματον καὶ φιλόθεον τὸν αὐτὸν ἀδύνατον εἶναι. Ὁ γὰρ φιλήδονος καὶ φιλοσώματος· ὁ δὲ φιλοσώματος πάντως καὶ φιλοχρήματος· ὁ δὲ φιλοχρήματος ἐξ ἀνάγκης ἄδικος· ὁ δὲ ἄδικος εἰς μὲν θεὸν ἀνόσιος, εἰς δὲ ἀνθρώπους παράνομος· ὥστε, κἂν ἑκατόμβας θύῃ, πολὺ μᾶλλον ἀνοσιώτερός ἐστι, καὶ ἀσεβὴς καὶ ἄθεος, καὶ τῇ προαιρέσει ἱερόσυλος· διὸ καὶ πάντα φιλήδονον ὡς ἄθεον καὶ μιαρὸν ἐκτρέπεσθαι χρή.

(Cf. Porphyr. Epist. ad Marcell. cap. 14.)

45. Ψυχῆς ἁγνῆς τόπον οἰκειότερον ἐπὶ γῆς οὐκ ἔχει θεός.

(Cf. Hierocl. comment. ad carm. aur. vs. 1.)

Τέλος τῶν τοῦ Δημοφίλου γνωμῶν.

---

31. Quot animi affectus, tot sævi domini sunt.

32. Nemo liber qui sibi ipsi non imperat.

33. Cujusvis boni adeptionem conjunctus cum continentia labor præcedit.

34. Persuasum habeas, tuas opes non esse, quas non reconditas animo serves.

35. Fac quæ honesta judicas, etiamsi nullam tibi allatura sint gloriam: vulgus enim malus recte factorum arbiter.

36. Ex operibus potius, quam e sermonibus hominis periculum fac: multi enim male vivunt et optime loquuntur.

37. Fac magna, nihil magni promittens.

38. Radicati natique ex deo radici nostræ inhæreamus: nam et aquæ profluentes cæteraque terræ germina succisa radice siccantur et putrescunt.

39. Animi robur temperantia est. Hæc enim animi perturbationibus vacui lumen est. At multo satius est mori, quam corporis incontinentia animum hebetare.

40. Haud facile beatum dixeris hominem, qui amicis vel liberis vel ulla re fluxa et caduca nititur: cuncta enim hæc incerta sunt. At se ipso deoque niti, id solum firmum et stabile est.

41. Is sapiens et deo gratus homo est, qui quantum laboris alii corporis causa sustinent, tantum ipse animo impendere studeat.

42. Cognato et principi omnia, una libertate excepta, concede.

43. Liberos æternos gignere discas, non qui corpus in senectute alant, sed qui animum cibo perpetuo nutriant.

44. Fieri nequit, ut idem et voluptatem et corpus et pecuniam et deum amet. Nam homo voluptarius simul corpori studet: at corporis amator omnino etiam pecuniæ cupidus est: atqui avarus necessario injustus est: injustus autem in deum impius et in homines iniquus est, adeo ut, etiamsi hecatombas immolet, multo magis impius sit et irreligiosus et dei contemtor et mente sacrilegus. Quapropter omnem hominem voluptarium ut impium et impurum aversari oportet.

45. Non habet deus in terris locum puro castoque animo sibi aptiorem.

Finis sententiarum Demophili.

ΑΛΛΑΙ ΠΥΘΑΓΟΡΕΙΩΝ

ΓΝΩΜΑΙ.

1. Ἀμέτρητος οὖσα καὶ ἀκόρεστος ἡ ἀργία τὴν μωρίαν ἀπεργάζεται ἢ κακὴν πονηρίαν.
(Anton. Meliss. cap. 53.)

2. Ἃ μὴ δεῖ ποιεῖν, μηδὲ ὑπονοοῦ ποιεῖν.
(Stobæus Flor. I, 20 Πυθαγόρου.)

3. Ἀσεβὴς ὃς οὐκ ἐπῃσχύνθη πρόσωπον ἐντίμου, οὐδὲ οἶδε τιμὴν θέσθαι τούτῳ.
(Anton. Meliss. cap. 53 Πυθαγόρου. Scripsi οἶδε pro codicis lectione εἶδε. Cf. Hierocl. comment. ad carm. aur. vs. 1.)

4. Βέλτιστοι ἑαυτῶν γίνονται ἄνθρωποι, ὅταν πρὸς τοὺς θεοὺς βαδίζωσιν.
(Plutarchus de defect. orac. p. 183; cf. idem de superstit. p. 102; Cicero de legg. I, cap. 11; Seneca epist. 94.)

5. Γλώσσης πρὸ τῶν ἄλλων κράτει.
(Jamblichus lib. II cap. 21.)

6. Ἐλεύθερον ἀδύνατον εἶναι πάθεσι δουλεύοντα.
(Maximus cap. 3.)

7. Ἑλοῦ βίον ἄριστον· ἡδὺν δὲ αὐτὸν ἡ συνήθεια ποιήσει.
(Plutarchus de exsilio p. 325; Stobæus Flor. I, 29 Πυθαγόρου.)

8. Ἡ ἐπιστήμη τῆς τελειότητος τῶν ἀρετῶν τῆς ψυχῆς εὐδαιμονία.
(Heraclides Ponticus ap. Clem. Alex. Strom. lib. II pag. 179 ed. Sylb.)

9. Ἡ μέθη μανίας μελέτη.
(Maximus cap. 30.)

10. Ἰσχύειν τῇ ψυχῇ αἱροῦ μᾶλλον ἢ τῷ σώματι.
(Stobæus Flor. I, 22 Πυθαγόρου.)

11. Μὴ ἐν πολλοῖς ὀλίγα λέγε, ἀλλ' ἐν ὀλίγοις πολλά.
(Stobæus Flor. XXXV, 8 Πυθαγόρου.)

12. Μοῦσαι Σειρήνων ἡδίους.
(Clemens Alex. Strom. I, 127 p. 294 ed. Sylburg.; Theodoret. ἑλλην. παθ. θεραπ. Serm. 8 Πυθαγόρου.)

13. Οἱ θεοὶ τῶν κακῶν εἰσιν ἀναίτιοι.
(Jamblichus de vit. Pythag. c. 32; cf. Hierocles apud Stob. Ecl. phys. lib. II cap. 7 tom. II p. 678 ed. Gaisford.)

14. Οἱ μὴ κολάζοντες τοὺς κακοὺς βούλονται ἀδικεῖσθαι τοὺς ἀγαθούς.
(Stobæus Flor. XLVI, 112 Πυθαγόρου.)

15. Οὐκ ἀεὶ καλὸν αἰθερολογεῖν, μελεδωνὸν δὲ εἶναι τῇ πατρίδι κάλλιον.
(Pythagoras Epist. ad Anaxim. ap. Diog. Laert. lib. VIII, 50.)

16. Πλοῦτος ἀσθενὴς ἄγκυρα, δόξα ἔτι ἀσθενεστέρα· τὸ σῶμα ὁμοίως, αἱ ἀρχαί, αἱ τιμαί· πάντα ταῦτα ἀσθενῆ καὶ ἀδύνατα. Τίνες οὖν ἄγκυραι δυναταί; φρόνησις, μεγαλοψυχία, ἀνδρεία· ταύτας οὐδεὶς χειμὼν σαλεύει. Οὗτος θεοῦ νόμος, ἀρετὴν εἶναι τὸ ἰσχυρὸν καὶ βέβαιον μόνον, τὰ δ' ἄλλα λῆρον.
(Stobæus Flor. I, 29 Πυθαγόρου.)

17. Οὐχ οὕτω χαλεπὸν ἁμαρτάνειν, ὡς τὸ ἁμαρτάνοντα μὴ ἐξελέγχειν.
(Stobæus Flor. XIII, 34 Πυθαγόρου.)

18. Πάντων χαλεπώτατόν ἐστιν ἐγκρατευμάτων τὸ γλώσσης κρατεῖν.
(Jamblichus de vit. Pythag. cap. 31.)

19. Ῥώμην μεγίστην καὶ πλοῦτον τὴν ἐγκράτειαν κτῆσαι.

ALIÆ PYTHAGOREORUM SENTENTIÆ.

1. Inertia immoderata et insatiabilis aut stultitiam aut insignem improbitatem gignit.

2. Quæ facere nefas est, ea facere ne suspectus quidem habearis.

3. Impius est qui personam viri honorati non reveretur et illi honorem habere nescit.

4. Meliores se ipsis homines evadunt, quum deos adeunt eorumque templa ingrediuntur.

5. Linguam ante omnia contineto.

6. Fieri non potest, ut liber sit qui affectibus serviliter indulget.

7. Optimum vitæ genus deligas : id consuetudo tibi suave et jucundum efficiet.

8. Scientia perfectionis virtutum animi beatitudo est.

9. Ebrietas insaniæ exercitatio est.

10. Animo quam corpore valere præopta.

11. Ne multis verbis pauca dicas, sed paucis multa.

12. Musæ Sirenibus sunt jucundiores.

13. Dii malorum non sunt auctores.

14. Qui malos non puniunt, bonos affici injuria volunt.

15. Non semper astrorum et cœli rationes investigare convenit : interdum pulchrius et melius est curas et cogitationes ad patriæ salutem convertere.

16. Divitiæ ancora sunt infirma, gloria etiam infirmior, corpus itidem, magistratus, honores, omnia hæc imbecilla et viribus destituta. Quæ ergo sunt ancoræ firmæ? Prudentia, magnanimitas, fortitudo : eas nulla tempestas agitat. Hæc dei lex est, ut sola virtus potens ac stabilis sit, cætera omnia nugæ et ineptiæ.

17. Non tam difficile est peccare, quam peccantem alium non redarguere.

18. Omnium continentiæ documentorum difficillimum est continere linguam.

19. Continentiam tibi ut maximum robur opesque comparato.

(Stobæus Florileg. XVII, 12 Πυθαγόρου.)

20. Σαρκὸς φωνὴ μὴ πεινῆν, μὴ διψῆν, μὴ ῥιγοῦν.

(Stobæus Floril. CI, 13 Πυθαγόρου; cf. Porphyr. Epist. ad Marcell. cap. 30.)

21. Τὰ ἁμαρτήματά σου πειρῶ μὴ λόγοις ἐπικαλύπτειν, ἀλλὰ θεραπεύειν ἐλέγχοις.

(Anton. Meliss. cap. 16.)

22. Τὰ ἐπίπονα τῶν ἡδέων μᾶλλον ἡγοῦ συντελεῖν εἰς ἀρετήν.

(Stobæus Flor. I, 26.)

23. Τὰ μὲν δριμέα καὶ πικρὰ ὠφέλιμα· τὰ δὲ γλυκέα βλαβερά.

(Antonius Melissa cap. 78.)

24. Τὰ τῶν φίλων κοινὰ καὶ φιλίαν ἰσότητα.

(Cicero de legg. lib. I cap. 12; cf. Jamblichus de vita Pythag. cap. 29 p. 342 ed. Kiessling.)

25. Ὑπομίμνησκε σεαυτόν, ὅτι πάντες ἄνθρωποι μέγιστον ἀγαθὸν τὴν φρόνησιν εἶναι λέγουσιν· ὀλίγοι δέ εἰσιν οἱ τὸ μέγιστον ἀγαθὸν τοῦτο κτήσασθαι εὐτονήσαντες.

(Stobæus Flor. III, 60 Πυθαγόρου.)

26. Φευκτέον παντάπασι καὶ ἐκκοπτέον ἀσθένειαν μὲν τοῦ σώματος, ἀπαιδευσίαν δὲ τῆς ψυχῆς, ἀκολασίαν δὲ τῆς γαστρός, στάσιν δὲ τῆς πόλεως, τὴν δὲ διαφωνίαν ἀπὸ τῆς οἰκίας, καὶ κοινῇ ἀπὸ πάντων τὸ ἀκρατές.

(D. Hieronymus Apolog. 3 adv. Rufin.)

27. Χαῖρε τοῖς ἐλέγχουσί σε μᾶλλον, ἢ τοῖς κολακεύουσιν· ὡς δὲ ἐχθρῶν χείρονας ἐκτρέπου τοὺς κολακεύοντας.

(Anton. Meliss. cap. 52.)

28. Χαλεπὸν πολλὰς ὁδοὺς ἅμα τοῦ βίου βαδίζειν.

(Stobæus Flor. I, 27 Πυθαγόρου.)

29. Ἔλεγεν ὁ Πυθαγόρας· χρὴ σιγᾶν ἢ κρείσσονα σιγῆς λέγειν.

(Stobæus Flor. XXXIV, 7.)

30. Ψυχῆς πᾶν πάθος εἰς σωτηρίαν αὐτῆς πολεμιώτατον.

(Stobæus Flor. I, 28 Πυθαγόρου.)

31. Ὧν ἡ τύχη κυρία δοῦναι καὶ ἀφελέσθαι, οὐ δεήσῃ οὐδενός.

(Stobæus Flor. V, 29 Πυθαγόρου in quibusdam codicibus et apud Gesnerum p. 65.)

32. Ὧν τοῦ σώματος ἀπαλλαγεὶς οὐ δεήσῃ, ἐκείνων καταφρόνει πάντων· καὶ ὧν ἀπαλλαγεὶς δεήσῃ, πρὸς ταῦτά σοι ἀσκουμένῳ θεὸν παρακάλει γίνεσθαι συλλήπτορα.

(Maximus cap. 1.)

33. Αἱ ἡλικίαι πρὸς τὰς ὥρας ὧδε σύμμετροι· παῖς ἔαρ· νεηνίσκος θέρος· νεηνίης φθινόπωρον· γέρων χειμών. Ἔστι δὲ αὐτῷ ὁ μὲν νεηνίσκος μειράκιον, ὁ δὲ νεηνίης ἀνήρ.

(Diogenes Laertius lib. VIII, 10.)

34. Διαιρεῖται (ὁ Πυθαγόρας) τὸν τοῦ ἀνθρώπου βίον οὕτως· παῖς εἴκοσι ἔτεα, νεηνίσκος εἴκοσι, νεηνίης εἴκοσι, γέρων εἴκοσι.

(Diogenes Laertius lib. VIII, 10.)

35. Ὁ μὲν θεὸς εἷς, αὐτὸς δὲ οὐχ, ὥς τινες ὑπονοοῦσιν, ἐκτὸς τᾶς διακοσμήσιος, ἀλλ' ἐν ἑαυτῷ ὅλος ἐν ὅλῳ τῷ κύκλῳ ἐπισκοπῶν πάσας τὰς γενέσιάς ἐστι, κρᾶσις ἐὼν τῶν ὅλων αἰώνων καὶ ἐργάτας τῶν αὐτοῦ δυναμίων καὶ ἔργων, ἀρχὴ ἁπάντων, ἕν, ἐν οὐρανῷ φωστήρ, καὶ πάντων πατήρ, νοῦς καὶ ψύχωσις τῶν ὅλων, κύκλων ἁπάντων κίνασις.

---

20. Corpus nec famem, nec sitim, nec frigus desiderat.

21. Peccata tua non verbis tegere, sed reprehensionibus curare coneris.

22. Existimes ea, quæ cum labore conjuncta sunt, plus ad virtutem conferre, quam illa quæ suavia sunt.

23. Acria et amara prosunt: dulcia nocent.

24. Amicorum omnia communia et amicitiam æqualitatem (dixit Pythagoras).

25. Memineris, omnes quidem homines virtutem summum bonum putare, sed tamen paucos reperiri, qui summum illud bonum consequi potuerint.

26. Fugienda sunt omnibus modis et tollenda e corpore languor, imperitia ex animo, intemperantia e ventre, e civitate seditio, e domo discordia, et in commune e cunctis rebus incontinentia.

27. Gaude potius iis qui te corripiunt, quam qui tibi assentantur; assentatores vero, utpote inimicis deteriores, aversare.

28. Difficile est multas simul vivendi vias ingredi.

29. Pythagoras dicebat: aut oportet silere, aut silentio meliora proferre.

30. Quilibet animi affectus saluti ipsius infestissimus est.

31. Nulla re indigebis quam dare vel auferre fortuna potest.

32. Quibus corpore solutus non indigebis, illa omnia contemne: quibus vero corpore solutus indigebis, iis tibi vacanti deum adjutorem advoca.

33. Ætates istæ anni temporibus respondent: veri puer, æstati adolescens, auctumno juvenis et hiemi senex. Adolescentem vero intelligit puberem, juvenem virum.

34. Humanam ætatem ita distinguit (Pythagoras): puer viginti annos implet, adolescens viginti, juvenis viginti, senex viginti.

35. Deus quidem unus est: non ille autem, ut quidam suspicantur, extra hunc mundi ornatum, sed ipse suæ naturæ inhærens totus in toto circulo omnia quæ orta sunt inspicit, sæculorum omnium temperatio, et virtutum operumque ejus opifex, principium omnium, unicum, in cœlo lumen, et pater omnium, mens et animatio omnium, circulorum omnium motus sive motor.

(Justinus Martyr Exhort. ad gentes p. 20.)

36. Δεῖ τεκνοποιεῖσθαι· δεῖ γὰρ ἀντικαταλιπεῖν τοὺς θεραπεύοντας τὸν θεόν.

(Jamblichus vit. Pyth. cap. 18.)

37. Μὴ ὀμνύναι θεούς, ἀσκεῖν γὰρ αὑτὸν δεῖν ἀξιόπιστον παρέχειν.

(Diogenes Laertius lib. VIII, 22.)

38. Τοὺς πρεσβυτέρους τιμᾶν δεῖν, τὸ προηγούμενον τῷ χρόνῳ τιμιώτερον ἡγουμένους.

(Diogenes Laertius lib. VIII, 22.)

39. Ἀλλήλοις ὁμιλεῖν, ὡς τοὺς μὲν φίλους ἐχθροὺς μὴ ποιῆσαι, τοὺς δ' ἐχθροὺς φίλους ἐργάσασθαι.

(Diogenes Laertius lib. VIII, 23.)

40. Ἴδιον μηδὲν ἡγεῖσθαι.

(Diogenes Laertius lib. VIII, 23.)

41. Νόμῳ βοηθεῖν, ἀνομίᾳ πολεμεῖν.

(Diogenes Laertius lib. VIII, 23.)

42. Αἰδῶ καὶ εὐλάβειαν ἀσκεῖν· μήτε γέλωτι κατέχεσθαι, μήτε σκυθρωπάζειν.

(Diogenes Laertius lib. VIII, 23.)

43. Φεύγειν σαρκῶν πλεονασμόν.

(Diogenes Laertius lib. VIII, 23.)

44. Ἐν ὀργῇ μήτε τι λέγειν μήτε πράσσειν.

(Diog. Laert. lib. VIII, 23.)

45. Μνήμην ἀσκεῖν.

(Diog. Laert. lib. VIII, 23.)

46. Πυθαγόρας ἐρωτηθεὶς ὑπό τινος οἰνόφλυγος, πῶς ἂν τοῦ μεθύειν παύσοιτο, ἔφη· Εἰ συνεχῶς θεωρεῖ τὰ ὑπ' αὐτοῦ πρασσόμενα.

(Anton. et Maximus serm. περὶ μέθης.)

47. Ἀρχὴ δέ τοι ἥμισυ παντός, ἀπόφθεγμά ἐστι Πυθαγόρου αὐτοῦ.

(Jamblichus de vita Pythag. cap. 29 p. 342 edit. Kiessling.)

48. Πυθαγόρας ἐρωτηθεὶς τί ποιοῦσιν ἄνθρωποι θεοῖς ὅμοιον ἔφη « ἐὰν ἀληθεύωσιν. » Οἱ δὲ μάγοι ἀποφαίνονται τοῦ μεγίστου τῶν θεῶν, ὃν Ὡρομάγδην καλοῦσιν, ἐοικέναι τὸ μὲν σῶμα φωτὶ τὴν δὲ ψυχὴν ἀληθείᾳ.

(Stobæus Flor. XI. 25 Πυθαγόρου.)

49. Πυθαγόρας εἶπεν, εἰσιέναι εἰς τὰς πόλεις πρῶτον τρυφήν, ἔπειτα κόρον, εἶτα ὕβριν, μετὰ δὲ ταῦτα ὄλεθρον.

(Stobæus Flor. XLIII, 79 Πυθαγόρου.)

50. Οὐδὲν δεῖ τῶν ἀνθρωπίνων συμπτωμάτων ἀπροσδόκητον εἶναι παρὰ τοῖς νοῦν ἔχουσιν, ἀλλὰ πάντα προσδοκᾶν, ὧν μὴ τυγχάνουσιν αὐτοὶ κύριοι ὄντες.

(Jamblichus de vit. Pythag. cap. XXXII pag. 444 Kiessl.)

51. Συμβουλεύειν μηδὲν παρὰ τὸ βέλτιστον τῷ συμβουλευομένῳ· ἱερὸν γὰρ συμβουλή.

(Jamblichus de vit. Pythag. cap. XVIII p. 183 ed. Kiessl.)

52. Ἀγαθὸν οἱ πόνοι· αἱ δὲ ἡδοναὶ ἐκ παντὸς τρόπου κακόν.

(Jamblichus de vit. Pythag. cap. XVIII p. 183 ed. Kiessl.)

53. Ἀρχή ἐστιν ἡ περὶ τὸν οἶκον δικαία διάθεσις τῆς ὅλης ἐν ταῖς πόλεσιν εὐταξίας· ἀπὸ γὰρ τῶν οἴκων αἱ πόλεις συνίστανται.

(Jamblichus de vit. Pythag. cap. XXX p. 359 ed. Kiessl.)

54. Προνοεῖν δεῖ μᾶλλον φιλοσοφίας ἢ γονέων καὶ

---

36. Liberi suscipiendi tibi; oportet enim vicissim relinquere numinis cultores.

37. (Pythagoras suis interdicebat) ne per deos jurarent: debere enim unumquemque operam dare, ut se fide dignum exhiberet.

38. Seniores nobis honorandos esse, quod tempore præcedit, majore honore decorandum existimantibus.

39. Alter altero ita familiariter uti debemus, ut non ex amicis inimicos, sed ex inimicis amicos faciamus.

40. Proprium nihil ducendum.

41. Legibus opem ferendam : iniquitatem debellandam.

42. Verecundiam et pietatem esse colendam : risui æque ac tristitiæ non indulgendum.

43. Fugienda carnis abundantia.

44. Noli quidquam iratus aut dicere aut facere.

45. Exerce memoriam.

46. Pythagoras a vinoso quodam homine interrogatus, quomodo ebrietatem relinqueret, dixit : si sæpe consideraret, quæ per temulentiam fecisset.

47. Principium vero dimidium totius, *ipsius Pythagoræ effatum est.*

48. Pythagoras interrogatus, quid deo simile facerent homines, Cum vera dicerent, respondit. Cæterum magi maximum deorum, quem Oromagden ipsi vocant, corpore quidem affirmant esse luci similem, animo autem veritati.

49. Pythagoras dixit immigrare in civitates primum luxuriam, deinde satietatem, tum insolentiam, postea exitium.

50. Nihil eorum quæ homini contingere possunt inexspectatum sapientibus accidere oportet, sed quæ in ipsorum potestate non sunt, omnia exspectare debent.

51. Consulenti nos nihil aliud quam optima quæque suadere debemus : sacra enim res est consilium.

52. Utiles sunt labores : noxiæ omnino voluptates.

53. Principium est omnis boni ordinis in civitate justa rei domesticæ dispositio : nam e domibus civitates constant.

54. Oportet nos majori studio philosophiam quam pa-

γεωργίας· ο μὲν γὰρ γονεῖς καὶ γεωργοὶ αἴτιοί εἰσι τοῦ ζῆν ἡμᾶς, οἱ δὲ φιλόσοφοι καὶ παιδευταὶ τοῦ εὖ ζῆν καὶ φρονῆσαι, τὴν ὀρθὴν οἰκονομίαν εὑρόντες.

(Jamblichus de vit. Pythag. cap. XXXIV pag. 480 ed. Kiessl.)

55. Φεύγειν μὲν τὸ κακόν, ἰχνεῦσαι δὲ καὶ ἑλεῖν τὸ πάντων ἄριστον, καὶ ἑλόντα αὖ κοινῇ ξυνοικεῖν τὸν ἐπίλοιπον βίον· τοῦτο δὲ οὐδὲν ἄλλο ἐστίν, ἢ δεόντως φιλοσοφεῖν.

(Jamblichus Adhort. ad philos. cap. V pag. 80 ed. Kiessl.)

56. Σχεδὸν ταῖς ἀγωγαῖς διαφέρουσιν οἱ μὲν ἄνθρωποι τῶν θηρίων, οἱ δὲ Ἕλληνες τῶν βαρβάρων, οἱ δὲ ἐλεύθεροι τῶν οἰκετῶν, οἱ δὲ φιλόσοφοι τῶν τυχόντων.

(Jamblichus de vita Pythag. cap. VIII pag. 90 ed. Kiessl.)

57. Ἀναγκαιόν ἐστι τῷ μὲν ἀνεπιστήμονι μανθάνειν ἃ τυγχάνει ἀγνοῶν τε καὶ οὐκ ἐπιστάμενος, τῷ δὲ μανθάνοντι προσέχειν τῇ τοῦ ἐπισταμένου τε καὶ διδάξαι δυναμένου ὑπολήψει τε καὶ δόξῃ· καθόλου δὲ εἰπεῖν ἀναγκαῖον τοὺς σωθησομένους τῶν νέων προσέχειν ταῖς τῶν πρεσβυτέρων τε καὶ καλῶς βεβιωκότων ὑπολήψεσί τε καὶ δόξαις.

(Jamblichus de vita Pythag. cap. XXXI pag. 409 ed. Kiessl.)

58. Ἀνοήτου ἐστὶ καὶ τὸ πάσῃ καὶ παντὸς δόξῃ προσέχειν, καὶ μάλιστα τὸ τῇ παρὰ τῶν πολλῶν γινομένῃ.

(Jamblichus de vita Pythag. cap. XXXI pag. 409 Kiessl.)

59. Δεῖ φυτὸν ἥμερον μήτε φθείρειν μήτε σίνεσθαι, ἀλλὰ μηδὲ ζῶον, ὃ μὴ βλάπτει ἀνθρώπους.

(Diogenes Laertius lib. VIII, 23.)

60. Ἐρωτηθείς ποτε ὁ Πυθαγόρας, ὁπότε δεῖ πλησιάζειν; ὅτε βούλει γενέσθαι σαυτοῦ ἀσθενέστερος.

(Diogenes Laertius lib. VIII, 9.)

61. Ἔλεγον οἱ Πυθαγόρειοι, μὴ εἶναι πρὸς πάντας πάντα ῥητά.

(Diogenes Laertius lib. VIII, 15.)

62. Ξενόφιλος ὁ Πυθαγορικὸς ὑπό τινος ἐρωτηθείς, πῶς ἂν μάλιστα τὸν υἱὸν παιδεύσειεν, εἶπεν· εἰ πόλεως εὐνομουμένης γενηθείη.

(Diogenes Laertius lib. VIII, 16.

63. Πυθαγόρας ἐρωτηθείς, πῶς δεῖ ἀγνωμονούσῃ πατρίδι προσφέρεσθαι, εἶπεν, ὡς μητρί.

(Stobæus Flor. XXXI,X 25.)

64. Τοὺς ἀδικήσαντας μὴ πρᾶττε δίκας, ἀρκεῖ γὰρ αὐτοῖς ὑπὸ τῆς ἰδίας ταπεινοῦσθαι κακίας.

(Antonius et Maximus serm. de ira et excandescentia pag. 330.)

65. Ὁ Πυθαγόρας πρὸς τοῖς ἄλλοις παρήγγελλε τοῖς μανθάνουσι σπανίως μὲν ὀμνύναι, χρησαμένους δὲ τοῖς ὅρκοις πάντως ἐμμένειν καὶ πρὸς τέλος ἄγειν ὑπὲρ ὧν ἄν τις ὀμόσῃ πραγμάτων.

(Diodorus Siculus lib. X. fragm. 16.)

66. Ὁ αὐτὸς Πυθαγόρας παρήγγελλε πρὸς τοὺς θεοὺς προσιέναι τοὺς θύοντας μὴ πολυτελεῖς, ἀλλὰ λαμπρὰς καὶ καθαρὰς ἔχοντας ἐσθῆτας, ὁμοίως δὲ μὴ μόνον τὸ σῶμα καθαρὸν παρεχομένους πάσης ἀδίκου πράξεως, ἀλλὰ καὶ τὴν ψυχὴν ἁγνεύουσαν.

(Diodorus Siculus lib. X fragm. 21.)

---

rentes et agriculturam complecti: parentes enim et agricolæ id tantum efficiunt, ut vivamus, philosophi autem et præceptores ut bene vivamus et sapiamus, quoniam rectam rerum administrationem excogitarunt.

55. Malum fugere omniumque optimum investigare et eligere idque electum per reliquam vitam constanter tueri oportet: hoc vero nihil aliud est, quam ita, ut decet, philosophari.

56. Institutione fere fit, ut homines bestiis, Græci barbaris, liberi servis et philosophi plebejis præstent.

57. Necesse est ignarum discere quæ ignorat ac nescit, discentem autem animum advertere ad opinionem sententiamque ejus qui gnarus est et docendi facultatem habet, omnino vero oportet juvenes, quibus salus sua curæ est, attendere, quid seniores hominesque vita recte acta clari senserint opinatique sint.

58. Insipientis est omni cujuslibet hominis opinioni animum intendere ac præcipue vulgi opinionibus moveri.

59. Stirpem sativam neque corrumpi neque vitiari oportet, ac ne animal quidem, quod hominibus non noceat, lædi par est.

60. Interrogatus quodam tempore Pythagoras, quando esset concumbendum, Tunc, inquit, cum te ipso infirmior fieri vis.

61. Pythagorei dicebant, non esse omnibus omnia aperienda.

62. Xenophilus Pythagoricus interrogatus a quodam, quo pacto optime filium erudiret, respondit, Si civitatis bonis legibus temperatæ civis fieret.

63. Pythagoras interrogatus, quomodo oporteret se gerere erga patriam ingratam: Ut erga matrem, respondit.

64. Ab iis qui injuriam fecerunt ne sumito pœnam; satis enim est illos suo premi malo.

65. Pythagoras super cætera discipulis suis præcipiebat, ut ad jurandum raro accederent, ubi vero semel jurassent, ut prorsus sacramenti fidem servarent eaque quæ interposito jurejurando polliciti essent, ad finem adducerent.

66. Idem Pythagoras monebat, ut sacrificantes non pretiosis, sed candidis et mundis vestibus amicti deos adirent, neque solum corpus purum ab omni labe ac scelere, verum mentem quoque castam conservarent.

ΣΥΜΒΟΛΑ ΠΥΘΑΓΟΡΙΚΑ.

Καὶ μὴν οὐδέν ἐστιν οὕτω τῆς Πυθαγορικῆς φιλοσοφίας ἴδιον, ὡς τὸ συμβολικόν· οἷον ἐν τελετῇ μεμιγμένον φωνῇ καὶ σιωπῇ διδασκαλίας γένος, ὥστε μὴ λέγειν· ἀείσω ξυνετοῖσι, θύρας δ' ἐπίθεσθε βεβήλοις, ἀλλ' αὐτόθεν ἔχειν φῶς καὶ χαρακτῆρα τοῖς συνήθεσι τὸ φραζόμενον, τυφλὸν δὲ καὶ ἄσημον εἶναι τοῖς ἀπείροις. Ὡς γὰρ ὁ ἄναξ ὁ ἐν Δελφοῖς οὔτε λέγει οὔτε κρύπτει ἀλλὰ σημαίνει, κατὰ τὸν Ἡράκλειτον, οὕτω τῶν Πυθαγορικῶν συμβόλων καὶ τὸ φράζεσθαι δοκοῦν κρυπτόμενόν ἐστι καὶ κρύπτεσθαι νοούμενον.

(Stobæus Flor. V, 72 Πυθαγορικά. Posui βεβήλοις pro codicum lectione βέβηλοι. Conf. Fragm. Orph. 1.)

1. Ἐπὶ χοίνικος μὴ καθίζειν.

Τουτέστι, φεύγειν ἀργίαν καὶ προνοεῖν ὅπως τὴν ἀναγκαίαν παρασκευάσωμεν τροφήν (Plutarch. περὶ παίδων ἀγωγ. cap. 17). ἤ· ἐν ἴσῳ τοῦ ἐνεστῶτος φροντίδα ποιεῖσθαι καὶ τοῦ μέλλοντος· ἡ γὰρ χοῖνιξ ἡμερήσιος τροφή (Diog. Laërt. lib. VIII, 18). ἤ· μὴ σκοπεῖν τὰ ἐφ' ἡμέραν, ἀλλὰ καὶ τὴν ἐπιοῦσαν ἀεὶ προσδέχεσθαι (Athenæus lib. X p. 452. E). ἤ· διδάσκει ἀεί τι τοῦ παρόντος εἰς τὸ μέλλον καταλιπεῖν, καὶ τῆς αὔριον ἐν τῇ σήμερον μνημονεύειν.

(Plutarchus Sympos. lib. VII cap. 4, tom. XI p. 302 ed. Hutten. Cf. Jamblichus Adh. ad Philos. cap. 21.)

2. Ζυγὸν μὴ ὑπερβαίνειν.

Ἀντὶ τοῦ πᾶσαν πλεονεξίαν φεύγειν καὶ στυγεῖν, ζητεῖν δὲ τὸ ἴσον τῆς τε δικαιοσύνης πλεῖστον ποιεῖσθαι λόγον καὶ μὴ ταύτην ὑπερβαίνειν.

(Athenæus lib. X p. 452. D. Plutarchus de educ. lib. cap. 17, tom. VII p. 47 ed. Hutten. Jamblichus Adhort. ad philos. cap. 21.)

3. Μὴ πολλοῖς ἐμβάλλειν δεξιάν.

Τουτέστι μὴ πολλοὺς ποιεῖσθαι φίλους, μηδὲ πολύκοινον μηδὲ πάνδημον ἀσπάζεσθαι φιλίαν.

(Plutarchus de amic. multitud. tom. VII. p. 296 ed. Hutten. Cf. Jamblichus Adhort. ad philos. cap. 21.)

4. Καρδίαν μὴ ἐσθίειν.

Τουτέστι μὴ τὴν ψυχὴν ἀνίαις καὶ λύπαις κατατήκειν, ἢ ἀλυπίαν ἀσκεῖν.

(Suidas in v. Πυθαγόρας et Athenæus lib. X pag. 452. D. Similiter Jamblichus Adh. ad philos. cap. 21 : καρδίαν μὴ τρῶγε.)

5. Κυάμων ἀπέχεσθαι.

Τουτέστιν ὅτι οὐ δεῖ πολιτεύεσθαι· κυαμευταὶ γὰρ ἦσαν ἔμπροσθεν αἱ ψηφοφορίαι, δι' ὧν πέρας ἐπετίθεσαν ταῖς ἀρχαῖς.

(Plutarchus de educ. lib. c. 17, tom. VII p. 47 seq. ed. Hutten. Conf. A. Gell. lib. IV cap. 11 et Cic. de divin. lib. I. Jamblichus Adhort. ad philos. cap. 21.)

6. Μὴ γεύεσθαι μελανούρων.

Τουτέστι μὴ συνδιατρίβειν μέλασιν ἀνθρώποις διὰ κακοήθειαν.

(Plutarchus de educ. lib. c. 17 p. 47 ed. Hutten.) Μελανούρων ἀπέχου· χθονίων γάρ ἐστι θεῶν. (Jamblichus Adhort. ad Philos. cap. 21.)

SYMBOLA PYTHAGORICA.

Atqui nihil ita proprium est philosophiæ Pythagoricæ, ut symbolicum illud doctrinæ genus, quod velut in sacrorum initiatione voce et silentio permixtum est, ut non sit opus præmonere : « *Cantabo doctis, claudatur porta profanis,* » sed ut statim quodlibet dictum exercitatis lucem naturamque suam ostendat, imperitis vero cæcum sit et obscurum. Quemadmodum enim Delphicus Apollo non perspicue dicit, neque abscondit, sed significat, secundum Heraclitum : sic e Pythagoricis symbolis et id quod dici videtur, absconditur, et quod abscondi videtur, intelligitur.

1. Chœnici ne insideas.

Hoc est, fugiendam esse desidiam et prospiciendum, ut victum necessarium paremus. — vel : Ex æquo præsentis et futuri agendam esse curam. Chœnix enim diurnæ escæ mensura est. — vel : Non curanda esse quæ sunt in diem, sed semper proximum diem exspectandum esse. — vel : Docet nos semper ex præsentibus aliquid in futurum relinquere et crastini diei hodie meminisse.

2. Stateram ne transgrediaris.

Pro eo, quod est : Omnem avaritiam fugias ac detesteris; quæras autem quod æquum est, maximamque justitiæ rationem habeas, fines ejus non excedens.

3. Ne multis dextram injicias.

Id est, Ne multos facias amicos, neve promiscuam et vulgarem amicitiam amplectaris.

4. Cor ne edito.

Id est, Ne excrucies animum mœrore et tristitia, vel : Vacuitatem doloris exerceas.

5. A fabis abstineto.

Hoc est, vita rempublicam. Nam fabarum ope suffragia olim ferebant, per quæ rerum civitatis administratoribus magistratum abrogabant.

6. Noli gustare pisces nigra cauda instructos.

Hoc est, Ne converseris cum hominibus nigris ob morum pravitatem.—vel : Ab eo quod nigram caudam habet abstineto : nam inferorum deorum est.

7. Ὁμορόφους χελιδόνας μὴ ἔχειν ἢ χελιδόνα ἐν οἰκίᾳ μὴ ἔχειν.

Τουτέστι λάλον καὶ ψίθυρον καὶ πρόγλωσσον ἄνθρωπον, μὴ δυνάμενον στέγειν, ὧν ἂν μετάσχῃ, μὴ δέχεσθαι.

(Clemens Alexandrinus Stromat. lib. V p. 239; cf. Plutarch. Sympos. lib. VIII cap. 7; Jamblichus Adh. ad philos. cap. 21.)

8. Πῦρ μαχαίρᾳ μὴ σκαλεύειν.

Ἀντὶ τοῦ μὴ ἐρεθίζειν θυμούμενον (οὐ γὰρ προσήκει) ἀλλ' ὑπείκειν τοῖς ὀργιζομένοις.

(Plutarchus de educ. lib. c. 17, tom. VII, p. 47 ed. Hutten; cf. Athenæus lib. X p. 452. D; Lucianus ver. hist. p. 157; Suidas v. Anaximander Miles. jun; Jamblichus Adhort. ad phil. cap. 21.)

9. Σιτίον εἰς ἀμίδα μὴ ἐμβάλλειν.

Ἐπισημαίνει γάρ, ὅτι εἰς πονηρὰν ψυχὴν ἀστεῖον λόγον ἐμβάλλειν οὐ προσήκει. Ὁ μὲν γὰρ λόγος τροφὴ διανοίας ἐστί· τοῦτον δ' ἀκάθαρτον ἡ πονηρία ποιεῖ τῶν ἀνθρώπων.

(Plutarchus de educ. lib. c. 17, tom. VII p. 48 ed. Hutten.)

10. Τῆς χύτρας ἀρθείσης ἀπὸ τοῦ πυρός, τὸν ἐν τῇ σποδῷ τύπον μὴ ἀπολιπεῖν, ἀλλὰ συγχεῖν. ἤ· χύτρας ἴχνος συγχεῖν ἐν τῇ τέφρᾳ.

Οὐ τὸν τύπον ἀφανίζειν μόνον δεῖν ᾐνίττετο, ἀλλὰ μηδὲ ὀργῆς ἴχνος ἀπολιπεῖν· ἐπὰν δὲ ἀναζέσασα παύσηται, καθίστασθαι αὐτὴν καὶ πᾶσαν ἀπαλείφειν μνησικακίαν.

(Clemens Alexandrinus Strom. lib. V p. 239. Cf. Jamblichus Adhort. ad philos. cap. 21.)

11. Εἰς ἱερὸν ἀπιὼν προσκυνῆσαι, μηδὲν ἄλλο μεταξὺ βιωτικὸν μήτε λέγε μήτε πράττε.

(Jamblichus Adhort. ad philos. cap. 21.)

12. Ὁδοῦ πάρεργον οὔτε εἰσιτητέον εἰς ἱερὸν οὔτε προσκυνητέον τοπαράπαν, οὐδ' εἰ πρὸς ταῖς θύραις αὐταῖς παριὼν γένοιο.

(Jamblichus Adhort. ad philos. cap. 21.)

13. Ἀνυπόδητος θῦε καὶ προσκύνει.

(Jamblichus Adhort. ad philos. cap. 21.)

14. Τὰς λεωφόρους ὁδοὺς ἐκκλίνων διὰ τῶν ἀτραπῶν βάδιζε.

(Jamblichus Adhort. ad philos. cap. 21.)

15. Γλώσσης πρὸ τῶν ἄλλων κράτει θεοῖς ἑπόμενος.

(Jamblichus Adhort. ad philos. cap. 21.)

16. Ἀνέμων πνεόντων τὴν ἠχὼ προσκύνει.

(Jamblichus Adhort. ad philos. cap. 21, cujus hæc est explicatio : καὶ αὐτὸ τῆς θείας σοφίας ἐστὶ γνώρισμα· αἰνίττεται γάρ, ὡς δεῖ τῶν θείων οὐσιῶν κατὰ δύναμιν τὴν ὁμοιότητα ἀγαπᾶν, καὶ ὅταν ἐνεργῶσι, τὸν σύμφωνον πρὸς τὰς ἐνεργείας αὐτῶν λόγον μετὰ μεγάλης σπουδῆς τιμᾶν τε καὶ σέβειν. At Lil. Gyraldus sic exponit, ut dicat : cum venti flant i. e. cum turbarum civilium procellæ exsistunt, tum fugiendum esse sapienti urbium strepitum et quærenda loca deserta ac solitaria, ubi nihil auditurus sit, nisi echo, vocis suæ imaginem.)

17. Ὀξίδα ἀπὸ σεαυτοῦ ἀπόστρεφε πᾶσαν.

(Jamblichus Adhort. ad philos. cap. 21, qui annotat : τοῦτο φρονήσει χρῆσθαι παρακελεύεται καὶ μὴ θυμῷ· τὸ μὲν γὰρ ὀξὺ τῆς ψυχῆς ὅπερ θυμὸν καλοῦμεν, λόγου καὶ φρονήσεως ἐστέρηται· ζεῖ γὰρ ὁ θυμός, ὥσπερ λέβης πυρὶ θαλπόμενος . . . καὶ τὸ πάθος οὖν τοῦτο λογισμῷ πιέζειν χρή.)

18. Ἀνδρὶ ἐπανατιθεμένῳ μὲν φορτίον συνέπαιρε, μὴ συγκαθαίρει δὲ ἀποτιθεμένῳ.

(Jamblichus Adhort. ad philos. cap. 21, qui explicat : μὴ γίγνου μήτε σαυτῷ μήτε ἄλλῳ ῥαθυμίας καὶ μαλθακῆς διαίτης αἴτιος· πόνῳ γὰρ πᾶν χρῆμα ἁλώσιμον. Porphyr. vit. Pythag.

---

7. Hirundines sub eodem tecto ne habeas, vel : Hirundinem domi ne habeto.

Hoc est, loquacem, susurronem et garrulum hominem qui non potest continere quæ ipsi communicata sunt, ne recipias.

8. Ignem gladio ne fodias.

Pro eo quod est, ira exacerbatum noli lacessere (neque enim decet), sed iratis cede.

9. Cibum in matulam ne injicito.

Significat enim sermonem elegantem in pravum animum demitti non decere. Est enim sermo animi cibus, quem cibum immundum humana reddit perversitas.

10. Olla ab igne remota ne relinquas ejus figuram in cinere, sed confundas. vel : Ollæ vestigium in cinere confundas.

Tecte significabat non modo abolendam speciem, sed ne vestigium quidem iræ relinquendum esse. Cum autem defervisset, eam sedandam atque omnem injuriæ memoriam delendam esse.

11. In templum adoratum abiens ne quid aliud interea, quod ad vitam pertineat, vel dicito vel facito.

12. Obiter neque ingrediendum est templum, neque omnino adorandum, ne tum quidem, si ad ipsas fores præteriens verseris.

13. Discalceatus sacra facito et adorato.

14. Publicas vias declinans per semitas ingreditor.

15. Linguam ante omnia contineto diis obsequens.

16. Ventorum spirantium sonum repercussum adorato.

17. Acetabulum omne a te avertito.

18. Onus suscipientem sublevato, ne sublevato deponentem.

cap. 42 : παρήνει μηδενὶ πρὸς ῥᾳστώνην, ἀλλὰ πρὸς ἀρετὴν καὶ πόνους συμβάλλειν.)

19. Εἰς μὲν ὑπόδησιν τὸν δεξιὸν πόδα προπάρεχε, εἰς δὲ ποδόνιπτρον τὸν εὐώνυμον.
(Jamblichus Adhort. ad philos. cap. 21. Idem vit. Pythag. cap. 18 pag. 178 ed. Kiessl.)

20. Περὶ Πυθαγορείων ἄνευ φωτὸς μὴ λάλει.
(Jamblichus Adhort. ad philos. cap. 21; id est, qui de Pythagoreorum mysteriis loquitur, mentis lumine indiget.)

21. Ἀποδημῶν τῆς οἰκίας μὴ ἐπιστρέφου. Ἐριννύες γὰρ μετέρχονται.
(Jamblichus Adhort. ad philos. cap. 21. Similiter Plutarchus de educ. lib. c. 17 : μὴ ἐπιστρέφεσθαι ἐπὶ τοὺς ὅρους ἐλθόντας, τουτέστι μέλλοντας ἀποθνήσκειν καὶ τὸν ὅρον τοῦ βίου πλησίον ὄντα ὁρῶντας φέρειν εὐκόλως καὶ μὴ ἀθυμεῖν. Diogenes Laert. VIII, 17 : διὰ δὲ τοῦ εἰς ἀποδημίαν βαδίζοντα μὴ ἐπιστρέφεσθαι παρήνει τοῖς ἀπαλλαττομένοις τοῦ βίου μὴ ἐπιθυμητικῶς ἔχειν τοῦ ζῆν, μηδὲ ὑπὸ τῶν ἐνταῦθα ἡδονῶν ἐπάγεσθαι. Postrema Jamblichus interpretatur : μετάνοια γὰρ ἐκ τούτου πολλή σοι παρέψεται . . . τὴν δὲ μετάνοιαν Ἐριννὺν μετωνόμασεν.)

22. Πρὸς ἥλιον τετραμμένος μὴ οὔρει.
(Jamblichus Adhort. ad philos. cap. 21, qui exponit : μὴ ζῳῶδές τι ποίει καὶ βοσκηματῶδες.)

23. Δᾳδίῳ θῶκον μὴ ἀπόμασσε.
(Jamblichus Adhort. ad philos. cap. 21. Sed Diogenes Laertius lib. VIII, 17 : ἐλαδίῳ θᾶκον μὴ ὀμόργνυσθαι.)

24. Ἀλεκτρυόνα τρέφε μέν, μὴ θῦε δέ· μήνῃ γὰρ καὶ ἡλίῳ καθιέρωται.
(Jamblichus Adhort. ad philos. cap. 21.)

25. Γαμψώνυχον μηδὲν παράτρεφε.
(Jamblichus Adhort. ad philos. cap. 21; Mich. Apostolius Proverb. Centur. V, 93 : γαμψώνυχας μὴ τρέφειν ἀντὶ τοῦ ἅρπαγας φεύγειν. Sic etiam Dacerius accepit in hunc modum interpretans : « Ne souffrez pas dans votre maison des gens qui ne sont pas fidèles, des voleurs. »)

26. Ἐν ὁδῷ μὴ σχίζε.
(Jamblichus Adhort. ad philos. cap. 21, i. e. noli in philosophiæ studio minutissima quæque perquirere.)

27. Δακτύλιον μὴ φόρει.
(Jamblichus Adhort. ad philos. cap. 21, qui addit : φιλοσόφει, φησίν, ὡς ἀληθῶς, καὶ χώριζε τοῦ περικειμένου δεσμοῦ τὴν ψυχήν· μελέτη γὰρ θανάτου καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος ἡ φιλοσοφία. At Plutarchus de educ. lib. c. 17 p. 47 : μὴ φορεῖν στενὸν δακτύλιον, ὅτι δεῖ τὸν βίον ἐλεύθερον ἐπιτηδεύειν, καὶ μηδενὶ δεσμῷ προσάπτειν αὐτόν.)

28. Θεοῦ τύπον μὴ ἐπίγλυφε δακτυλίῳ.
(Jamblichus Adhort. ad philos. cap. 21 : τουτέστι φιλοσόφει καὶ ἀσωμάτους πρὸ παντὸς ἡγοῦ θεοὺς ὑπάρχειν . . . μὴ νόμιζε δὲ μορφαῖς αὐτοὺς κεχρῆσθαι, ὅσαι εἰσὶ σωματικαί· μηδὲ προσδέχεσθαι ὑποστάσει ὑλικῇ, καὶ οἷον δεσμῷ ὑλικῷ σώματι, ὥσπερ τὰ ἄλλα ζῷα. Porphyrius vit. Pythag. cap. 43 : θεῶν τε εἰκόνας ἐν δακτυλίοις μὴ φορεῖν, τουτέστι τὴν περὶ θεῶν δόξαν καὶ λόγον μὴ πρόχειρον μηδὲ φανερὸν ἔχειν, μηδ' εἰς πολλοὺς φέρειν.)

29. Παρὰ λύχνον μὴ ἐσοπτρίζου.
(Jamblichus Adhort. ad philos. cap. 21.)

30. Περὶ θεῶν μηδὲν θαυμαστὸν ἀπίστει, μηδὲ περὶ θείων δογμάτων.
(Jamblichus Adhort. ad philos. cap. 21.)

31. Ἀσχέτῳ γέλωτι μὴ ἔχεσθαι.
(Jamblichus Adhort. ad philos. cap. 21.)

32. Παρὰ θυσίᾳ μὴ ὀνυχίζου.
(Jamblichus Adhort. ad philos. cap. 21.)

33. Στρωμάτων ἐξαναστὰς συνέλισσε αὐτά, καὶ τὸν τύπον συστόρνυε.
(Jamblichus Adhort. ad philos. cap. 21. Sed Diogenes Laertius VIII, 17 habet : τὰ στρώματα ἀεὶ συνδεδεμένα ἔχειν.)

34. Ἐγκέφαλον μὴ ἔσθιε.
(Jamblichus Adhort. ad philos. cap. 21.)

---

19. Ad calceos subligandos dextrum pedem prius afferto, ad lavandum sinistrum.

20. De Pythagoreis sine lumine ne loquitor.

21. Peregre abiens ne revertitor : nam Furiæ subsequuntur.

22. Ad solem conversus ne mejito.

23. Facula sedem ne abstergito.

24. Gallum alito quidem, at ne immolato : nam lunæ et soli consecratus est.

25. Ne quid eorum, quæ curvos ungues habent, alito.

26. In via ne scindito.

27. Annulum ne gestato.

28. Dei imaginem annulo ne insculpito.

29. Ad lucernam speculum ne inspicito.

30. Neque de diis neque de doctrina sacra quidquam tam admirabile dicitur, ut ei fides sit deroganda.

31. Cachinno ne indulgeto.

32. Inter sacrificandum ungues ne præcidito.

33. Stragula, ubi surrexeris, convolvito corporisque vestigium complicatione deleto. *vel :* Stragula semper in unum quasi fasciculum colligata et tanquam iter facturos convasata nos habere decet.

34. Cerebrum ne edito.

35. Ἀποκαρμάτων σῶν καὶ ἀπονυχισμάτων κατάπτυε.
(Jamblichus Adhort. ad philos. cap. 21.)

36. Ἐρυθρῖνον μὴ προσλαμβάνου.
(Jamblichus Adhort. ad philos. cap. 21.)

37. Χρυσὸν ἐχούσῃ μὴ πλησίαζε ἐπὶ τεκνοποιίᾳ.
(Jamblichus Adhort. ad philos. cap. 21.)

38. Προτίμα τὸ σχῆμα καὶ βῆμα τοῦ σχήματος καὶ τριωβόλου.
(Jamblichus Adhort. ad philos. cap. 21. Posui τοῦ σχήματος καὶ τριωβόλου pro vulgata lectione τὸ σχῆμα καὶ τριώβολον cujus loco codex Cizensis habet τοῦ σχῆμα καὶ τριώβολον.)

39. Μολόχην ἐπιφύτευε μέν, μὴ ἔσθιε δέ.
(Jamblichus Adhort. ad philos. cap. 21.)

40. Ἐμψύχων ἀπέχου.
(Jamblichus Adhort. ad philos. cap. 21.)

41. Στέφανον μὴ τίλλειν.
(Porphyrius de vit. Pythag. p. 74 ed. Kiessling.): τουτέστι τοὺς νόμους μὴ λυμαίνεσθαι· στέφανοι γὰρ πόλεων οὗτοι.)

42. Σπονδὰς ποιεῖσθαι τοῖς θεοῖς κατὰ τὸ οὖς τῶν ἐκπωμάτων.
(Porphyrius de vit. Pythag. p. 74 ed. Kiessling.)

43. Μήτραν ζῴου μὴ ἐσθίειν.
(Hierocles Comm. in aur. carm. vs. 67-69 cap. 26.)

44. Θνησιμαίων ἀπέχεσθαι.
(Hierocles Comm. in aur. carm. vs. 67-69 cap. 26.)

45. Τὸν ἅλα παρατίθεσθαι.
(Diogenes Laertius VIII, 35.)

46. Ἄρτον μὴ καταγνύειν.
(Jamblichus vit. Pyth. cap. 16; Diogenes Laertius lib. VIII, 35.)

47. Ὀδόντας μὴ καταγνύειν.
(Olympiodorus ad Plat. Phædon.)

48. Πρὸς τὸν ἥλιον τετραμμένος μὴ λάλει.
(Olympiodorus ad Plat. Phædon.)

49. Μὴ καθεύδειν ἐν μεσημβρίᾳ.
(Olympiodorus ad Plat. Phædon. qui habet μὴ δεῖ καθεύδειν, quod ferri non potest.)

50. Ὠδαῖς χρῆσθαι πρὸς λύραν.
(Jamblichus vit. Pythag. cap. 25 pag. 238 ed. Kiessl.)

51. Ἄνευ προστάγματος τοῦ αὐτοκράτορος ἐκ τῆς φρουρᾶς μὴ ἀναχωρεῖν.
(Olympiodorus ad Plat. Phædonem; Cicero Cat. Maj. cap. 20.)

52. Τὸ ἑφθὸν οὐκ ἐποπτᾶν.
(Jamblichus vit. Pyth. cap. 28. h. e. interprete Gyraldo : « *mansuetudinem et benignitatem in iram ne vertas*. Mitia enim elixa esse dicuntur, assa vero et tosta immitia et incitantia ad iracundiam. »

53. Ὀξεῖαν μάχαιραν ἀποστρέφειν.
(Jamblichus vit. Pyth. cap. 28. Alii legunt ἀποστρέφου. Dacerius explicat : « *hominem maledicum fugito.* »)

54. Τὰ πίπτοντα ἀπὸ τῆς τραπέζης μὴ ἀναιρεῖσθαι.
(Diogenes Laertius lib. VIII, 34; Suidas v. Πυθαγόρας. Addit Diogenes : ὑπὲρ τοῦ ἐθίζεσθαι μὴ ἀκολάστως ἐσθίειν, ἢ ὅτι ἐπὶ τελευτῇ τινος. Ἀριστοφάνης δὲ τῶν ἡρώων φησὶν εἶναι τὰ πίπτοντα, λέγων ἐν τοῖς Ἥρωσι· μὴ γεύεσθ', ἅττ' ἂν καταπέσῃ τῆς τραπέζης ἐντός (leg. ἐκτός). Quocum concinit Athenæus lib. X ita scribens : τοῖς δὲ τετελευτηκόσι τῶν φίλων ἀπένεμον τὰ πίπτοντα τῆς τροφῆς ἀπὸ τῶν τραπεζῶν.)

55. Ἀπέχου καὶ σοροῦ κυπαρισσίνης.
(Jamblichus vit. Pyth. cap. 28 p. 326 ed. Kiessl.)

56. Τοῖς μὲν οὐρανίοις περισσὰ θύειν, ἄρτια δὲ τοῖς χθονίοις.
(Jamblichus vit. Pyth. cap. 28 p. 326 ed. Kiessl. Nam impar numerus, imprimis ter-

---

35. Crinium et unguium tuorum præsegmina conspuito.
36. Rubellionem ne adhibeto.
37. Ad feminam divitem ne accedito sobolis procreandæ causa.
38. Præopta figuram in pulvere descriptam ejusque mensuram magistratuum dignitati et triobolo (i. e. litterarum studia reipublicæ administrationi præfer).
39. Malvam insuper serito quidem, sed ea ne vescitor.
40. Ab animantibus abstineto.
41. Noli vellere coronam.
42. Libamenta diis juxta poculorum ansas solvenda sunt.
43. Animalis vulvam ne comedito.
44. A morticinis abstineto.
45. Salem apponito.
46. Panem ne frangito
47. Dentes ne frangito.
48. Ad solem conversus ne loquitor.
49. Meridie ne dormito.
50. Carminibus utendum ad lyram.
51. Injussu imperatoris (id est, dei) de præsidio et statione (vitæ) ne decedas.
52. Quod elixum est, ne assato.
53. Gladium acutum avertito.
54. Quæ e mensa deciderunt, ne tollito.
55. A loculo cupresseo abstineto.
56. Cœlestibus imparia sacrificato, inferis vero paria.

narius, quod dividi non posset, perfectior ideoque deorum cœlestium majestati convenientior Pythagoreis visus est.)

57. Μὴ σπένδειν θεοῖς ἐξ ἀμπέλων ἀτμήτων.
(Plutarchus Num. cap. 14, vol. I p. 172 ed. Hutten.)

58. Ἄτερ ἀλφίτων μὴ θύειν.
(Plutarchus Num. cap. 14, qui de hoc et præcedenti symbolo ait : ταῦτα τὴν γῆς ἐξημέρωσιν ἔοικε διδάσκειν, ὡς μόριον εὐσεβείας οὖσαν.)

59. Προσκυνεῖν περιστρεφομένους.
(Plutarchus Num. cap. 14 hæc adjiciens : ἡ δὲ περιστροφὴ τῶν προσκυνούντων λέγεται μὲν ἀπομίμησις εἶναι τῆς τοῦ κόσμου περιφορᾶς· δόξειε δ' ἂν μᾶλλον ὁ προσκυνῶν, ἐπεὶ πρὸς ἕω τῶν ἱερῶν βλεπόντων ἀπέστραπται πρὸς τὰς ἀνατολάς, μεταβάλλειν ἑαυτὸν ἐνταῦθα, καὶ περιστρέφειν ἐπὶ τὸν θεόν, κύκλον ποιῶν καὶ συνάπτων τὴν ἐπιτελείωσιν τῆς εὐχῆς δι' ἀμφοῖν. Εἰ μὴ νὴ Δία τοῖς Αἰγυπτίοις τροχοῖς αἰνίττεταί τι καὶ διδάσκει παραπλήσιον ἡ μεταβολὴ τοῦ σχήματος, ὡς οὐδενὸς ἑστῶτος τῶν ἀνθρωπίνων, ἀλλ' ὅπως ἂν στρέφῃ καὶ ἀνελίττῃ τὸν βίον ἡμῶν ὁ θεός, ἀγαπᾶν καὶ δέχεσθαι προσῆκον.)

60. Καθῆσθαι προσκυνήσαντας.
(Plutarchus Numa cap. 14 : τὸ δὲ καθέζεσθαι προσκυνήσαντας οἰωνισμὸν εἶναι λέγουσι τοῦ βεβαιότητα ταῖς εὐχαῖς καὶ διαμονὴν τοῖς ἀγαθοῖς ἐπιγίνεσθαι. Λέγουσι δὲ καὶ πράξεων διορισμὸν εἶναι τὴν ἀνάπαυσιν· ὡς οὖν τῇ προτέρᾳ πράξει πέρας ἐπιτιθέντας καθέζεσθαι παρὰ τοῖς θεοῖς, ἵνα ἑτέρας πάλιν ἀρχὴν παρ' ἐκείνων λάβωσιν. Δύναται δὲ καὶ τοῦτο τοῖς εἰρημένοις ὁμολογεῖν, ἐθίζοντος ἡμᾶς τοῦ νομοθέτου μὴ ποιεῖσθαι τὰς πρὸς τὸ θεῖον ἐντεύξεις ἐν ἀσχολίᾳ καὶ παρέργως, οἷον σπεύδοντας, ἀλλ' ὅταν χρόνον ἔχωμεν καὶ σχολὴν ἄγωμεν.)

61. Ὅταν βροντᾷ, γῆν θιγεῖν.
(Jamblichus vit. Pyth. cap. 28.)

62. Ἕν, δύο.
(Jamblichus l. c. Plutarchus de Iside et Osir. pag. 112, qui unitatem Apollinem, binarium numerum Dianam a Pythagoreis vocari tradit. Sed non male Dacerius hæc de duobus principiis, Deo et materia, dicta esse existimat. Cf. Diog. Laert. VIII, 25.)

63. Μὴ ἐσθίειν ἐπὶ δίφρου.
(Plutarchus de Iside et Osir. cap. 10, tom. IX. pag. 112 ed. Hutten.)

64. Φοίνικα μὴ φυτεύειν.
(Plutarchus de Iside et Osir. cap. 10, tom. IX p. 112 ed. Hutten.)

65. Φυτὸν ἥμερον μήτε φθίνειν μήτε σίνεσθαι.
(Diogenes Laertius lib. VIII, 23.)

66. Ἐχεμυθίαν ἀσκεῖν.
(Clemens Alexandrinus Strom. V p. 559 ed. Sylb.)

67. Ἰχθύων μὴ γεύεσθαι.
(Clemens Alexandrinus Strom. V p. 559 ed. Sylb.)

68. Ἐπὶ γῆς μὴ πλεῖν.
(Clemens Alexandrinus Strom. V p. 559 ed. Sylb. Ἐπὶ γῆς μὴ πλεῖν Πυθαγόρειόν ἐστι σύμβολον· δηλοῖ δὲ τὰ τέλη καὶ τὰ ὅμοια τῶν μισθωμάτων, ταραχώδη καὶ ἄστατα ὄντα, παραιτεῖσθαι δεῖν. Διὰ τοῦτό τοι ὁ λόγος τοὺς τελώνας λέγει δυσκόλως σωθήσεσθαι.)

69. Οὐδὲ εἰς περιῤῥαντήριον ἐμβάπτειν, οὐδὲ ἐν βαλανείῳ λούεσθαι.
(Jamblichus vit. Pyth. cap. 18 p. 178 ed. Kiessl.)

70. Μετὰ φωνῆς εὔχεσθαι.
(Clemens Alexandrinus Strom. IV p. 543 ed. Sylb. Τί τοίνυν οἱ Πυθαγόρειοι βουλόμενοι μετὰ φωνῆς εὔχεσθαι κελεύουσιν; ἐμοὶ δοκεῖ, οὐχ ὅτι τὸ θεῖον ᾤοντο μὴ δύνασθαι τῶν ἡσυχῇ φθεγγομένων ἐπαΐειν, ἀλλ' ὅτι δικαίας ἐβούλοντο εἶναι τὰς εὐχάς, ἃς οὐκ ἄν τις αἰδεσθείη ποιεῖσθαι πολλῶν συνειδότων.)

71. Ἕνα γενέσθαι καὶ τὸν ἄνθρωπον δεῖ.
(Clemens Alexandrinus Strom. lib. IV p. 535 : μυστικῶς καὶ τὸ Πυθαγόρειον ἐλέγετο, ἕνα γενέσθαι καὶ τὸν ἄνθρωπον δεῖν. Videtur autem unum appellare Deum et mentem. In hanc sententiam Diogenes Laertius lib. VIII

---

57. E vitibus non putatis noli diis libare.
58. Noli sine farina sacrificare.
59. Circumactos adorare oportet.
60. Precibus absolutis sedendum est.
61. Cum tonat, terram tangito.
62. Unum, duo.
63. In curru ne comedito.
64. Palmam ne plantato.
65. Plantam sativam neque excidendam esse neque corrumpendam.
66. Silentium obtine.
67. Pisces ne gustato.
68. In terra ne naviges.
69. Nec in aquali intingendum, nec in balneo lavandum.
70. Clara voce precandum.
71. Unum oportet hominem quoque fieri.

25 : ἀρχὴν μὲν τῶν ἁπάντων μονάδα, ἐκ δὲ τῆς μονάδος ἀόριστον δυάδα ὡς ἂν ὕλην τῇ μονάδι αἰτίῳ ὄντι ὑποστῆναι. Sic et Plutarchus Plac. phil. I, 3 ubi de Pythagora disserit : πάλιν δὲ τὴν μονάδα καὶ τὴν ἀόριστον δυάδα ἐν ταῖς ἀρχαῖς· σπεύδει δ' αὐτῷ τῶν ἀρχῶν ἡ μὲν ἐπὶ τὸ ποιητικὸν αἴτιον, ὅπερ ἐστὶ νοῦς ὁ θεός, ἡ δ' ἐπὶ τὸ παθητικόν τε καὶ ὑλικόν, ὅπερ ἐστὶν ὁ ὁρατὸς κόσμος.)

PYTHAGOREORUM SYMBOLA

QUÆDAM ET PRÆCEPTA MYSTICA

E CODICIBUS MANU EXARATIS PETITA ET A LIL. GYRALDO LATINE VERSA.

1. *Sepiam piscem noli edere*, id est, res contortas ac difficiles ne suscipito, quas ubi tenere tibi visus fueris, e manibus elabentur.

2. *In limite non consistendum*, id est ambiguæ sententiæ non immorandum.

3. *Progredienti gregi de via decedendum*, i. e. multitudini non est occursandum.

4. *Mustela e transverso offensa redeundum*, i. e. fugiendi delatores. Nam mustelam ore parere affirmant.

5. *Arma a muliere subministrata rejicienda*, i. e. quæ ira et vindicta suppeditant, non sunt facienda : eis enim affectibus maxime obnoxiæ sunt feminæ.

6. *In tenebris sine vestitu aliquo non ambulandum*, i. e. nudam et apertam sententiam in obscuris rebus non proferendam.

7. *Rectum pedem promovendum*, i. e. recta esse [*del.*] et justa pronuntianda.

8. *In poculi fundo noli quidquam reliquum facere*, i. e. artes quas cœperis exhauri.

9. *Colubrum intra ædes collapsum ne interficias*, i. e. inimicum supplicem ne lædas; coluber enim hostis est symbolum.

10. *Offensa in vestibulo obscœna vetula, non egrediendum*, i. e. res quarum turpia sunt principia non esse persequendas.

11. *Noctu in tenebris deambulanti cavendum*, i. e. mortalibus enitendum, ut fuisse in vita videantur.

12. *Sole collucente ignem afferre nefas*, i. e. in rebus claris et perspicuis rationem non afferendam.

13. *Lapidem in fontem jacere scelus*, i. e. scelus est opprimere eos qui reipublicæ prosunt.

14. *Pedem ad limen offendenti redeundum*, i. e. quæ in ipso principio noxia sunt, non persequenda.

15. *Lumen post caput suspensum retinere flagitium*, i. e. industriam et providentiam non in postremis habendam.

16. *Sinistra manu sumere cibum nefas*, i. e. rapinis et furtis ne vivito neve aliud lucrum quærito, nisi rectum et legitimum.

17. *In sepulcro ne dormito*, i. e. noli languescere otio, postquam bona a parentibus hereditate accepisti.

18. *Panis frusta pedibus proculcare turpe*, i. e. quamvis minimam degendæ vitæ rationem non profligandam.

19. *Egredienti ingredientique valvas exosculandas*, i. e. initia et fines actionum atque institutorum complectenda.

20. *Lyram illotis manibus non attingendam*, i. e. purissimum eum qui alios docere velit, esse oportere.

21. *Sudorem ferro abstergere tetrum facinus*, i. e. labore parta nemini vi et viribus eripienda.

22. *In solitudine sine baculo non ambulandum*, i. e. inter amicos in rebus necessariis sermones et consilia conferenda sunt.

23. *Apud quadrupedem carmen non canendum*, i. e. apud ignaros seria non proferenda.

24. *Faciem in fluvio nec lavandam nec spectandam*, i. e. e re fluxa et instabili specimen capi non debet.

25. *Hominis vestigia ferro ne configito*, i. e. memoriam mortuorum conviciis ne lacera.

26. *Integrum fasciculum in ignem non esse inferendum*, i. e. non omnes simul opes in discrimen adducendas esse.

27. *Egredienti ex ædibus sinciput, redeunti occiput perfricandum*, i. e. cautionem ac diligentiam ad res agendas adhibendam, has autem peractas reminiscendo recognoscendas esse.

28. *De rheda junctis pedibus ne exsilito*, i. e. noli temere et uno impetu vitæ conditionem mutare.

29. *Ad astrum ne digitum intendito*, i. e. contra superiorem ne exsurgito.

30. *In arundineto non confabulandum*, i. e. cum levissimis hominibus familiaritatem non habendam.

31. *Candelam ad parietem ne applicato*, i. e. homines rudes et eruditionis lumini resistentes ne erudito.

32. *In nive ne quid inscribito*, i. e. ingeniis mollibus et effeminatis institutionis laborem ne impendito.

33. *Vulturem avem in augurio infelicissimam*, i. e. hominem avarum et rapacem malum omen esse.

34. *Facilius mori hominem cui oculi claudantur*, i. e. hominem ipsum per negligentiam facile in miseriam incidere.

35. *Puerum aut feminam stricto gladio vagantem malum omen esse*, i. e. non defuturum malum, si civitatis gubernatio ineptis et levibus hominibus committatur.

36. *Duorum temporum quam maxime agendam esse curam, matutini et vespertini*, i. e. eorum quæ facturi sumus et eorum quæ fecimus.

Ad symbola Pythagorica referendam etiam esse litteram Y inter omnes constare arbitramur. De qua ita Lactantius divin. Instit. lib. VI cap. 3 : Dicunt (*Pythagorei*) humanæ vitæ cursum Y litteræ esse similem, quod unusquisque hominum, quum primæ adolescentiæ limen attigerit, et in eum locum venerit, *partes ubi se via findit in ambas*, hæreat nutabundus ac nesciat, in quam se partem potius inclinet. Si ducem nactus fuerit, qui dirigat ad meliora titubantem, hoc est, si aut philosophiam didicerit aut eloquentiam aut aliquid honestæ artis, quo evadat ad bonam frugem (quod fieri sine labore maximo non potest), honestam ac copiosam vitam disputant peracturum; si vero doctorem frugalitatis non invenerit, in sinistram viam quæ melioris speciem mentiatur, incidere, id est desidiæ, inertiæ, luxuriæ se tradere (quæ suavia quidem videntur ad tempus vera bona ignoranti); post autem, amissa omni dignitate ac re familiari, in omnibus miseriis ignominiaque victurum. »

Addimus incerti auctoris carmen de eodem argumento scriptum.

Littera Pythagoræ, discrimine secta bicorni,
Humanæ vitæ speciem præferre videtur.
Nam via virtutis dextrum petit ardua collem,
Difficilemque aditum primum spectantibus offert,
Sed requiem præbet fessis in vertice summo.
Molle ostendit iter via lata, sed ultima meta
Præcipitat captos volvitque per ardua saxa.
Quisquis enim duros casus virtutis amore
Vicerit, ille sibi laudemque decusque parabit.
At qui desidiam luxumque sequetur inertem,
Dum fugit oppositos incauta mente labores,
Turpis inopsque simul miserabile transiget ævum.

ΣΕΚΟΥΝΔΟΥ ΤΟΥ ΑΘΗΝΑΙΟΥ ΣΟΦΟΥ

ΓΝΩΜΑΙ.

SECUNDI PHILOSOPHI ATHENIENSIS

SENTENTIÆ.

α'. Τί ἐστι Κόσμος;

Ἀκατάληπτος περιοχή [a], θεωρητὸν κατασκεύασμα [b], ἀσύνοπτον [c] ὕψωμα, αὐτογέννητον θεώρημα, πολυχάρακτον μόρφωμα, αἰώνιον διακράτημα, αἰθὴρ θρεπτικός [d], πολυδιοίκητον πνεῦμα [e], ἀπλανὲς [f] κύκλωμα [g], ἥλιος, φῶς [h], ἡμέρα, σελήνη [i], ἄστρα, σκότος, νὺξ, γῆ, πῦρ [k], ὕδωρ, ἀήρ [l].

([a] Sic cod. Parisiensis. At veteres interpretes apud Vincentium Bellovacensem et in Barthii Adversariis legerunt ἀκατάληκτος περίοδος: vertunt enim *incessabilis circuitus*. Ab his dissentit Auctor Altercationis Hadriani *ineffabilis circuitus* interpretans, ut ἀνέκφραστος vel ἀδιήγητος περίοδος legisse videatur. [b] θεωρητικὸν κατασκεύασμα cod. Paris., θεωρητικὸν κατασκευασμένον cod. Gudianus; sed requiritur θεωρητὸν κατασκεύασμα quod posui. [c] ita cod. Paris; εὐσύνοπτον cod. Gud. [d] male cod. Gud. θρεπτηκος. [e] πολυδιοίκητον πνεῦμα cod. Par.; desunt hæc verba in cod. Gud. [f] ἀπλανὲς cod. Gud.; item vetus interpres apud Vincentium et Auctor Altercationis Hadriani, vertentes *circuitus sine errore*. Sed ἑπταπλανὲς exemplum Parisiense. [g] κύκλωμα cod. Paris.; κύκλευμα cod. Gud. [h] ἥλιος, φῶς cod. Par.; ἡλίου φῶς cod. Gud. [i] abest in cod. Gud. [k] desideratur in cod. Gud. [l] ὕδωρ, ἀήρ cod. Par.; ἀήρ, ὕδωρ cod. Gud.)

β'. Τί ἐστιν Ὠκεανός;

Κόσμου ἐναγκάλισμα, θαλάσσιον [m] στεφάνωμα, ἁλμυρὸς δεσμός, ἀτλαντικὸς ζωστήρ [n], πάσης φύσεως περίδρομος [o], οἰκουμένης κάτοχος.

([m] sic cod. Paris.; a quo multum discrepat Gudianus hoc loco στεφανωμένον ὁρίον, περίαμμα ἁλμυραῖον, δεσμὸς ἀτλαντικός exhibens. [n] ζωστήρ quod habet membrana Parisiensis, deest in Gudiana. [o] ἡλιακὸς λαμπτήρ additur hic in libro Gudiano.)

γ'. Τί ἐστι Θεός;

Ἰδιόπλαστον ἀγαθόν [o], πολύμορφον εἴκασμα [p], ἀσύνοπτον ὕψωμα, πολυχάρακτον μόρφωμα, δυσνοούμενον ζήτημα, ἀθάνατος νοῦς, πολυδιοίκητον πνεῦμα, ἀκοίμητος ὀφθαλμός, ἰδία πάντων οὐσία [a], πολυώνυμος δύναμις, παγκρατὴς χείρ [b], φῶς, νοῦς, δύναμις.

([o] ἰδιόπλαστον ἀγαθόν cod. Paris.; vocabulum ἰδιόπλαστον non agnoscit liber Gudianus. [p] εἴκασμα cod. Paris.; ἴκασμα Gud. [a] Verba ἰδία πάντων οὐσία quæ leguntur in exemplo Parisiensi non exstant in Gudiano. [b] hæc membranæ Parisiensis scriptura est, cujus loco liber Gudianus habet παγκρατὲς φῶς omisso nomine χείρ.)

δ'. Τί ἐστιν Ἡμέρα;

Στάδιον κακοπαθείας, δωδεκάωρος [c] διαδρομή, ἀρχὴ καθημερινή, ὑπόμνησις βιωτική [d], δειλινὴ ἀπό-

1. Quid est Mundus?

Incomprehensibilis complexio, aspectabile ædificium, altitudo oculis inaccessa, ex se natum spectaculum, multiformis figuratio, æternus tenor, almus æther, multipartitus spiritus, circuitus erroris expers, sol, lumen, dies, luna, sidera, tenebræ, nox, terra, ignis, aqua, aer.

2. Quid est Oceanus?

Mundi amplexus, corona maritima, salsum vinculum, cingulum Atlanticum, totius naturæ rotatio, orbis fascia.

3. Quid est Deus?

Bonum nativum, multiformis imago, altitudo invisibilis, varie figurata facies, quæstio intellectu difficilis, mens immortalis, spiritus cuncta pervadens, pervigil oculus, propria omnium essentia, multinominis potestas, manus omnipotens, lumen, mens, potentia.

4. Quid est Dies?

Stadium laboris, duodecim horarum decursus, quotidianum principium, admonitio victitandi, vespertina lucis

τασις [e], αἰώνιον ἀρίθμημα, φυσικὸν ἐσόπτρισμα [f], ἀερίζουσα μέριμνα [g].

([c] δωδεκάωρος cod. Par.; δωδεκάμαρος liber Gud. [d] βιωτικὴ posui cum Orellio; βιοτικὴ male editio Romana et Fabricius Bibl. Gr. vol. XIII p. 566. [e] ἀπότασις cod. Par.; ἀπότεξις ζωστικὴ ἔντευξις Gud. [f] ἐσόπτρισμα cod. Par.; ἐσώπτρησμα Gud. [g] ἀερίζουσα μέριμνα cod. Par.; desiderantur hæc verba in Gudiano qui eorum loco habet παλίνδρομος ἀνάμνησις.)

ε'. Τί ἐστιν Ἥλιος;

Οὐράνιος ὀφθαλμός, νυκτὸς ἀνταγωνιστής, αἰθέριον κύκλωμα [h], κοσμικὸς ἔλεγχος, ἀκήρατος φλόξ, καρπῶν περιβόλαιον [i], ἄσβεστος ἀκτίς, κεχορηγημένη λαμπάς, οὐράνιος ὁδοιπόρος, ἀδιάλειπτον φέγγος, ἡμέρας κόσμιον.

([h] αἰθέριον κύκλωμα cod. Par.; θερινὸν κύκλωμα Gud. [i] καρπῶν περιβόλαιον, ἄσβεστος ἀκτίς cod. Par.; desunt hæc verba in Gudiano qui pro iis exhibet ἀδιάπτωτον φέγγος.)

ς'. Τί ἐστι Σελήνη;

Οὐρανοῦ πορφύρα, νυκτερινὴ παραμυθία, πλεόντων παννύχισμα, ὁδευόντων παρηγορία, ἡλίου διαδοχή, οὐράνιος ὁδοιπορία [k], κακούργων ἔχθρα, σημεῖον ἑορτῶν [l], μηνιαῖον ἀνακύκλωμα [m], παλίνδρομος ἀνάμνησις [n].

([k] οὐράνιος ὁδοιπορία cod. Par.; omittit Gud. [l] ἑορτῶν cod. Parisiensis, ἑόρτιον Gud. [m] μηνιαῖον ἀνακύκλωμα cod. Par.; μηνῶν ἀνακύκλευμα Gud. [n] παλίνδρομος ἀνάμνησις cod. Par.; omittit Gud.)

ζ'. Τί ἐστιν Ἄνθρωπος;

Νοῦς σεσαρκωμένος, πνευματικὸν ἀγγεῖον, αἰσθητικὸν οἴκημα [o], οἰκητήριον ὀλιγοχρόνιον, ἐπίπονος ψυχή, τύχης παίγνιον, φάντασμα χρόνου [p], ὠστεωμένον ὄργανον [q], κατάσκοπος βίου, φωτὸς ἀποστάτης, γῆς ἀπαίτημα [r].

([o] οἴκημα cod. Par.; χορήγημα Gud. [p] φάντασμα χρόνου cod. Gud.; φρόντισμα χρόνου Paris. [q] ὠστεωμένον ὄργανον cod. Par.; omittit Gud. [r] γῆς ἀπαίτημα cod. Paris.; utrumque vocabulum desideratur in libro Gudiano, ubi superioribus hæc annectuntur: ἀπαράμονον ἀγαθόν, ζωῆς δαπάνημα, φυγὰς βίου, αἰώνιος νεκρός.)

η'. Τί ἐστι Γυνή;

Ἀνδρὸς ἐπιθυμία [a], συνεστιώμενον [b] θηρίον [c], συγκοιμωμένη λέαινα, συντηρουμένη δράκαινα [d], ἱματισμένη [e] ἔχιδνα, αὐθαίρετος [f] μάχη, πολυτελὴς πόλεμος, καθημερινὴ ζημία, ἀνθρωποποιὸν ὑπούργημα [g], ζῷον πονηρόν, ἀναγκαῖον κακόν [h].

([a] ἐπιθύμιον cod. Par.; ἀθυμία Gud.; scripsi ἐπιθυμία. [b] συνεστιώμενον cod. Par.; συνεστιόμενον Gud. [c] Addit liber Gudianus συνεγειρομένη μέριμνα, συμπλεκομένη ἀσέλγεια. [d] συντηρουμένη δράκαινα cod. Par.; omittit Gud. [e] ἱματισμένη cod. Par.; αἱματισμένη Gud. [f] αὐθαίρετος cod. Par.; αὐθέρετος Gud. [g] ἀνθρωποποιὸν ὑπούργημα cod. Par.; omittit Gud. [h] Adjicit liber Gudianus: ἐννεαπνεύμονος ζάλη, ἰοβόλος ἀσπίς, συγκοιμωμένη ἀκρασία, οἰκίας χειμών, ἀνδρὸς ἀκρατοῦς ναυάγιον, μοιχῶν κατασκευή, ἱκανὸν φορτίον.)

Ἄλλως.

Σεκοῦνδος ὁ σοφὸς ἐρωτηθείς, τί ἐστι γυνή; εἶπεν· ἀνδρὸς ναυάγιον, οἴκου ζάλη, ἀμεριμνίας ἐμπόδιον, βίου ἅλωσις, καθημερινὴ ζημία, αὐθαίρετος μάχη, πολυτελὴς πόλεμος, συνεστιώμενον [l] θηρίον, συγκαθημένη μέριμνα, συμπλεκομένη λέαινα, κεκοσμημένη Σκύλλα, ζῷον πονηρόν, ἀναγκαῖον κακόν.

(Antonius Meliss. Serm. περὶ γυναικῶν p. 605 ed. Gesner. Cf. Lambec. Comment. de codd. MSS. Bibl. Vindobon. VII p. 270. [l] συνεστιώμενον posui pro membranarum scriptura συνεσθιόμενον.)

θ'. Τί ἐστι Πλοῦτος;

Χρυσοῦν φορτίον [k], ἡδονῶν ὑπηρέτης, ἐπιβουλευό-

---

productio, æternus numerus, speculum naturale, sollicitudo aeria.

5. Quid est Sol?

Oculus cœlestis, noctis adversarius, æthereus circuitus, mundi index, flamma sincera, frugum fomentum, radius inexstinguibilis, fax semper suppetens, viator cœlestis, lumen nunquam occidens, ornamentum diei.

6. Quid est Luna?

Cœli purpura, solatium nocturnum, navigantium pervigilium, peregrinantium consolatio, solis vicaria, iter cœleste, facinorosorum inimica, signum festorum, menstrua circumactio, retrograda recordatio.

7. Quid est Homo?

Mens induta carne, vas spiritale, sensile domicilium, breve habitaculum, anima laboris patiens, fortunæ ludibrium, vana temporis imago, instrumentum osseum, vitæ explorator, lucis desertor, terræ postulatum.

8. Quid est Mulier?

Viri desiderium, bellua conviva, leæna lecti consors, dracæna custodita, vipera vestita, pugna voluntaria, bellum sumptuosum, damnum quotidianum, hominum procreandorum adjumentum, animal malitiosum, malum necessarium.

Aliter.

Secundus ille sapiens, quid esset mulier, interrogatus, respondit: Viri naufragium, domus tempestas, securitatis impedimentum, vitæ captivitas, damnum quotidianum, pugna voluntaria, bellum sumptuosum, bellua conviva, socia sollicitudo, leæna concubans, exornata Scylla, animal malitiosum, malum necessarium.

9. Quid sunt Divitiæ?

Sarcina aurea, voluptatum ministræ, res insidiis obnoxia, injucunda delectatio, invidia domestica, speratus timor, studium quotidianum, res inconstans, amabile in-

μενον πρᾶγμα, ἀπόλαυσις ἀνεύφραντος [l], φθόνος συνεστιώμενος, φόβος ἐλπιζόμενος [m], καθημερινὴ μελέτη, [n], εὐμετάπτωτον πρᾶγμα, φιλούμενον ἀτύχημα, περιπόθητον ταλαιπώρημα, ὑψηλὸν κτῆμα [o], ἀργυρικὸν σύνθεμα, περιερχόμενον εὐτύχημα.

([k] Χρυσοῦν φορτίον cod. Par.; χρυσοῦ φορτίον Gud [l] ἀνεύφραντος cod. Gud.; ἀνέκφραστος Par. [m] φόβος ἐλπιζόμενος cod. Par.; omittit Gudianus. [n] καθημερινὴ μελέτη cod. Par; omittit cum sequentibus Gudianus hæc pro iis substituens : φίλος ἐλπιζόμενος, ἀπλήρωτος ἐπιθυμία, ἀόρατος ἐπιθυμία. [o] στόμα cod. Gud., quod exprimit Vincentius Bellovacensis vertens *os excelsum*; πῶμα cod. Par. Sensus flagitat κτῆμα quod reposui.)

ι'. Τί ἐστι Πενία;

Μισούμενον ἀγαθόν, ὑγιείας μήτηρ, ἡδονῶν ἐμποδισμός [p], ἀμέριμνος διατριβή [q], δυσαπόσπαστον κτῆμα, ἐπινοιῶν διδάσκαλος, σοφίας εὑρέτις [r], ἄφθονον πρᾶγμα, ἀσκόπευτος οὐσία, ἀζημίωτος ἐμπορία, ἀψήφιστος οὐσία.

([p] ἐμποδισμός cod. Par.; ἐμπόδιον Gud. [q] διατριβή cod. Par.; διατριχή Gud. [r] εὑρετής cod. Gud.; ἀνεύρησις Par. Scripsi εὑρέτις. Reliqua exhibuimus ut in cod. Paris. leguntur. Nam Gudianus habet : φθόνου ἐμπορία, ἀζήμιος πραγματία, ἀσυκοφάντητον κτῆμα, ἄδηλος ἀτυχία, ἀμέριμνος εὐτυχία.)

ια'. Τί ἐστι Φίλος;

Ζητούμενον ὄνομα, ἄνθρωπος ἀφανής, δυσεύρετον [a] κτῆμα, καταφυγὴ δυστυχίας, ἀπορίας παραμύθιον [b], ἄκος [c] ταλαιπωρίας, κατάσκοπος βίου [d], ἄνθρωπος ἀκατάληπτος, ἀνυπόστατον κειμήλιον [e], ἀκατάληκτος εὐτυχία [f].

([a] δυσεύρετον posui pro membranarum scriptura δυσεύρητον. [b] ἀπορίας παραμύθιον cod. Par.; ἀπορία τῶν παραμυθίων Gud. [c] ἄκος cod. Par.; κατάσκοπος Gud. [d] κατάσκοπος βίου, ἄνθρωπος ἀκατάληπτος cod. Par.; omittit Gud. [e] ἀνυπόστατον κειμήλιον cod. Paris.; ἀνυπόκτατον κειμήλιον· Gud. [f] ἀκατάληκτος εὐτυχία cod. Paris.; ἀκατάληπτος ἐπιτυχία Gud.)

ιβ'. Τί ἐστι Γῆρας;

Πλήρωσις ἡμερῶν [g], ὑγιαίνουσα νόσος, ζῶν θάνατος, προσδοκωμένη μέριμνα, φόβος ἐλπιζόμενος [h], πολυχρόνιον γέλασμα, ἄτονος φρόνησις, ἔμπνους νεκρός, Ἀφροδίτης ἀλλότριον [i], θάνατος προσδοκώμενος [k], νεκρὸς κινούμενος.

([g] πλήρωσις ἡμερῶν cod. Par.; εὐεκτὲς κακόν Gud. [h] φόβος ἐλπιζόμενος cod. Par.; omittit Gud. [i] ἀλλότριον cod. Par.; ἀλλότριος Gud. [k] προσδοκώμενος cod. Par.; προσδοκούμενος Gud.)

ιγ'. Τί ἐστιν Ὕπνος;

Καμάτων ἀνάπαυσις, ἰατρῶν κατόρθωμα, δεδεμένων λύσις, ἀγρυπνούντων σοφία, νοσούντων εὐχή, θανάτου εἰκών, ταλαιπωρούντων παραμυθία [l], πάσης πνοῆς ἡσυχία, πλουσίων ἐπιτήδευμα, πενήτων ἐπιθυμία [m], καθημερινὴ μελέτη.

([l] παραμυθία cod. Par.; ἐπιθυμία Gud. [m] ἐπιθυμία reposui pro codicum lectione ἀδολεσχία.)

ιδ'. Τί ἐστι Κάλλος;

Φυσικὴ ζωγραφία, ἰδιόπλαστον ἀγαθόν, ὀλιγοχρόνιον εὐτύχημα, εὐπαράλλακτον κτῆμα [n], ἔμπνους πόρνευσις [o], ἀνδρὸς ἀσελγοῦς [p] ναυάγιον, ἀπαράμονον ἀγαθόν [q], σεσαρκωμένη εὐτυχία [a], ἡδονῶν ὑπηρεσία, ἄνθος μαραινόμενον, ἀσύγκτητον πρᾶγμα [b], ἀνθρώπων παραμυθία [c].

([n] εὐπαράλλακτον κτῆμα cod. Par.; ἀπαράμονον κτῆμα Gud. [o] ἔμπνους πόρνευσις cod. Par.; omittit Gud. [p] ἀσελγοῦς cod. Par.; εὐσεβοῦς Gud. [q] ἀπαράμονον ἀγαθόν cod. Par.; omittit Gud. [a] εὐτυχία cod. Par.; ἐπιτυχία Gud. [b] ἀσύγκτητον πρᾶγμα cod. Par.; ἀσύνθετος πραγματεία. [c] παραμυθία cod. Par.; ἐπιθυμία Gud.)

fortunium, desiderata ærumna, possessio excelsa, signum argenteum, erratica felicitas.

10. Quid est Paupertas?

Bonum invisum, sanitatis mater, voluptatum impedimentum, vita curis vacua, tuta possessio, commentorum magistra, sapientiæ inventrix, res invidia carens, opes exploratoribus inaccessæ, mercatura indemnis, divitiæ ad calculos non vocandæ.

11. Quid est Amicus?

Desiderabile nomen, homo nusquam comparens, possessio inventu difficilis, infelicitatis refugium, angustiarum solatium, miseriarum medicina, vitæ speculator, homo incomprehensibilis, thesaurus nusquam reperiendus, non interrupta felicitas.

12. Quid est Senectus?

Plenitudo dierum, sanus morbus, viva mors, cura exspectata, speratus timor, annosum deridiculum, enervis prudentia, cadaver spirans, Veneris odium, mors exspectata, mobile cadaver.

13. Quid est Somnus?

Laborum requies, remediorum a medentibus adhibitorum effectus, vinctorum solutio, insomniosorum sapientia, ægrotantium votum, mortis imago, afflictorum solatium, universi spiritus quies, divitum studium, pauperum desiderium, quotidiana meditatio.

14. Quid est Pulchritudo?

Nativa pictura, bonum inaffectatum, brevis felicitas, mutabilis possessio, spirans lenocinium, hominis libidinosi naufragium, bonum instabile, corporea felicitas, voluptatum ministra, flos marcidus, res communiter cum alio non parabilis, hominum solatium.

ιε'. Τί ἐστι Γῆ;

Οὐρανοῦ βάσις [d], ἀπύθμενον θεώρημα [e], ἀεροφυὲς ῥίζωμα [f], γυμνάσιον ζωῆς, σελήνης παννύχισμα, ἀσύνοπτον θεώρημα, ὄμβρων τιθήνη, καρπῶν μήτηρ [g], ᾅδου καλυπτήρ, αἰώνιον φύλαγμα, πολυδιοίκητον χώρημα [h], γέννα καὶ ἀποδοχὴ πάντων [i].

([d] οὐρανοῦ βάσις cod. Par.; οὐράνιος βάσις Gud. [e] ἀπύθμενον θεώρημα cod. Par.; omittit Gud. [f] ἀεροφυὲς ῥίζωμα cod. Par.; omittit Gud. [g] καρπῶν μήτηρ cod. Par.; φύλαγμα καὶ μήτηρ Gud. [h] χώρημα cod. Par.; χορήγημα Gud. [i] Addit liber Gudianus : κόσμου μεσότης, ἀκατάληπτος περιοχή, σύστημα θεόκτιστον.)

ις'. Τί ἐστι Γεωργός;

Καρπῶν [k] ὑπηρέτης, ὄμβρων διαιτητής, ἐρημίας [kk] συνήθης, ἀθάλασσος ἔμπορος [l], ὕλης ἀνταγωνιστής, τροφῆς [m] ὑπουργός, πεδίων ἀριστευτής [n], γῆς ἰατρός, δένδρων φυτουργός, ὀρνέων [o] παιδαγωγός, κακοπαθείας συνήθεια [p].

([k] καρπῶν cod. Par.; κόπων Gud. [kk] ἐρημίας codices; rectius ἐρημία. Sed nolui quidquam hic mutare. [l] ἀθάλασσος ἔμπορος edidi pro membranæ Par. scriptura ἀθαλασσίας ἔμπορος. Nam in libro Gudiano hæc verba desiderantur. [m] τροφῆς cod. Paris ; τρυφῆς Gud. [n] πεδίων ἀριστευτής cod. Paris.; omittit Gud. [o] ὀρνέων cod. Par.; ὀρέων Gud. [p] κακοπαθείας συνήθεια cod. Par.; ἐρημίας σύνοικος Gud.)

ιζ'. Τί ἐστι Πλοῖον [q];

Ἐπίσαλον πρᾶγμα [r], ἀθεμελίωτος οἰκία [s], ἡρμοσμένος [t] τάφος, κυβικὴ σανίς [u], ἀνέμων παίγνιον [x], ἀνιπταμένη [y] φυλακή, ἐπιπλέων [z] μόρος, πελάγιος ἵππος [aa], ἀνεῳγμένη γαλεάγρα [bb], ἐγκύματος ὁδοιπορία [cc].

([q] Sequitur in exemplo Gudiano locus spurius posteriorem ætatem redolens : Τί ἐστι Μοναχός; Θάνατος πωλούμενος, ἀγωνοθέτου θυμός, γαστριμαργίας ἐπιθυμία, τύχης παράπτωμα, ὀξὺς θάνατος, περισαλπιζομένη μοῖρα, παραμένων μόρος, κακὴ νίκη. [r] ἐπίσαλον πρᾶγμα cod. Par.; ἐπίσαλος πρᾶξις Gud. [s] ἀθεμελίωτος οἰκία cod. Par.; ἀθεμελίωτον οἴκημα Gud. [t] ἡρμοσμένος cod. Paris.; εἱρμωσμένος Gud. [u] κυβικὴ σανίς cod. Par.; omittit Gud. [x] ἀνέμων παίγνιον cod. Gud.; ἀνέμων ὁδοιπορία membrana Paris. [y] ἀνιπταμένη cod. Par; περιπταμένη Gud. [z] ἐπιπλέων cod. Par.; ἐπιπλεόντων Gud. [aa] πελάγιος ἵππος cod. Paris.; omittit Gud. [bb] ἀνεῳγμένη γαλεάγρα posui pro libri Parisiensis scriptura ἠνεῳγμένη γαλεάγρα, quæ verba in exemplo Gudiano desunt. [cc] ἐγκύματος ὁδοιπορία cod. Par; omittit Gud., in quo hæc adjiciuntur : συνδεδεμένη μοῖρα, ὄρνεον ξύλινον, ἄδηλος σωτηρία.)

ιη'. Τί ἐστι Ναύτης;

Κυμάτων ὁδοιπόρος, θαλάσσης βερηδάριος [a], ἀνέμων σύνοδος [b], οἰκουμένης ξένος, γῆς ἀποστάτης, χειμῶνος ἀνταγωνιστής, διαπόντιος μονόμαχος [c], ἀνέμων ἰχνευτής, ἄδηλος ἐπὶ σωτηρίᾳ, θανάτου γείτων, θαλάσσης ἐραστής.

([a] θαλάσσης βερηδάριος cod. Paris.; θαλάσσιος βεριδάρης Gud. [b] ἀνέμων σύνοδος cod. Paris.; ἀμμων ἰχνευτής Gud. [c] διαπόντιος μονόμαχος cod. Paris.; ἀπόντιος μόναχος Gud.)

ιθ'. Τί ἐστι Θάνατος;

Αἰώνιος ὕπνος, ἀνάλυσις σώματος [d], ταλαιπωρούντων ἐπιθυμία, πνεύματος ἀπόστασις [e], φυγὴ καὶ απόκτησις βίου [f], πλουσίων φόβος, πενήτων παραμυθία [g], ἀνάλυσις [h] μελῶν, ὕπνου πατήρ, ἀληθινὴ προθεσμία, ἀπόλυσις πάντων.

([d] ἀνάλυσις σώματος cod. Paris.; διάλυσις σωμάτων Gud. [e] πνεύματος ἀπόστασις cod. Paris.; πνεύματος ἀποστάτης Gud. [f] φυγὴ καὶ ἀπόκτησις βίου cod. Paris.; φυγὴ ἀκτησία βίου Gud. [g] παραμυθία reposui pro codicum lectionibus e quibus Parisiensis habet παραλαλία, Gudianus ἐπιθυμία. [h] ἀνάλυσις cod. Paris.; λύσις Gud.)

---

15. Quid est Terra?

Cœli basis, spectaculum nullo fundo stabilitum, radix aeria, vitæ gymnasium, lunæ pervigilium, spectaculum oculis inaccessum, imbrium nutrix, frugum mater, orci operculum, custodia æterna, tractus a multis administratus, omnium progenies et receptaculum.

16. Quid est Agricola?

Frugum minister, imbrium arbiter, solitudinis amicus, negotiator maris expers, silvæ adversarius, victûs adjutor, camporum correclor, terræ emendator, arborum sator, avium magister, ærumnæ consuetudo.

17. Quid est Navigium?

Res fluctuans, domus fundamento carens, sepulcrum paratum, tabula quadrata, ventorum ludibrium, volitans carcer, mors natans, equus marinus, muscipula aperta, iter fluctivagum.

18. Quid est Nauta?

Fluctuum viator, veredarius maris, ventorum comes, orbis hospes, terræ desertor, tempestatis adversarius, maritimus gladiator, indagator ventorum, salutis incertus, mortis vicinus, maris amator.

19. Quid est Mors?

Somnus æternus, dissolutio corporis, afflictorum desiderium, discessus spiritûs, fuga et jactura vitæ, divitum timor, pauperum solatium, dissolutio membrorum, somni pater, verus dies fatalis, solutio omnium.

SECUNDI PHILOSOPHI

RESPONSA AD INTERROGATIONES ADRIANI.

(Ex Vincentii Bellovacensis Speculo hist. Lib. X, cap. 71.)

Quid est Mundus? Incessabilis circuitus, spectabilis supellex, multiformis formatio, æternus tenor, circuitus sine errore.

Quid est Oceanus? Mundi amplexus, terminus coronatus (*al.* coarctatus), hospitium fluviorum, fons imbrium.

Quid est Deus? Immortalis mens, incontemplabilis celsitudo, forma multiformis, incogitabilis inquisitio, insopitus oculus, omnia continens, lux, bonum, et quod est hujusmodi.

Quid est Sol? Cœli oculus, caloris circuitus, splendor sine occasu, diei ornatus, horarum distributor.

Quid est Luna? Cœli purpura, solis æmula, malefactorum inimica, solamen iter agentium, directio navigantium, signum solemnitatum, larga roris (*add.* infusio), præsagium tempestatum.

Quid est Terra? Basis cœli, meditullium mundi, fructuum custos et mater, operculum inferni, mater nascentium, nutrix viventium, devoratrix omnium, cellarium vitæ.

Quid est Homo? Mens incarnata, phantasma temporis, speculator vitæ, mancipium mortis, transiens viator, loci hospes, anima laboriosa, parvi temporis habitaculum.

Quid est Pulchritudo? Flos marcidus, carnalis felicitas, humana concupiscentia.

Quid est Mulier? Hominis confusio, insaturabilis bestia, continua sollicitudo, indesinens pugna, viri incontinentis naufragium, humanum mancipium.

Quid est Amicus? Desiderabile nomen, homo vix apparens, infelicitatis refugium, indesinens felicitas.

Quid Divitiæ? Auri pondus, curarum ministræ, delectatio injucunda, insatiabilis invidia, desiderium inexplebile, os excelsum, invisa concupiscentia.

Quid est Paupertas? Odibile bonum, sanitatis mater, curarum remotio, sapientiæ repertrix, negotium sine damno, possessio absque calumnia, sine sollicitudine felicitas.

Quid Senectus? Optatum malum, mors viventium, incolumis languor, spirans mors.

Quid Somnus? Mortis imago, laborum quies, infirmantium votum, miserorum desiderium.

Quid est Vita? Beatorum lætitia, miserorum mœstitia, exspectatio mortis.

Quid est Mors? Æternus somnus, divitum pavor, pauperum desiderium, inevitabilis eventus, latro hominis, fuga vitæ, resolutio omnium.

Quid est Verbum? Proditor animi.

Quid est Corpus? Domicilium animæ.

Quid est Barba? Sexus discretio.

Quid est Cerebrum? Custos memoriæ.

Quid est Frons? Imago animi.

Quid Oculi? Duces corporis, vasa luminis.

Quid est Cor? Receptaculum vitæ.

Quid Jecur? Custodia caloris.

Quid Fel? Suscitatio iracundiæ.

Quid Splen? Risus et lætitiæ capax.

Quid est Stomachus? Ciborum coquus.

Quid Ossa? Robur corporis.

Quid Pedes? Mobile fundamentum.

Quid est Ventus? Aeris perturbatio, mobilitas aquarum, siccitas terræ.

Quid sunt Flumina? Cursus indeficiens, refectio solis, irrigatio terræ.

Quid Amicitia? Æqualitas animorum.

Quid Fides? Ignotæ rei mira certitudo.

Quid est, quod hominem lassum fieri non sinit? Lucrum.

EJUSDEM SENTENTIÆ.

Mundus, est incessabilis circulus, cunctorum via et transitus.

1. Τὼς δὲ νόμως οὐκ ἐν οἰκήμασι καὶ θυρώμασιν ἐνῆμεν δεῖ, ἀλλ' ἐν τοῖς ἠθέεσι τῶν πολιτευομένων. Τίς ὦν ἀρχὰ πολιτείας ἁπάσας; νέων τροφά. Οὐ γὰρ μήποκα τὸν καρπὸν ὀνασιφόρον ἄμπελοι γεννήσοντι, μὴ φυτοτροφηθεῖσαι καλῶς· οὐδ' ἵπποι μήποκα γένωνται καλοὶ πωλοτροφίαν παρέντεσι. Τὰ γὰρ νεόπηκτα τῶν σταιτῶν [a] μάλιστα τῷ ἁψαμένῳ καὶ πλατιάζοντι ὅμοιον τὸ σχῆμα λαμβάνει. Τοῖς ἀνθρώποις περὶ μὲν ἀμπέλως πῶς χρὴ τμηθῆμέν τε καὶ ἐποφθῆμεν πεφρονημένως ἔχει, τὰ δ' ἐπὶ τῶν ἀνθρώπων ἤθεα ἀμελέως τε καὶ εἰκαίως· καί τοι οὐχ ἁ ἄμπελος οὐδ' ὁ οἶνος τᾶς πολιτείας ἁγεμὼν ἀλλ' ὁ ἄνθρωπος καὶ ἁ ψυχὰ τῶ ἀνθρώπω. Καὶ τῷ μὲν φυτῷ πλήονος εἰώθαμες ἄξιον παρακαθιστάμεν, καὶ τὸν ἐπιμελησόμενον, οὐ μῆον ἢ δύο μνᾶν ἄξιον, τοῖς δὲ νέοις Ἰλλυριὸν ἢ Θρᾶκα οὐδενὸς ἄξιον. Οἱ δ' ἐξ ἀρχᾶς νομοθέται τὸ γένος τῶν ἀνθρώπων στάσιμον οὐκ ἐδύναντο [b] ποιῆσαι, κινάσι δὲ μονᾶς [c] καὶ τάξιος κεκοινωνηκυῖαν παρακατέζευξαν ὄρχησιν καὶ ῥυθμόν, ἔτι δὲ παιγνιὰς τὰς μὲν ἐς κοινωνίαν προτρεπομένας τὰς δ' ἐς ἀλάθειαν καὶ ὀξύτατα ψυχᾶς· ὁμοίως δὲ καὶ τοῖς ὑπὸ μέθας ἢ πλασμονᾶς φαῦλόν τι καταπράξασιν τὸν αὐλὸν καὶ τὰν ἁρμονίαν ἐς τὰς συνωσίας [d] κατέταξαν, ὅπως πεπαινόμενον τὸ ἦθος δύναιτο κατακοσμεῖσθαι.

(Stobæus Flor. XLIII, 95 Διωτογένους Πυθαγορείου ἐκ τοῦ περὶ ὁσιότητος. [a] scripsi νεόπηκτα τῶν σταιτῶν pro membranarum lectione νεόχρηστα τῶν σιτίων. [b] posui οὐκ ἐδύναντο ποιῆσαι rejecta codicum scriptura οὐκ ἂν δύναιντο ποιῆσαι. [c] κινάσι δὲ μονᾶς Meinekii conjectura est; codices habent κινάσιος δὲ μόνας. [d] συνωσίας Meinekius legi voluit; συνέσιας vetera exemplaria præbent.)

2. Βασιλεύς κ' εἴη ὁ δικαιότατος, δικαιότατος δὲ ὁ νομιμώτατος. Ἄνευ μὲν γὰρ δικαιοσύνας οὐδεὶς ἂν εἴη βασιλεύς, ἄνευ δὲ νόμω δικαιοσύνα. Τὸ μὲν γὰρ δίκαιον ἐν τῷ νόμῳ ἐντί, ὁ δέ γε νόμος αἴτιος τῶ δικαίω, ὁ δὲ βασιλεὺς ἤτοι νόμος ἔμψυχός ἐντι ἢ νόμιμος ἄρχων· διὰ ταῦτ' ὦν ὁ δικαιότατος καὶ νομιμώτατος. Ἔργα δὲ βασιλέως τρία τό τε στραταγὲν καὶ δικασπολὲν καὶ θεραπεύεν θεώς· στραταγὲν μὲν ὦν καλῶς δυνασεῖται πολεμὲν καλῶς ἐπισταθείς, δικασπολὲν δὲ καὶ διακούεν πάντων τῶν ὑπ' αὐτὸν φύσιν δικαίω καὶ νόμω καλῶς ἐκμαθών, θεραπεύεν δὲ τὼς θεὼς εὐσεβέως καὶ ὁσίως φύσιν θεῶ καὶ ἀρετὰν ἐκλογισάμενος. Ὥστε ἀνάγκα τὸν τέλειον βασιλέα στραταγόν τε ἀγαθὸν ἦμεν καὶ δικαστὰν καὶ ἱρέα· ταῦτα γὰρ καὶ ἀκόλουθα καὶ πρέποντά ἐντι βασιλέως ὑπεροχᾷ τε καὶ ἀρετᾷ. Κυβερνάτα μὲν γὰρ ἔργον ἐντὶ τὰν ναῦν σώζεν, ἀνιόχω δὲ τὸ ἅρμα, ἰατρῶ δὲ τὼς νοσίοντας, βασιλέως δὲ καὶ στραταγῶ τὼς ἐν πολέμῳ κινδυνεύοντας. Ὧ γὰρ ἕκαστος ἁγεμών ἐντι συστάματος, τούτω καὶ ἐπιστάτας καὶ δαμιουργός. Καὶ μὰν τό τε δικασπολὲν καὶ διανέμεν τὸ δίκαιον, ξυνᾷ μὲν καθόλω ἰδίᾳ δὲ καθ' ἕκαστον, οἰκῆον βασιλέως ὥσπερ θεῶ ἐν τῷ κόσμῳ ὧ ἁγεμών τε καὶ προστάτας ἐντί, ξυνᾷ μὲν τῷ ποτὶ μίαν ἀρχάν τε καὶ ἁγεμονίαν τὸ ὅλον ξυναρ-

---

1. Leges autem non domibus et ostiis, sed civium ingeniis inclusas esse oportet. Quod igitur est universæ reipublicæ fundamentum? Adolescentium educatio. Neque enim unquam utilem fructum vites ferent, nisi bene ac diligenter excultæ, neque equi unquam egregii fient pullorum educationem negligentibus. Recentes enim massæ triticeæ rei tangenti potissimum et percutienti simillimam speciem accipiunt. Homines quidem quemadmodum vites putari et curari oporteat animadvertunt, eoque studia sua conferunt, ingeniorum vero humanorum cultus negligitur ac temere tractatur : quamvis neque vitis neque vinum civitatem regant, sed homo et hominis animus. Atqui plantis quidem digniorem præponere solemus, et eum qui earum curam geret non minoris quam duabus minis conductum, pueris vero Illyrium quempiam vel Thracem nullius pretii hominem. Porro primi legum latores stabile hominum genus efficere non poterant, sed motui quietis et ordinis participem adjunxerunt saltationem et rhythmum, insuper ludos qui partim ad communionem excitarent, partim ad verum cognoscendum et acuendum ingenium conferrent : similiter etiam iis, qui ebrietate et satietate inducti aliquid mali commisissent, tibiam et harmoniam ad tuendos hominum cœtus accommodarunt, ut mitigata ingenia ad honestatem conformari possent.

2. Rex ille fuerit qui justissimus est, justissimus autem qui legum observantissimus. Nam sine justitia rex esse nullus possit, neque sine lege justitia. Justum enim in lege cernitur, quæ justi est causa, rex autem vel lex est animata vel legitimus princeps ideoque justissimus et legum observantissimus. Sunt autem tria regis officia, exercitum ducere, judicia administrare et deos colere : atque exercitum quidem recte ducere poterit, si bellum gerere rite sciverit, judicia vero administrare civesque suos omnes audire, si juris et legis naturam probe didicerit, deos denique pie et sancte colere, si dei naturam et

μόσθαι, καθ' ἕκαστον δὲ τῷ καὶ τὰ κατὰ μέρος ποττὰν αὐτὰν ἁρμονίαν τε καὶ ἁγεμονίαν συναρμόζεσθαι. Ἔτι δ' ἐν τῷ ποιὲν εὖ καὶ εὐεργετὲν τὼς ὑποτεταγμένως ὁ βασιλεύς ἐντι· ταῦτα δ' οὐκ ἄνευ δικαιοσύνας καὶ νόμω. Τό γε μὰν τρίτον, λέγω δὲ τὸ θεραπεύεν τὼς θεώς, βασιλέως ἀντάξιον. Δεῖ γὰρ τὸ ἄριστον ὑπὸ τῶ ἀρίστω τιμᾶσθαι, καὶ τὸ ἁγεμονέον ὑπὸ τῶ ἁγεμονέοντος. Τῶν μὲν ὦν φύσι τιμιωτάτων ἄριστον ὁ θεός, τῶν δὲ περὶ γᾶν καὶ τὼς ἀνθρώπως ὁ βασιλεύς. Ἔχει δὲ καὶ ὡς θεὸς ποτὶ κόσμον βασιλεὺς ποτὶ πόλιν, καὶ ὡς πόλις ποτὶ κόσμον βασιλεὺς ποτὶ θεόν. Ἁ μὲν γὰρ πόλις ἐκ πολλῶν καὶ διαφερόντων συναρμοσθεῖσα κόσμω σύνταξιν καὶ ἁρμονίαν μεμίμαται, ὁ δὲ βασιλεὺς ἀρχὰν ἔχων ἀνυπεύθυνον, καὶ αὐτὸς ὢν νόμος ἔμψυχος, θεὸς ἐν ἀνθρώποις παρεσχαμάτισται.

Ὅθεν δεῖ τὸν βασιλέα μὴ νενικῆσθαι ὑφ' ἁδονᾶς ἀλλ' αὐτὸν νικῆν ταύταν, μηδ' ὅμοιον ἦμεν τοῖς πολλοῖς ἀλλὰ ἐπὶ πολλὸν διαφέροντα τούτων, μηδ' ἔργον ἁγεῖσθαι τὰν ἁδονὰν ἀλλὰ μᾶλλον τὰν ἀνδραγαθίαν· ἅμα δὲ καὶ πρέπον τὸν ἑτέρων ἄρχεν χρῄζοντα τῶν αὐταύτω παθέων πρᾶτον δύνασθαι ἄρχεν. Περί γε μὰν τᾶς πλεονεκτίας ὅδε λόγος· δεῖ γὰρ ἐς τοῦτο πεπᾶσθαι τὰ χρήματα ὥστε φίλως εὐεργετὲν καὶ δεομένως ὑπολαμβάνεν καὶ ἐχθρὼς δὲ μετὰ δίκας ἀμύνεσθαι· ἁδίστα γὰρ ἁ μετ' ἀρετᾶς ἀπόλαυσις τᾶς εὐτυχίας. Ὁ δ' αὐτὸς τρόπος καὶ ἐπὶ τᾶς ὑπεροχᾶς· δεῖ γὰρ καθυπερέχεν τὼς ἄλλως ἀρετᾷ καὶ καττὰυταν ἄξιον κρίνεσθαι τῶ ἄρχεν, ἀλλὰ μὴ καττὸν πλοῦτον ἢ τὰν δύναμιν ἢ τὰν ῥώμαν τὰν τῶν ὅπλων· ὁ μὲν γάρ τι κοινὸν ἐντι καὶ τῶν τυχόντων, ὃ δὲ κοινὸν καὶ τῶν ἀλόγων ζώων, ὃ δὲ κοινὸν καὶ τῶν τυράννων, ὃ δὲ μόνον ἴδιον τῶν ἀγαθῶν ἀνθρώπων. Ὥστε ὅστις βασιλεὺς σώφρων μέν ἐντι περὶ τὰς ἁδονάς, κοινωνατικὸς δὲ περὶ τὰ χρήματα, φρόνιμος δὲ καὶ δεινὸς περὶ τὰν ἀρετάν, οὗτός κ' εἴη καττὰν ἀλάθηαν βασιλεύς. Ἔχει δὲ καὶ ὁ δᾶμος τῶν μερέων τᾶς τῶ ἀνθρώπω ψυχᾶς τὰν ἀναλογίαν ταύταν τῶν ἀγαθῶν καὶ τῶν κακῶν· ἁ μὲν γὰρ πλεονεκτία γίνεται περὶ τὸ ἁγεόμενον μέρος τᾶς ψυχᾶς, λογικὰ γὰρ ἁ ἐπιθυμία· ἁ δὲ φιλοτιμία καὶ θηριότας περὶ τὸ θυμοειδές, τοῦτο γὰρ τὸ ζέον καὶ δυναμικὸν μέρος τᾶς ψυχᾶς· ἁ δὲ φιλαδονία περὶ τὸ ἐπιθυματικόν, τοῦτο γὰρ τὸ θῆλυ καὶ ὑγρὸν μέρος τᾶς ψυχᾶς· ἁ δέ γε ἀδικία τελειοτάτα κακία καὶ σύνθετος ἐᾶσα περὶ ὅλαν γίνεται τὰν ψυχάν. Ὅθεν ὡς λύραν καὶ πόλιν εὐνομευμέναν δεῖ συναρμόττεσθαι βασιλέα ὅρον δικαιότατον καὶ νόμω τάξιν ἐν αὐτῷ πρᾶτον καταστασάμενον, εἰδότα διότι τῶ πλάθεος, ᾧ δέδωκεν ὁ θεὸς αὐτῷ τὰν ἁγεμονίαν, ἁ συναρμογὰ ποτ' αὐτὸν ὀφείλει συναρμοσθῆμεν. Ποτὶ δὲ τοῖς ἀγορευμένοις δεῖ καὶ θέσιας καὶ ἕξιας ἐπιπρεπέας ἐπιταδεύεν τὸν ἀγαθὸν βασιλέα, πολιτικῶς αὐτὸν πλάσσοντα καὶ πραγματωδέως, ὅπως μήτε τραχὺς φαίνηται τοῖς πλάθεσι μήτ' εὐκαταφρόνατος, ἀλλὰ καὶ ἁδὺς καὶ ἀμφιστραφής. Τεύξεται δὲ τούτων, αἴκα πρᾶτον μὲν σεμνὸς ᾖ καὶ ἐκ τῶ ἰδὲν καὶ ἐκ τῶ ἀκοῦσαι καὶ ἐκ τῶ ἄξιος ἐπιφαίνεσθαι τᾶς ἀρχᾶς, δεύτερον δὲ χρηστὸς καὶ ἐκ τᾶς ἐντεύξιος καὶ ἐκ τᾶς ποτιβλέψιος καὶ ἐκ τᾶς εὐεργεσίας, τρίτον δὲ δεινὸς καὶ ἐκ τᾶς μισοπονηρίας καὶ ἐκ τᾶς κολάσιος καὶ ἐκ τᾶς ἐπιταχύσιος καὶ ὅλως ἐκ τᾶς ἐμπειρίας καὶ

---

virtutem secum reputaverit. Quamobrem necesse est perfectum regem et bonum belli ducem esse et judicem et sacerdotem : hæc enim regis excellentiam et virtutem tam comitantur quam ornant. Gubernatoris enim est navem servare, aurigæ currum, medici ægrotos, regis et belli ducis eos qui in bello periclitantur. Cuicunque enim rei aliquis præest, hujus etiam curator et administrator habetur. Atqui judicare causas et dare jus cum generatim omnibus, tum unicuique singulatim regis proprium est ut dei in mundo cujus dux et præses habetur, propterea quod rerum universitas unius imperio et potestati convenit, singulæ autem ejus partes ad eandem harmoniam et idem imperium referuntur. Præterea regis est benefacere civibus eosque demerere idque non sine justitia et legibus. Tertium vero, quod ad deorum cultum spectat, omnino rege dignum est. Decet enim optimum ab optimo et id quod imperat ab imperante honorari. Itaque inter ea quæ natura sunt præstantissima maxime excellit deus, terrenis autem et hominibus rex antecellit. Nempe ut deus ad mundum, ita se rex ad civitatem habet : et ut civitas ad mundum, ita rex ad deum. Civitas enim e multis diversisque conflata mundi structuram et harmoniam imitatur : rex autem imperium habens nemini obnoxium ipseque vivæ legis locum tenens dei instar inter homines est. — Quocirca regem oportet a voluptate non vinci, sed eam vincere, neque similem esse plebi, sed longe ea præstantiorem, neque voluptatem, sed potius fortitudinem officii sui ducere : simul etiam consentaneum putare illum qui alios regere velit primum suas ipsius affectiones temperare posse. Porro de avaritia sic statuendum est. Nam ad eum finem pecuniam possideri oportet, ut amicos beneficiis afficiamus et egentes benigne excipiamus et inimicos jure ulciscamur : quippe felicitatis fructus cum virtute conjunctus suavissimus est. Eadem autem ratio et in regio fastigio valet : nimirum decet regem cæteros virtute anteire ex eaque dignum imperio judicari, non e divitiis, aut potentia aut armorum vi : namque istæ res partim quibuslibet e vulgo communes sunt, partim brutis animalibus, partim etiam tyrannis, illa vero solis viris bonis peculiaris est. Itaque rex qui circa voluptates temperans, liberalis circa pecunias, prudensque et eximia virtute præditus fuerit, ille revera rex erit. Cæterum et populus eandem virtutum vitiorumque rationem habet quæ inter animi humani partes intercedit : quippe avaritia in principe animi parte accidit, siquidem cupiditas est rationalis : ambitio autem et imma-

τριβᾶς τᾶς περὶ τὸ βασιλεύεν. Ἁ μὲν γὰρ σεμνότας θεόμιμον ὑπάρχοισα πρᾶγμα δύναται θαυμαζόμενον καὶ τιμώμενον αὐτὸν παρέχεσθαι τοῖς πλάθεσιν, ἁ δὲ χρηστότας φιλεύμενον καὶ ἀγαπαζόμενον, ἁ δὲ δεινότας φοβερὸν μὲν καὶ ἀνίκατον ποτὶ πολεμίως, μεγαλόψυχον δὲ καὶ θαρσαλέον ποτὶ φίλως. Δεῖ δὲ τὰν σεμνότατα καθεστάσθαι περὶ αὐτὸν μηδὲν ταπεινὸν ἐπιταδεύοντα μηδὲ τῶν πολλῶν ἀντάξιον, ἀλλὰ τῶν θαυμαινομένων καὶ τῶν ἀγεμονίᾳ καὶ σκαπτουχίᾳ ποτιφυέων, ἁμιλλώμενον ἀεὶ μὴ τοῖς μηόνεσι μηδὲ τοῖς ἴσοις, ἀλλὰ τοῖς μεζόνεσι, καὶ καττὸ μέγεθος τᾶς ἀγεμονίας ἁδονὰς ὑπολαμβάνοντα μεγίστας ἦμεν τὰς ἐπὶ τοῖς καλοῖς ἔργοις καὶ μεγάλοις, ἀλλὰ μὴ τὰς ἐπὶ τοῖς ἀπολαύστοις, χωρίζοντα μὲν ἑαυτὸν ἀπὸ τῶν ἀνθρωπίνων παθέων συνεγγίζοντα δὲ τοῖς θεοῖς, οὐδὲ δι' ὑπεραφανίαν ἀλλὰ διὰ μεγαλοφροσύναν καὶ μέγεθος ἀρετᾶς ἀνυπέρβλατον τοιαύταν αὐτῷ ἐπιπρέπηαν καὶ προστασίαν ἀμφιβαλλόμενον καὶ καττὰν ὄψιν καὶ καττὼς λογισμὼς καὶ καττὰ ἐνθυμάματα καὶ καττὸ ἦθος τᾶς ψυχᾶς καὶ καττὰς πράξιας καὶ καττὰν κίνασιν καὶ καττὰν θέσιν τῶ σώματος, ὥστε τὼς ποταυγασμένως αὐτὸν κατακοσμαθῆμεν καταπεπλαγμένως αἰδοῖ καὶ σωφροσύνᾳ τε καὶ διαθέσι τᾷ περὶ τὰν ἐπιπρέπηαν· οὐ γὰρ μῆον αὐλῶ καὶ ἁρμονίας ἁ τῶ ἀγαθῶ βασιλέως ποταύγασις ὀφείλει τρέπεν τὰς ψυχὰς τῶν ποταυγασμένων. Καὶ περὶ μὲν σεμνότατος ἅλις εἰρήσθω· περὶ δὲ χρηστότατος νῦν ὑποθέσθαι πειρασοῦμαι. Χραστὸς γὰρ ἐσσεῖται πᾶς βασιλεὺς τὸ μὲν καθόλω δίκαιός τε ὢν καὶ ἐπιεικὴς καὶ εὐγνώμων. Ἔντι γὰρ ἁ δικαιότας κοινωνίας συναχτικὰ καὶ συνεχτικά, καὶ μόνα γε ὢν πρὸς τὼς πλατίον ἁ τοιαύτα διάθεσις ἅρμοσται τᾶς ψυχᾶς. Ὃν λόγον γὰρ ἔχει ῥυθμὸς ποτὶ κίνασιν καὶ ἁρμονία ποτὶ φωνάν, τοῦτον ἔχει τὸν λόγον δικαιότας ποτὶ κοινωνίαν· κοινὸν γὰρ ἀγαθόν ἐντι καὶ ἀρχόντων καὶ ἀρχομένων, εἴγε δὴ συναρμοστικά ἐντι κοινωνίας πολιτικᾶς. Ἁ δὲ ἐπιείκηα καὶ εὐγνωμοσύνα πάρεδροί τινές ἐντι τᾶς δικαιοσύνας, ἁ μὲν τὸ ἀπότομον τᾶς βλάβας μαλθαίνοισα, ἁ δὲ τοῖς ἐπὶ ποσὸν ἀμπλακίσκουσι συγγνώμας ἀπομερίζοισα. Δεῖ δὲ τὸν ἀγαθὸν βασιλέα βοηθατικόν τε ἦμεν τῶν δεομένων καὶ εὐχάριστον δέ, βοήθηαν δὲ μὴ καθ' ἕνα ποιήσασθαι τρόπον, ἀλλ' ὅπως ἂν δυνατὸν ᾖ· εὐχάριστον δ' ἦμεν δεῖ μὴ ποττὸ μέγεθος ἀποβλέποντα τᾶς τιμᾶς, ἀλλὰ ποττὸν τρόπον καὶ τὰν προαίρεσιν τῶ τιμέοντος· ἀβαρέα δὲ δεῖ ἦμεν ποτὶ πάντας ἀνθρώπως, μάλιστα δὲ ποττὼς μήονας καὶ καταδεεστέρως ταῖς τύχαις· οὗτοι γὰρ ὥσπερ τοὶ νοσίοντες τοῖς σώμασιν οὐδὲν ὑπομένεν δύνανται τῶν βαρέων. Ἔχοντι γὰρ τὰς διαθέσιας

---

nitas in irritabili animi parte, quoniam hæc animi fervorem et robur continet : voluptatis vero amor in parte cupiditatibus affecta quæ est effeminata et mollis animi pars : injustitia denique quum summum vitium sit idque compositum in toto animo nascitur. Quocirca lyræ instar rempublicam bonis legibus temperatam concinnare debet rex, ubi prius in se ipso justissimum terminum et legis ordinem constituerit, sciens populi concinnitatem cujus imperium deus ei commisit, ad ipsum accommodandam esse. Sed si ab his quæ dicta sunt discesseris, oportet bonum regem prætcrea id operam dare, ut in corporis situ et habitu decorem servet, civilis et negotiosi hominis in morem se gerendo, ut neque asper videatur plebi, neque contemtu dignus, sed suavis et facilis. Consequetur autem hæc, si primum quidem fuerit verendus tam aspectu, quam auditu, et dignus apparuerit imperio : deinde benignus in colloquio, vultu et conferendis beneficiis : tum vero severus et formidabilis in improbitatis odio, in pœnis ab ea repetendis atque in agendi celeritate omninoque in civitatis administrandæ scientia et usu. Illa enim veneranda gravitas, res ad deorum imitationem comparata, potest eum admirandum et honorandum plebi exhibere, benignitas vero carum et amabilem, severitas denique terribilem et invictum hostibus, magnanimum autem et fidentem amicis. Oportet autem gravitatem circa regem conspici nihil neque humile neque vulgare molientem, sed admiranda atque imperio et principatui convenientia, nunquam cum minoribus certantem, neque cum æqualibus, sed cum majoribus, et pro magnitudine imperii existimantem eas esse maximas voluptates, quas honesta et magna facinora, non quas deliciæ afferant, separantem quidem se ab humanis perturbationibus, ad deos autem propius accedentem, nec superbia sed animi virtutisque invicta magnitudine tale sibi decus et fastigium comparantem tum visu, tum ratiocinatione, tum cogitationibus, tum animi figura et moribus, tum actionibus, tum corporis motu et gestu nixum, ut qui eum intuentur ornatum accipiant verecundia completi et temperantia et decoris sensu : non enim minus quam tibia et concentus boni regis aspectus intuentium animos in se convertere debet. Et hæc quidem de veneranda illa gravitate dicta sufficiant : de benignitate vero nunc præcipere conabor. Etenim benignus erit quivis rex, in universum quidem, si justus et æquus et clemens fuerit. Est enim justitia vis quædam communionem concilians et continens, et solus certe hic animi affectus aliis hominibus sese accommodat. Quæ enim est ratio rhythmi ad motum et harmoniæ ad vocem, eandem habet justitia ad communionem : nam commune est imperantium et subjectorum bonum, quandoquidem civilem communionem colligat. Cæterum æquitas et clementia quasi comites quædam sunt justitiæ, illa quidem noxæ duritiam molliens, hæc vero iis qui aliquatenus delinquunt veniam dans. Bonum autem regem decet egentibus auxiliari et gratum esse, atque auxiliari quidem non una ratione, sed quocunque modo fieri poterit : gratum vero esse oportet non inspecta honoris magnitudine, sed ingenio et voluntate honorantis : molestiam denique

τοιαύτας καὶ οἱ θεοὶ καὶ μάλιστα ὁ κρατέων πάντων Ζεύς· καὶ γὰρ οὗτος σεμνὸς μέν ἐντι καὶ τίμιος διά τε τὰν ὑπεροχὰν καὶ τὸ μέγεθος τᾶς ἀρετᾶς, χραστὸς δὲ διὰ τὸ εὐεργετικός τε ἦμεν καὶ ἀγαθοδότας, ὅκως δὴ καὶ λέγεται ὑπὸ τῶ Ἰωνικῶ ποιητᾶ ὥς κ' εἴη « πατὴρ ἀνδρῶν τε θεῶν τε· » δεινὸς δὲ διὰ τὸ κολάζεν τὼς ἀδικέοντας καὶ κρατὲν καὶ κυριεύεν πάντων· ἔχει δὲ καὶ τὸν κεραυνὸν μετὰ χεῖρας, σύμβολον τᾶς δεινότατος. Ἐπὶ πᾶσι δὲ τούτοις μναμονεύεν δεῖ ὅτι θεόμιμόν ἐντι πρᾶγμα βασιλήα.

(Stobæus Flor. XLVIII, 61-62 Διωτογένους Πυθαγορείου ἐκ τοῦ περὶ βασιλείας.)

3. Καλὸν [a] δὲ καὶ τὸ τὸν θεὸν ἐν ἀρχᾷ τῶ δείπνω καὶ τῶ ἀρίστω ἐπικαλέεσθαι, οὐχ ὡς δεόμενον τινὸς τῶν τοιούτων, ἀλλ' εἰς τὸ μνασθέντας κατακοσμηθῆμεν τὰν ψυχάν· ἐπειδὴ γὰρ ἀπ' αὐτῶ [b] ἐσμεν καὶ κεκοινωνήκαμεν τῶ θείω [c], ποθᾶκον κρίνομεν τιμᾶν ἐκεῖνο. Δίκαια [d] δὲ βουλευομένω, ἰκέλως αὐτῷ δεῖ ἅπαντα ἡμᾶς ἐπιτελὲν δικαιοπραγέοντας. Ἔπειτα [e] τέτορες αἰτίαι τὰ σύμπαντα περαίνοντι καὶ πᾶσι [f] τέλος ἐπιτίθεντι, φύσις καὶ νόμος καὶ τέχνα καὶ τύχα· καὶ [g] τῶν μὲν ὄντων ἁ φύσις καθόλω ἀρχά, τῶν δὲ ἐξ ἤθεος ποτὶ συμφωνίαν πολιτικὰν φερόντων νόμος ἐπιστάτας καὶ δαμιουργός· τῶν δὲ διὰ φρονάσιος ἀνθρωπίνας τελεθόντων τέχνα λέγοιτό κα δικαίως μάτηρ τε καὶ ἁγεμὼν ἦμεν· τῶν δὲ εἰκᾷ τε καὶ ὡς ἔτυχεν ἀπὸ τῶ αὐτομάτω ὁμοίως ποτιπιπτόντων τοῖς χρηστοῖς τε καὶ πονηροῖς, τύχαν τῶν τοιούτων αἰτίαν φασοῦμες· ταύταν δ' οὔτ' ἐν μέτρῳ οὔτ' ἐν ὅρῳ τεταγμέναν καὶ [h] κακὰ πεφρονηκυῖαν ἕκαστα ποιὲν [i], ἃ γενναθέντα καὶ τὰ ἐξ αὐτῶν τῶ γένεος ἀμφιδονέεται.

(Stobæus Floril. XLIII, 130 Διωτογένους Πυθαγορείου ἐκ τοῦ περὶ ὁσιότητος. Multa hic quæ corrupta erant correxi. Scripsi autem [a] καλὸν; codd. καλῶς. [b] αὐτῶ; codd. αὐτῶν. [c] τῶ θείω, ποθᾶκον κρίνομεν τιμᾶν ἐκεῖνο; codd. τῶ θείω πόθω ἄκοντι κρίναντι ἄμμε. [d] Δίκαια δὲ βουλευομένω, ἰκέλως αὐτῷ δεῖ ἅπαντα ἡμᾶς ἐπιτελὲν δικαιοπραγέοντας; codd. διὸ καὶ βουλεύονται ἰκελῶς [vel δικαίως] ἂν ἅπαντα ἡμᾶς ἐπιτελέειν δικαιοπραγέοντας. [e] ἔπειτα; codd. ἔπειτα γάρ. [f] πᾶσι; codd. ἐπί. [g] καὶ τῶν μὲν ὄντων ἁ φύσις καθόλω ἀρχά, τῶν δὲ ἐξ ἤθεος; codd. καὶ τῶν μὲν ἐξ ἄθεος in qua scriptura deesse aliquid nemo non videt. [h] καὶ κακὰ πεφρονηκυῖαν; codd. καὶ πεφρονηκυῖαν vel καὶ πεφρονημένως. [i] ποιέν, ἃ γενναθέντα καὶ τὰ ἐξ αὐτῶν τῶ γένεος ἀμφιδονέεται; codd. ποιεῦν γενναθεῖσα δὲ ἃ ἐξ αὐτῶν τῶ γένεος ἄμφω κινεῖται.)

4. Περὶ βίω ἐκλογισμὸς καθ' ὃν κ' εἴη ὁ ἀνθρώπινος βίος ὁσιώτατός τε καὶ νομιμώτατος. Πρᾶτον μὲν αἴκα τις μὴ πολυπραγμονοίη [a] μηδὲ ταχὺ ἐπὶ τὰς δίκας ὁρμῴη, ἀλλὰ πολὺν χρόνον ἀμβαλλόμενος αὐτός τε προκαλέσαιτο [b] ἄνευ δίκας, ὥστε τὸν ἀντίδικον προθύμως τῇ συνθήκῃ ἐμμένεν [c]· καὶ αἴκα [d] τὰ πολλὰ ἐξαγορεύων τῶ πράγματος μὴ ἄλλα λέγῃ ἀλλ' αὐτὸ τὸ πρᾶγμα, καὶ ἐπὶ μὲν τᾶς ἀλλοτρίας ζαμίας τὸ ἀκριβὲς μῷτο, ἐπὶ δὲ τᾶς ἰδίας τὸ μέτριον· τὸ γὰρ αὐτὸν παρ' αὐτῶ διαιτᾶσθαι [e] μετριωτέρω ἤθεος· καὶ μὴ ἐπὶ τᾷ ζημίᾳ οὕτως ὡς ἐπὶ τᾷ αἰσχύνᾳ λυποῖτο· τὸ μὲν γὰρ ἐπ' ἀργυρίῳ ὀδυνᾶσθαι φαύλω ἤθεος, τὸ δὲ ἐπὶ τᾷ αἰσχύνᾳ καὶ τᾷ ἀτιμίᾳ καλοκαγάθω.

(Stobæus Floril. V, 69 Διωτογένεος Πυθαγορείου

---

nullam cum cum cæteris mortalibus exhibere convenit, tum maxime inferioribus et vilioris fortunæ hominibus: hi enim quemadmodum corporibus ægri nihil grave possunt tolerare. Habent enim dii quoque tales affectiones et præcipue omnium imperator Jupiter: siquidem hic venerabilis quidem est et honorandus propter excellentiam et magnitudinem virtutis, benignus vero propterea quod beneficus sit et bonorum largitor, ut etiam ab Ionico poeta dicitur esse « *hominum pater atque deorum* », formidabilis denique, quoniam injustos puniat omniumque rex ac dominus sit: fulmen etiam manibus gestat, terroris symbolum. In omnibus igitur hisce considerandis meminisse oportet, divinam quandam rem esse regnum.

3. Honestum etiam est deum initio cœnæ et prandii invocari, non quasi ipse talibus precibus indigeat, sed ut animus ejus recordatione ornetur: cum enim ab eo orti simus et numinis facti participes, consentaneum judicamus nos illud honore prosequi. At quando deus justa molitur, decet nos ejus exemplo omnia juste agere. Deinde quatuor causæ universa consummant omnibusque finem imponunt, natura, lex, ars et fortuna: ac natura quidem omnino rerum generatarum principium est, eorum vero quæ ex moribus ad concordiam civilem adducunt lex præses est et effectrix: at operum quæ humana prudentia perficiuntur ars merito mater et auctor nominetur: eorum denique quæ temere ac prout contigit fortuito similiter probis et improbis accidunt, fortunam causam esse dicemus: hanc autem neque modo neque terminis circumscriptam atque etiam hostiles spiritus gerentem singula facere, quæ genita una cum prole sua circumcirca agitantur.

4. Vitæ ratio qua humana vita sanctissima et justissima fuerit. Primum quidem si quis non multis negotiis implicetur neque celeriter litem alii intendere aggrediatur, sed diu dilato certamine ipse causam privatam evitans ita adversarium provocet, ut libenter pactum servet: ac si pleraque rei capita enuntians non alia dicat, sed ipsam rem, atque alieni quidem damni summam accurate subducat, suum vero detrimentum modica supputatione ad calculos vocet: nam suo labore victum quærere summæ modestiæ est: denique si non ita damno, ut dedecore doleat: nam pecuniæ jactura angi pravi ingenii est, dedecore autem et infamia cruciari hominis honesti esse videtur.

ἐκ τοῦ περὶ ὁσιότητος. Vulgavi [a] πολυπραγμονοίη; cod. πολυπραγμονῆ. [b] προκαλέσαιτο; codd. προσκαλεόμενος. [c] ὥστε τὸν ἀντίδικον προθύμως τῇ συνθήκῃ ἐμμένεν; codd. ὥστε δ ἀντίδικος προεκαλέσατο ἐμμένεν. [d] καὶ αἴκα τὰ πολλὰ ἐξαγορεύων τῷ πράγματος μὴ ἄλλα λέγῃ ἀλλ' αὐτὸ τὸ πρᾶγμα; codd. καὶ αἴκα τὰ πολλὰ ἐξηταγόρεν τῷ πράγματι χαμαύλη ἀλλ' αὐτὸ τὸ πρᾶγμα. [e] διαιτᾶσθαι; codd. διαιτεῖσθαι.)

5. Χρὴ τὸν βασιλέα σοφὸν ἦμεν· οὕτω γὰρ ἐσεῖται ἀντίτιμος καὶ ζαλωτὰς τῷ πράτω θεῶ. Οὗτος γὰρ καὶ φύσι ἐντὶ καὶ πρᾶτος βασιλεύς τε καὶ δυνάστας, ὁ δὲ γενέσι καὶ μιμάσι, καὶ ὁ μὲν ἐν τῷ παντὶ καὶ ὅλῳ, ὁ δὲ ἐπὶ γᾶς, καὶ ὁ μὲν ἀεὶ τὰ πάντα διοικεῖ τε καὶ ζώει αὐτὸς ἐν αὐτῷ κεκταμένος τὰν σοφίαν, ὁ δ' ἐν χρόνῳ ἐπιστάμαν. Ἄριστα δέ κα μιμέοιτο τοῦτον, εἰ μεγαλόφρονά τε καὶ πρᾶον [a] καὶ ὀλιγοδεέα παρασκευάζοι αὐτόν, πατρικὰν διάθεσιν ἐνδεικνύμενος τοῖς ὑφ' αὐτῷ· διὰ τοῦτο γάρ που μάλιστα καὶ νενομίκαντι [b] τὸν πρᾶτον θεὸν πατέρα μὲν θεῶν πατέρα δὲ ἀνθρώπων ἦμεν, ὅτι ἤπιος πρὸς πάντα τὰ ὑπ' αὐτῷ γενόμενά ἐντι, καὶ ἐπιμελούμενος [c] τᾶς προστασίας οὐδέποκα παύεται, οὐδὲ ἤρκεσται τῷ ποιητὰς μόνον πάντων γεγονέναι, ἀλλὰ καὶ τροφεὺς διδάσκαλός τε τῶν καλῶν πάντων καὶ νομοθέτας πέφυκε πᾶσιν ἐπίσας. Τοιοῦτον θέμις ἦμεν [d] καὶ τὸν ἐπὶ γᾶς καὶ παρ' ἀνθρώποις ἀγεμονὲν μέλλοντα βασιλέα· οὐδὲν δὲ ἀβασίλευτον καλὸν οὐδὲ ἄναρχον· ἄνευ δὲ σοφίας καὶ ἐπιστάμας οὔτε μὰν βασιλέα οὔτε ἄρχοντα οἷόν τε ἦμεν· μιματὰς ἄρα καὶ ὑπαρέτας ἐσσεῖται νόμιμος τῷ θεῶ ὁ σοφός τε καὶ βασιλεύς.

(Stobæus Flor. XLVIII, 63 Σθενίδα Λοκροῦ Πυθαγορείου περὶ βασιλείας. — [a] πρᾶον Halmii conjectura est; ἁβρὸν libri. [b] νενομίκαντι reposui pro membranarum lectione νενομίχθαι. [c] ἐπιμελούμενος exaravi; codd. ἀμελούμενος vel μελούμενος. [d] θέμις ἦμεν Valckenarius legendum conjecit pro corrupta codicum scriptura ἐπιστῆμεν.)

6. Ὅτι μὲν ἅπαντος ζῴω φύσις ποτί τε τὸν κόσμον ἅρμοκται καὶ τὰ ἐν τῷ κόσμῳ πολλοῖς μοι δοκεῖ τεκμαρίοις φανερὸν ἦμεν. Συμπνείουσα γὰρ οὕτω καὶ συνδεδεμένα τᾷ ἀρίστᾳ τε ἅμα καὶ ἀναγκαίᾳ ἀκολουθίᾳ [a] ὀπαδεῖ ῥύμᾳ τῶ παντὸς περιοχεομένα [b] ποτί τε τὰν κοινὰν εὐκοσμίαν καὶ ποττὰν ἴδιον ἑκάστω διαμονάν· παρὸ καὶ τόδε κόσμος ποταγορεύεται καί ἐντι τῶν ὄντων ζῴων τελειότατον. Ἐν δὲ τοῖς μέρεσιν αὐτῶ πολλοῖς τε ὄντεσι καὶ διαφόροις τὰν φύσιν προέχει [c] τι ζῷον καὶ θειότατον καὶ ἔγγειον [d] διὰ τὸ μετέχεν πλῆον τῶ θείω. Καὶ ἐν μὲν τᾷ τῶ θεῶ ὄντος ἀεὶ φύσι τὰ τὰν πράταν καὶ μεγίσταν ἀκολουθίαν ἔχοντα ἅλιός ἐντι καὶ σελάνα [e] καὶ τοὶ πλάνατες ἀστέρες· ἐν δὲ τᾷ χώρᾳ τᾶ σελάνας ἔνερθεν κατὰ [f] τὰ δι' εὐθείας ἰόντα σώματα ἁ τῶ δαίμονος φύσις ἔχει τὰν διεξαγωγάν· ἐν δὲ τᾷ γᾷ καὶ παρ' ἁμῖν ἀριστοφυέστατον μὲν ὤνθρωπος, θειότατον δ' ὁ βασιλεύς, ἔν τε κοινᾷ φύσι πλεονεκτέων τῶ κρέσσονος, τὸ μὲν σκᾶνος τοῖς λοιποῖς ὅμοιος, οἷα γεγονὼς ἐκ τᾶς αὐτᾶς ὕλας, ὑπὸ τεχνίτα δ' εἰργασμένος λῴστω, ὃς ἐτεχνίτευσεν αὐτὸν ἀρχετύπῳ χρώμενος ἑαυτῷ· κατασκεύασμα δὴ ὦν ὁ βασιλεὺς ἓν καὶ μόνον ἐντὶ οἷα τύπος [g] τῶ ἀνωτέρω βασιλέως, τῷ μὲν πεποιηκότι γνώριμον ἀεί, τοῖς δ' ἀρχομένοις ὡς ἐν φωτὶ τᾷ βασιλήᾳ βλεπόμενον. Τᾷδε γὰρ κρίνεταί τε καὶ

---

5. Oportet regem sapientem esse : sic enim vicissim honorandus erit et summi dei æmulus. Quippe hic natura primus est rex ac dominus, ille vero et ortu et imitatione, atque hic in toto mundo et rerum universitate, ille in terra, et hic quidem semper omnia administrat ac vivit insitam ipse sapientiam possidens, ille autem temporariam scientiam habens. Cæterum optime hunc imitetur, si magnanimum, mansuetum et paucorum indigum se præstiterit, paternum in cives animum declarans : hanc enim ob causam præcipue deum etiam existimarunt primum esse deorum atque hominum parentem, quod mitis in universum subjectorum cœtum est neque unquam rerum administratione neglecta cessat, neque solum cuncta procreasse contentus fuit, sed etiam nutritor præceptorque bonorum omnium ac legumlator omnibus ex æquo est. Talem et eum esse regem convenit qui in terra hominibus imperaturus est : nihil vero regum aut magistratuum imperio orbum pulchrum esse potest : sine sapientia vero ac scientia fieri nequit ut quisquam vel rex sit vel magistratus. Imitator ergo et minister legitimus dei vir sapiens et rex erit.

6. Uniuscujusque animalis naturam ad mundum et ejus partes accommodatam esse multis signis probari mihi videtur. Sic enim consentiens et colligata optimam simul et necessariam convenientiam sequitur, universi impetu circumacta tum ad communem omnium ornatum tum ad singulorum perpetuitatem tuendam : quocirca etiam hæc rerum compages mundus vocatur et animalium perfectissimum est. In partibus vero ejus quæ et multæ sunt et natura diversæ excellit aliquod animal qua maxime divinum qua terrenum propterea quod plus divinitatis continet. Et in illa quidem æterna dei natura primam et maximam convenientiam habentia sol et luna et stellæ errantes sunt : in regione vero quæ est infra lunam ubi corporum motus est rectus dæmonis natura versatur : cæterum in terra et apud nos præstantissimus quidem natura est homo, divinissimus vero rex atque in communi natura plus commodorum quam reliqui habens, corpore quidem cæteris similis, utpote ex eadem materia natus, ab optimo autem artifice factus qui eum se ipso exemplo usus fabricavit : quocirca rex unicum et solum quoddam opus est, supremi illius regis simulacrum, procreatori quidem suo semper familiare, civibus vero, tanquam in lumine, in regno conspicuum. Ita enim examinatur et probatur ut avium

δοκιμάζεται, ὡς τὸ κράτιστον ἐν πτανοῖς ζῷον ἀετὸς ἀντωπὸν ἁλίω γενόμενον· χὠπὶ τᾶς βασιλήας δὲ λόγος ὡυτός, θείας τε ἐάσας καὶ δι' ὑπερβολὰν λαμπρότατος δυσοράτω, αἱ μὴ τοῖς γνασίοις· μαρμαρυγαί τε γὰρ πολλαὶ καὶ σκοτοδινιάσιες ὡς ἐφ' ὕψος ὀθνῆον ἐπιβάντας τὼς νόθως ἀπήλεγξαν· τοῖς δὲ προσηκόντως κατ' οἰκηότατα πρὸς αὐτὰν ἐπὶ τοῦτο [h] ἀφιγμένοις οἰκήσιμος, κεχρῆσθαι δυναμένοις αὐτᾷ. Ἁ μὲν ὦν βασιλήα [i] χρῆμα εἰλικρινές τε καὶ ἀδιάφθορόν ἐντι καὶ δι' ὑπερβολὰν θειότατον δυσέφικτον ἀνθρώπῳ. Δεῖ δὲ καὶ τὸν ἐς αὐτὰν καταστάντα καθαρώτατόν τε ἦμεν καὶ διαυγέστατον τὰν φύσιν, ὡς μὴ τὸ λαμπρότατον ἀφανίζῃ ἐν σπίλοις τοῖς ἑαυτῶ [k]· καθὸ καὶ τὼς ἁγιωτάτως τόπως ἐκαλίδωσάν τινες καὶ τῶν ἀντιασάντων ἔνιοι μιαροὶ τὼς ἀντιάξαντας αὐτοῖς. Βασιλῆα δὲ τὸν ὁμιλήσοντα φύσιός τε ἀχράντω δεῖ μετέχεν ἐπίστασθαί [l] τε αὐτὸν ὅσῳ τῶν ἄλλων ἐντὶ θειότερος ὅσῳ τε ἅτεροι [m] αὐτῶ, οἷς δὴ κατὰ λόγον ἀπεικάζων ἑαυτὸν ἄριστ' ἂν ἑαυτῷ τε χρῷτο καὶ τοῖς ὑποτεταγμένοις. Καὶ τοῖς μὲν ἄλλοις ἀνθρώποις, αἴκα ἁμαρτάνωντι, ὁσιωτάτα κάθαρσις ἐξομοιωθῆμεν τοῖς ἀρχόντεσσιν, αἴτε νόμος αἴτε βασιλεὺς διέποι τὰ κατ' αὐτώς· οἱ δ' αἴκα [n] τῶ κρέσσονος δέοντες [o] διὰ τὰν φύσιν ἀμπλάκωντι [p], οὐ μακρὰν οὐδ' ἀπῳκισμένως αὐτοὺς [q] χρὴ παρὰ θεῶ [r] μὲν ὡς εὐθὺ τᾶς ὠφελείας τυγχάνεν. Οὔτε γὰρ τὸν κόσμον δίζοιτο ἄν τις ἐν αὐτῷ τε ὢν καὶ μέρος ἐκείνω, οὔτ' ἂν ἀνόητος εἴη τῶ διέποντος αὐτὸν ὁ ἁτέρων [s] αὐτὸς ἄρχων. Ἁ δ' εὐκοσμία πολλὰ καὶ τὸ μηδὲν ἄναρχον εὑρὲν δύνασθαι καὶ τῷ τρόπῳ τᾶς ἀρχᾶς διδάσκαλον. Ἐκλάμπει γὰρ αὐτᾶς εὐθὺ τὸ καλόν, ἂν ὁ μιμασόμενος δι' ἀρετὰν αὐτῷ τε φίλος, ὃν μεμίμαται, καὶ πολὺ πλέον τοῖς ὑπ' αὐτὸν τεταγμένοις. Οὐ γὰρ ἄν τις θεοφιλὴς ὢν μισέοιτο ὑπ' ἀνθρώπων, ἐπεὶ οὐδὲ τὰ ἄστρα οὐδ' ὁ σύμπας κόσμος ἐχθαίρει τὸν θεόν· αἰ δέ κα ἐμίσει τὸν ἁγεμονεύοντα, οὔ κα εἵπετο πειθόμενος αὐτῷ· τὸ δ' ἐκεῖνον ἄρχεν εὖ αἴτιον τῶ καὶ τῶσδε ἄρχεσθαι καλῶς. Ἐγὼ μὲν ὦν ὑπολαμβάνω καὶ τὸν ἐπὶ τᾶς γᾶς βασιλέα δύνασθαι μηδεμιᾷ τᾶν ἀρετᾶν ἐλαττοῦσθαι τῶ κατ' ὠρανὸν βασιλέως· ἀλλ' ὥσπερ αὐτὸς ἀπόδαμόν τί ἐντι χρῆμα καὶ ξένον ἐκεῖθεν ἀφιγμένον πρὸς ἀνθρώπως, καὶ τὰς ἀρετὰς ἄν τις αὐτῷ ἔργα ὑπολάβοι τῶ θεῶ καὶ δι' ἐκεῖνον αὐτῶ. Σκοπέοντι δ' ἀρχᾶθεν ἀλάθηα λόγος· κοινωνία τε γὰρ πράτα τε πάντων καὶ ἀναγκαιοτάτα τῷ τῶν ἀνθρώπων γένει, ἇς μετέχει μὲν ὁ παρ' ἁμῖν βασιλεύς, μετέχει δὲ καὶ ὁ ἐν τῷ παντὶ πάντα διέπων· συνεστάναι γὰρ χωρὶς φιλίας καὶ κοινωνίας ἀμάχανον· σκοποίη δ' ἄν τις ταῦτα καὶ ἐπὶ τῶν συμπολιτευομένων, ἐξελὼν τῷ λόγῳ τὰν κατὰ συνάθηαν κοινωνίαν· ἐλάττων γὰρ αὕτα τᾶς τε θείας φύσιος καὶ τᾶς βασιλικᾶς· οὐ γὰρ δέονται τὰν τοιαύταν δέησιν ἀλλ' ἄλλοις ἅπαντα συμπονοῦσαι τῷ αὐτῶν ὑστεροῦντι ποιοῦνται κοινὰν τὰν βοήθηαν [t]· τέλειοι γὰρ κατ' ἀρετάν· ἁ δ' ἐν τᾷ πόλει φιλία κοινῶ τινος τέλεος ἐχομένα τὰν τῶ παντὸς ὁμόνοιαν μεμίμαται· ἄνευ δὲ τᾶς περὶ τὰς ἀρχὰς διατάξιος οὐδεμία ἂν πόλις οἰκοῖτο· ἐς δὲ ταύταν νόμων τε δεῖται καί τινος προστασίας πολιτικᾶς τό τε ἄρχον καὶ τὸ ἀρχόμενον, εἴπερ σώζοιτο δι' αὐτό [u]. Ἐκ τούτων κοινὸν ἀγαθὸν εὐαρμοστία τις καὶ τῶν πολλῶν ὁμοφωνία μετὰ πειθοῦς συναδοίσας. Ὁ κατ' ἀρετὰν ἐξάρχων καλέεταί τε

---

princeps aquila obversis soli oculis : eademque est regni ratio, ut quod divinum sit et propter nimiam claritatem oculos præstringat omnibus præterquam legitimis : etenim multi splendores oculis obversantes atque vertigines arguunt spurios tanquam in insolitam altitudinem nisos : qui vero, ut par est, propter naturæ cum regno similitudinem eo pervenerunt, habitare illud et commode eo uti possunt. Est igitur regnum res sincera et incorrupta et ob divinitatis excellentiam homini vix assequenda. Oportet autem hominem in eo fastigio locatum natura purissimum esse et splendidissimum, ne rem clarissimam suis maculis obscuret : quemadmodum nonnulli sanctissima loca inquinaverunt et spurci quidam eos quibus obviam facti sunt. Sed civitati præfuturum incontaminatæ naturæ participem esse convenit atque intelligere quanto reliquis divinior sit quantoque alii ipso sint excellentiores, quibus ut decet sese comparans optime se ipso et civibus uti poterit. Ac cæteris quidem hominibus, si forte delinquant, sanctissima purgatio est arrepta principum similitudo, sive lex sive rex imperium apud ipsos teneat : at principes si melioris exempli indigentes naturæ culpa in vitium inciderint, non procul neque longe remotos eos decet dei beneficio statim opem consequi. Neque enim mundum quisquam quæsiverit, quum in eo versetur et ejus pars sit, neque aliorum rector eum a quo ipse regitur ignoraverit. Est vero hic ornatus maximus quando nihil moderatoris expers reperitur et quando moribus principem imperii magistrum esse videmus. Sic enim statim imperii pulchritudo elucet, si dei imitator virtutis causa ei quem imitatus est carus sit et magis etiam civibus suis. Neque enim quisquam deo gratus hominibus odio sit, siquidem nec siderum cœtus nec mundus universus deum odit : quippe si ducem suum odisset, neutiquam ei obediret : quod autem ille bene imperat, ea causa est cur subjecti bene regantur et pareant. Ego igitur existimo vel hunc terrestrem regem posse nulla virtute inferiorem esse quam cœlestem : sed ut ipse res est quædam peregrina et externa, utpote cœlitus ad homines profecta, ita etiam ejus virtutes quispiam dei opera esse putet et per illum ipsi inesse. Atque a principio quidem rem consideranti orationis meæ veritas apparebit : nam communio rerum omnium et prima est et hominum generi maxime necessaria, cujus particeps quidem noster rex est, particeps vero etiam ille qui in universo cuncta gubernat : nihil enim sine amicitia et communione consistere potest, quod ipsum inter cives quispiam facile animadverterit, si cogitatione communionem quæ ex consuetudine constat

βασιλεὺς καὶ ἔντι, ταύταν ἔχων φιλίαν τε καὶ κοινωνίαν ποτὶ τὼς ὑπ' αὔταυτον, ἅνπερ ὁ θεὸς ἔχει ποτί τε τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ. Ὅλαν δὲ τὰν εὔνοιαν χρὴ παρασκευάζεσθαι πρᾶτον μὲν παρὰ τῶ βασιλέως ἐς τὼς βασιλευομένως, δεύτερον δὲ παρὰ τῶνδε ἐς τὸν βασιλέα, ὁποία [v] γεννάτορος ποτὶ υἱέα καὶ ποτὶ ποίμναν νομέως καὶ νόμω ποτὶ χρωμένως αὐτῷ.

(Stobæus Flor. XLVIII, 64 Ἐκφάντου τοῦ Πυθαγορείου ἐκ τοῦ περὶ βασιλείας. Correxi [a] τᾷ ἀρίστᾳ τε ἅμα καὶ ἀναγκαίᾳ ἀκολουθίᾳ; codd. τὰν ἀρίσταν τε ἅμα καὶ ἀναγκαίαν ἀκολουθίαν. [b] περιοχεομένα; codd. περιαυγευόμενα. [c] προέχει; libb. ἐξάρχει. [d] θειότατον καὶ ἔγγειον cum Spondano; membranæ οἰκειότατον ἐν γενοῖν. [e] ἔχοντα ἅλιός ἔντι καὶ σελάνα καὶ τοὶ πλάνατες; libri ἔχοντα ἀσπάζεται.... καὶ τοὶ πλανᾶτες. [f] ἔνερθεν κατὰ τὰ; libri ἔνερθεν τὰ. [g] ἐντὶ οἷα τύπος cum Meinekio; ἐν οἷς τινος codd. [h] ἐπὶ τοῦτο cum Jacobsio; ἐπὶ τούτῳ codd. [i] δυναμένοις αὐτᾷ. Ἃ μὲν ὦν βασιλήϊα cum Meinekio; δυναμέναν. Αὐτὰ μὲν ὦν βασιλήϊα codd. [k] ἑαυτῶ; codd. ὑφ' αὐτῷ. [l] ἐπίστασθαί τε; codd. ἐπιστάμεν τε. [m] ὅσῳ τε ἅτεροι cum Kœnio; ὅσα τε ἅτερα codd. [n] οἱ δ' αἴκα τῶ κρέσσονος; codd. οἱ δ' εἴ τι τῶ κρέσσονος. [o] δέοντες; codd. δέοντος. [p] ἀμπλάκωντι; codd. ἀμπλακόντες. αὐτοὺς; codd. οἱ. [r] παρὰ θεῶ; codd. θεῷ. [s] ἀτέρων; codd. ἑτέρων. [t] ἀλλ' ἄλλοις ἅπαντα συμπονοῦσαι τῷ αὐτῶν ὑστεροῦντι ποιοῦνται κοινὰν τὰν βοήθαν; codd. ἀλλ' ἄλλων (vel ἀλλάλων) καθανοῦν ἐκπορεῦντες τῶν ὑστερούντων ἀναπλαροῦντι κοινὰν τὰν βοήθαν. [u] αὐτό; libri αὐτό. [v] ὁποία; codd. ὁποῖα.)

7. Μία γὰρ ἀρετὰ πρὸς τὸ ἄρχεν ἀνθρώπῳ [a] καὶ πρὸς τὸν αὐτῶ βίον. Χρήσεται δ' οὐδενὶ [b] δι' ἔνδειαν ποτιλαμβάνων εἰς ὑπηρεσίαν τὰν αὐτὸς αὐτῶ, ἀλλ' ὡς κατὰ φύσιν ἐνεργῶν [c]· κοινωνίας γὰρ ἐάσας οὐδὲν ἔλαττον ἕκαστος αὐτάρκως βιώσει καθ' αὐτόν. Δοκεῖ μὲν γὰρ ὁ αὐτάρκης μηδενὸς ἂν ἄλλω πρός γε τὰν αὐτῶ διεξαγωγὰν ποτιδεήσεσθαι· αἱ δ' ἄρα δεῖ βίον ἐνεργέα ζώεν, δᾶλον ὡς κἂν αἱ ἅτερα προσλάβοι [d], οὐδέν τι ἔλαττον αὐτὸν αὐτάρκεα ποιήσει· φίλως τε γὰρ ἕξει διὰ τὰν αὐτῶ ἀρετάν, καὶ τοῖσδε χρώμενος οὐ κατ' ἄλλαν ἀρετὰν χρήσεται ἢ ἅπερ καὶ ποττὸν αὐτῶ βίον. Ἀνάγκα δὲ ἀκολουθὲν καὶ τὰ τοιάδε, οὐχ ἀτέρας τινὸς ἐξαιρέτω ποτταῦτα παρεσκευασμένας [e]. Χὠ μὲν θεὸς οὔτε διακόνως ἔχων οὔτε ὑπαρέτας οὔτ' αὖ προστάξι τινὶ χρώμενος οὐδὲ στεφανῶν ἢ ἀναγορεύων τὼς πειθομένως ἢ ἀτιμάζων τὼς ἀπειθέοντας, οὗτος αὐτὸς ἄρχει ποτὶ τοσόνδε μέγεθος ἀρχᾶς, ἀλλ' οἶμαι παρέχων ἀξιομίματον ἑωυτὸν ζᾶλον ἐντίθητι πᾶσι τᾶς αὐτῶ φύσιος. Ἔντι δὲ αὐτὸς μὲν ἀγαθός, καὶ τόδε μόνον τε καὶ ῥᾷδιον ἔργον αὐτῶ· οἱ δὲ μιμεύμενοι τῶν ἄλλων κρέσσον τῷδε πάντα ἐργάζονται· ἁ δὲ ὁμοίωσις καὶ ἑκάστῳ τῷδε [f] αὐταρκές ἐντι· οὐ γὰρ ἄλλα μὲν ἀρετὰ ποιεῖ τὰ ἀρεστὰ τῷ θεῷ, μιμέεται δ' αὐτὸν ἀτέρα. Ὁ δ' ἐπίγγος παρ' ἁμῖν [g] βασιλεὺς πῶς οὐχ ὁμοίως αὐτάρκης; ἀπεικάζων τε γὰρ αὐτὸν ἑνὶ ἂν ἀπεικάσειε τῷ κρατίστῳ, καὶ πάντες ἑωυτὼς [h] πειρώμενοι τούτῳ ὁμοιοῦν βασιλικοὶ [i] ἔσονται· τὰ δ' ὅσα βίας καὶ ἀνάγκας ἐντὶ [k] τῶν ὑποτεταγμένων, ἐνίοτε ἕκαστον [l] τὰν περὶ τὰν μίμασιν προθυμίαν ἀφαιρέεται· χωρὶς εὐνοίας γὰρ ἀμάχανον ἐξομοιωθῆναι, ἃ μάλιστα πάντων ἀφανίζει τὸ φοβερόν. Ὡς εἴθε ἦν τᾶς ἀνθρωπίνας φύσιος δυνατὸν

exemerit: quippe hæc inferior est quam divina natura et regia: neque enim illæ tale quid desiderant, sed laborantes alios in omni re adjuvando ei qui ipsarum opera eget commune auxilium ferunt: nimirum virtute perfectæ sunt: at civitatis amicitia communem quendam finem spectans ipsius universi concordiam imitatur: verum sine magistratuum constitutione nulla omnino civitas administrari possit: ad hanc autem consequendam tum legibus tum civili gubernatione indigent et qui regit et qui regitur, si per se servari velint. Hinc nascitur commune bonum, concinnus quidam status et multitudinis consensus cum concordi obsequio. Qui juxta virtutem imperat rex et vocatur et est, eadem amicitia et communione cum civibus suis conjunctus, quam deus cum mundo atque ejus partibus habet. Cæterum oportet omnem benevolentiam institui primum a rege erga cives, deinde ab hisce erga regem, qualis patris erga filium, pastoris erga gregem et legis erga illos qui ea utuntur esse solet.

7. Una enim virtus ad imperium homini et ad vitam sufficit. Nemine autem utetur, inopia eum arcessens ad ministerium, sed quod naturæ legibus convenienter suum opus navat: quum enim communio sit, nihilominus unusquisque per se suis contentus vivet. Videtur enim is qui rebus suis contentus est nemine alio ad vitam transigendam indigere: quodsi vitam actuosam degere oporteat, liquet etiamsi alia assumserit, nihilo secius eum suis instructum præsidiis vivendi genus habiturum: quippe et amicos habebit suæ virtutis gratia, quibuscum agens non alia virtute iis utetur, quam illa qua vitam suam instituit. Necesse autem est talia quoque virtutem sequi, non aliâ quâdam eâque eximiâ ad has res comparatâ. Ac deus quidem citra famulorum et ministrorum operam ac sine ullo edicto neque vel coronans vel renuntians obedientes vel ignominia notans contumaces, ipse solus tantam imperii molem gubernat, sed se ipsum, opinor, imitatione dignum præbens omnibus naturæ suæ desiderium et æmulationem injicit. Est autem ipse quidem bonus et in hoc solo opere eoque facili occupatur: ejus vero imitatores cæteris melius propter hoc studium omnia peragunt: et illius assimilatio singulis sufficit; non enim alia virtus est quæ deo grata facit et alia quæ eum imitatur. Cæterum rex terrester qui apud nos est cur non similiter se ipso contentus sit? Assimilans enim sese uni cique optimo similis fieri vult omnesque se ad illius imitationem conferentes regales erunt: quæcunque vero ad vim civibus afferendam et imitandi necessitatem iis imponendam valent, interdum

ἀφελὲν τὸ καὶ πειθοῦς τινος δέεσθαι. Τόδε γὰρ τᾶς ἐπιγήω φαυλότατος τὸ λείψανον, καθ' ἂν ἐπίκαρον ὂν τὸ ζῷον ταύτας οὐκ ἀμοιρεῖ· ἐπειδήπερ πειθὼ ἔργον τί ἐντι παροικέον ἀνάγκᾳ· πράτα γὰρ ἀφ' αὐτᾶς αὐτὰ κατεργάζεται τάπερ ἐκείναν διέφυγαν. Ὅσα δ' αὐτοφυῶς τῷ καλῷ χρῆται, τούτοις οὐδεμία πειθοῦς αἰδώς· ἐπειδήπερ οὐδὲ φόβος ἀνάγκας. Ἐνεργάσαιτο δ' ἂν μόνος ὁ βασιλεὺς ἀνθρώπω φύσι καὶ τόδε τὸ ἀγαθόν, ὡς διὰ μίμασιν αὐτῶ τῶ κρέσσονος ποτὶ τὸ δέον ἕπεσθαι. Τὼς δὲ ὥσπερ ὑπὸ μέθας διεφθαρμένως καὶ διὰ κακὰν τροφὰν ἐς λάθαν ἐμπεσόντας αὐτῶ, παραλαφθεὶς ὁ λόγος ἐπέῤῥωσέν τε καὶ κάμνοντας ἰάσατο, καὶ τὰν ἐκ τᾶς κακίας ἐνοικεῦσαν αὐτοῖς λάθαν ἐκβαλὼν τὰν μνάμαν ἐσῴκισεν, ἐξ ἃς ἀπετέχθη ἁ καλεομένα πειθώ· καὶ τὰν ἀρχὰν ἐκ φαύλων σπερμάτων λαβοῖσα αὕτα τι σπουδαῖον ἐκφύει τὰν ἐπίγηον οἰκεῦσι χώραν, ἐν ᾇ δι' ἀσθένειαν τᾶς ἁμῶν φύσιος ὁ λόγος ἀνθρώποις ὁμιλέων ἀναπλαροῖ τὰ τῶν διὰ κακίαν ὑστερούντων.

(Stobæus Flor. XLVIII, 65 Ἐκφάντου τοῦ Πυθαγορείου ἐκ τοῦ περὶ βασιλείας. Emendavi : [a] ἀνθρώπῳ; codd. ἀνθρώπων. [b] οὐδενὶ; codd. οὐδενὸς. [c] ἐνεργῶν cum Meinekio; libri συνεργῶν. [d] ὡς κἂν αἱ ἅτερα προσλάβοι cum eodem; ὡς καὶ ἕτερα ἂν προσλάβοι libri. [e] οὐχ ἁτέρας τινὸς ἐξαιρέτω ποτταῦτα παρεσκευασμένας cum eodem; οὐχ ἁτέρως τινὸς ἐξαιρέτω ποττ' αὐτὰ παρεσκευασμένως codd. [f] τῷδε; codd. τῶδε. [g] παρ' ἁμῖν; ἁμῖν codd. [h] πάντες ἑωυτὼς; πᾶς ἑωυτῷ codd. [i] πειρώμενοι τούτῳ ὁμοιοῦν βασιλικοὶ ἔσονται; codd. πειρώμενος ὁμοιοῦν αἴθ' ὃς ἔσεται. [k] ἐντί; libri τάς. [l] ἕκαστον; membranæ ἑκάστῳ.)

8. Ἅπερ ἰσχύων καὶ θείαν ἔχων ἔννοιαν τῷ ὄντι βασιλεὺς εἴη. Τᾷδε γὰρ πεπεισμένος ἀγαθῶν μὲν πάντων αἴτιος ἐσεῖται, κακῶν δὲ οὐδενός. Οὐ μὰν ἀλλ' ὅτι γε δίκαιος ἐσεῖται κοινωνικὸς ὢν παντί τῳ δᾶλον· ἐν ἰσότατι γὰρ ἁ κοινωνία, καὶ ἐν τᾷ ταύτας ἀποδιανομᾷ. Ἐξάρχει μὲν ἁ δικαιοσύνα, μετέχει δ' ἁ κοινωνία· οὐ γὰρ δυνατὸν ἄδικον μὲν ἦμεν, μεταδιδόμεν δὲ ἰσότατος, ἢ μετατιδόμεν μὲν ἰσότατος, μὴ κοινωνικὸν δὲ ἦμεν. Ἐγκρατέα δὲ πῶς οὐκ ἂν ὑπολάβοι τις τὸν αὐτάρκη; ἁ γὰρ πολυτέλῃα μάτηρ τᾶς ἀκρασίας, αὕτα δὲ τᾶς ὕβριος, ἐξ ἇς τῶν ἐν ἀνθρώποις κακῶν τὰ πολλά. Ἁ δ' αὐτάρκῃα οὐδ' ἂν τέκοι πολυτέλῃαν, οὐδὲ τὰ ἀπ' αὐτᾶς· ἀλλ' αὐτά τις οὖσα ἀρχὰ πάντα μὲν ἄγοι, ἄγοιτο δ' ἂν ὑπ' οὐδενός· ὅπερ ἔντι μὲν τῷ θεῷ, ἔντι δὲ καὶ τῷ βασιλεῖ, αὐτῷ μὲν ἄρχεν (ἀφ' ὧπερ καὶ ὁ αὐτάρκης καλέεται) ἄρχεσθαι δ' ὑπ' οὐδενός. Ταῦτα δ' ὅτι μὲν φρονάσιος χωρὶς οὐκ ἂν γένοιτο δᾶλον, ὅτι δ' ἁ τῶ κόσμω φρόνασις ὁ θεός ἐντι φανερόν· συνέχεται γὰρ εὐκοσμίᾳ τε καὶ τάξι τᾷ δεούσᾳ· νόω δὲ χωρὶς οὐκ ἂν αὐτὰ γενοίατο. Οὐδ' ὁ βασιλεὺς δὴ χωρὶς φρονάσιος ταύτας ἂν ἔχοι τὰς ἀρετάς, δικαιοσύναν φαμὶ καὶ ἐγκράτῃαν καὶ κοινωνίαν καὶ ὅσα τούτων ἀδελφά.

(Stobæus Flor. XLVIII, 66 Ἐκφάντου τοῦ Πυθαγορείου ἐκ τοῦ περὶ βασιλείας. Initio scripsi ἅπερ ἰσχύων pro vulgata lectione ἅπερ ἱερὰν quæ ferri non potest.)

---

singulos æmulandi studio orbant : nam sine benevolentia quæ una omnium maxime terrorem tollit fieri nequit ut alter alteri similis evadat. Utinam humanæ naturæ imbecillitas ita tolli posset, ut nulla persuasione indigeret. Est enim persuasio terrenæ pravitatis vestigium, qua fit ut mortale hoc animal ea non careat : siquidem persuasio res est vicina necessitati : prima enim per se ea perficit quæ necessitatem effugerunt. At quæ suapte sponte honestum amplectuntur, his nulla est persuasionis reverentia, quoniam ne necessitatem quidem reformidant. Effecerit autem solus rex in hominis animo etiam hoc bonum, ut quod melius est imitando decorum sequatur. Illos vero qui tanquam ebrietate corrupti sunt et ob malam educationem in melioris oblivionem inciderunt, adhibita oratio corroborat, ægros sanat, ejectaque oblivione pravitatis vitio iis innata memoriam inserit, ex qua illa quæ vocatur persuasio oritur : quæ licet e malis seminibus ortum ducens, tamen boni aliquid terrenam regionem habitantibus gignit, in qua propter naturæ nostræ imbecillitatem oratio inter homines usurpata explet illud quod pravitate nostra nobis deest.

8. Quo genere excellens et divina intelligentia præditus revera rex erit : hac enim permotus bonorum quidem omnium auctor erit, nullius autem mali. Quin etiam eum justum fore, quum ad naturalem communitatem natus sit, cuivis manifestum est : communio enim in æqualitate et ejus distributione cernitur. Antecedit quidem justitia, communio autem in partem rerum venit : neque enim fieri potest, ut injustus æqualiter distribuat, aut ut non sit ad naturalem communitatem natus qui distribuit ex æquo. Quomodo quis autem non existimaverit eum esse continentem qui suo statu contentus sit? Est enim lautitia incontinentiæ parens, hæc vero contumeliæ, unde pleraque hominum mala nascuntur. At vero frugalitas neque lautitiam neque ejus effectus producat : sed quum ipsa princeps quædam sit, imperat quidem omnibus, nemini autem obedit : quod primum dei, deinde etiam regis proprium est, ut sibi ipsis imperent (unde etiam αὐτάρκης nominatur), a nemine vero regantur. Hæc autem sine prudentia fieri non posse apparet et mundi prudentiam deum esse manifestum est : ordine enim et constitutione decenti continentur : quæ sine mente fieri non possent. Neque etiam ipse rex sublata prudentia his esset præditus virtutibus, justitia, inquam, et continentia et communitate cæterisque quæ his cognatæ sunt.

9. Τῶς βουλευομένως κα. πράττοντάς τι ἀπὸ θεῶν ἄρχεσθαι χρή· τὸ γὰρ ἄριστον, ὥσπερ ἁ παροιμία φατί, τὸν θεὸν ἦμεν αἴτιον πάντων τούτων. Ἔτι δὲ φαύλων πράξεων ἀπέχεσθαι καὶ μάλιστα διὰ τὰν πρὸς τὸν θεὸν ξυμβουλίαν· οὐδενὸς γὰρ ἀδίκου θεὸν κοινωνεῖν. βοηθεῖν δὲ ἕκαστον ἑαυτῷ καὶ ποτικελεύεσθαι κατ' ἀξίαν τῶν δικαίων μεταλαμβάνεν καὶ πράσσεν· τὸ γὰρ ὑπὲρ μικρῶν καὶ μεγάλων ὁμοίως διατείνεσθαι ἄγαν μικροπρεπὲς δοκεῖ ἦμεν καὶ ἀνελεύθερον. Διὸ δεῖ φροντίζεν τῶ [a] μὴ σφόδρα ἐς τὰ ἥκιστα [b] καὶ τὰ μεγάλα ἐμπίπτεν· ἀλλὰ κατ' ἀξίαν τὰν ἑαυτῶ καὶ δύναμιν [c] μετριόντα ἑκάστῳ πράγματι ἐπιβάλλεν, ὅπως τίμιος ᾖς καὶ σεμνός.

Ἀδίκῳ δὲ ἀνδρὶ ἢ γυναικὶ κεχριμένοις ὑπὸ πόλεως ἐπαρωγὴν μὴ ποιεῖσθαι μηδὲ ὁμιλεῖν μηδένα, ἢ ὀνειδίζεσθαι ὡς ὄντα ὅμοιον ᾧ ὁμιλεῖ. Τοὺς δὲ προκεχριμένους ἄνδρας ἀγαθοὺς ἀγαπᾶν καὶ ἐντυγχάνειν αὐτοῖς, τελεῖσθαί τε τὴν μεγίστην καὶ τελειοτάτην τελετήν, ἀνδραγαθίαν μιμουμένους ἐπ' ἀληθείᾳ καὶ κτωμένους τὴν ἀρετήν· οὐδεὶς γὰρ ἀνὴρ τέλειος ἄνευ ταύτης. Πολίτῃ δὲ ἀδικουμένῳ βοηθεῖν καὶ οἴκοι καὶ ἐπὶ ξένης· ξένον δὲ πάντα τὸν ἐν τῇ ἑαυτοῦ πατρίδι σεβόμενον καὶ κατὰ τοὺς οἰκείους νόμους εὐφήμως καὶ οἰκείως προσδέχεσθαι καὶ ἀποστέλλειν, μεμνημένους Διὸς ξενίου ὡς παρὰ πᾶσιν ἱδρυμένου κοινοῦ θεοῦ καὶ ὄντος ἐπισκόπου φιλοξενίας τε καὶ κακοξενίας. Ἡγεῖσθαι δὲ καὶ παραγγέλλειν πρεσβυτέρους νεωτέροις τὸ αἰδεῖσθαι καὶ αἰσχύνεσθαι τὰ κακά, φανεροὺς ὄντας αὐτοὺς αἰσχυνομένους καὶ αἰδουμένους· ὡς ἐν αἷς πόλεσι πρεσβυτέρων ἀναισχυντίαι, φύονται παῖδες αὐτῶν καὶ παίδων παῖδες ἀναίσχυντοι. Ἀκολουθεῖ δὲ ἀναισχυντίᾳ καὶ ἀναιδείᾳ ὕβρις καὶ ἀδικία, τούτοις δὲ ἕπεται ὄλεθρος. Μηδεὶς δ' ἔστω ἀναιδής, ἀλλὰ σωφρονείτω ἕκαστος, ὡς οὕτω τευξόμενος θεῶν ἵλεων καὶ σωτηρίας· οὐδεὶς γὰρ κακὸς θεοφιλής. Τιμάτω δὲ ἕκαστος τὸ καλὸν καὶ τὸ ἀληθές, καὶ μισείτω τὸ αἰσχρὸν καὶ τὸ ψεῦδος· ταῦτα γὰρ ἀρετῆς σημεῖα καὶ κακίας. Διὸ χρὴ συνεθίζειν ἐκ παίδων κολάζοντας μὲν τοὺς φιλοψευδεῖς, φιλοῦντας δὲ τοὺς φιλαλήθεις, ἵν' ἐμφυσιῶται ἑκάστῳ τὸ κάλλιστον καὶ σπερματωδέστατον τῆς ἀρετῆς. Προσποιείσθω δὲ ἕκαστος τῶν πολιτῶν σωφρονεῖν μᾶλλον ἢ φρονεῖν· ὡς ἡ προσποίησις τοῦ φρονεῖν μέγα σημεῖον ἀπειροκαλίας καὶ σμικρότητος. Ἔστω δὲ ἡ προσποίησις τοῦ σωφρονεῖν ἀληθής· μηδεὶς γὰρ πλαττέσθω γλώσσῃ καλὰ ἔργα, πράξεως καὶ διανοίας στερόμενος ἀγαθῆς. Χρὴ δὲ καὶ πρὸς τοὺς ἄρχοντας εὔνοιαν διαφυλάττειν καθάπερ πατράσιν εὐπειθοῦντας καὶ σεβομένους· ὡς ὁ μὴ διανοούμενος οὕτω τίσει δίκην κακῆς βουλῆς δαίμοσιν ἑστιούχοις. Ἄρχοντες γὰρ ἑστιουχοῦσι πόλεως καὶ πολιτῶν σωτηρίας. Χρὴ δὲ καὶ τοὺς ἄρχοντας δικαίως προεστάναι τῶν ἀρχομένων καθάπερ τέκνων ἰδίων, ἔχθραν καὶ φιλίαν καὶ θυμὸν ἐν τῷ κρίνειν κοιμίσαντας. Ἐπαινείσθωσαν δὲ καὶ εὐδοκιμείτωσαν, ὅσοι ἂν ὄντες εὔποροι τοῖς ἐνδεεστέροις ἐπαρκῶσιν, ὡς τέκνα καὶ ἀμύντορας σώζοντες τῆς ἑαυτῶν πατρίδος. Ἐπαρκείτωσαν δὲ τοῖς διὰ τύχην πενομένοις, καὶ μὴ διὰ βίον ἀργὸν καὶ ἀκρατῆ· ἡ μὲν γὰρ τύχη πᾶσι κοινόν, ὁ δὲ ἀργὸς καὶ ἀκρατὴς βίος κακοῖς ἀνδράσιν ἴδιος. Καλὸν δ' ἔστω καὶ μηνύειν ἐάν τίς τῳ συνειδῇ ἀδικοῦντι, ἵνα ἡ πολιτεία σώζηται

9. Consultantes agentesque aliquid a diis auspicari debent : siquidem optimum est, quod proverbii loco dici solet, deum esse horum omnium auctorem. Præterea a malis facinoribus abstinendum est, idque maxime propter communem cum deo deliberationem, quum deo nullum cum injusto commercium sit. Oportet autem sibi quemque auxiliari ac se ad capessenda et agenda justa quæ dignitati respondent incitare : nam pro parvis rebus tantum quantum pro magnis niti nimis humile et illiberale videtur esse. Quare curandum est, ne nimio impetu ad minima et ad magna feramur, sed pro dignitate tua et viribus singula perpendere atque aggredi debes, ut honorandus et gravis videaris. Viro aut mulieri injustis a civitate habitis nemo auxiliari debet neque conversari cum iis, alioquin exprobranda ei fuerit similitudo ejus quocum conversatur. Viros autem benignitate præstabiles amare cum iisque commercium habere decet, et probitatem vere imitando et comparanda virtute maximum ac perfectissimum hoc veluti sacrificium facere : nemo enim homo sine virtute perfectus est. Cæterum injuria affecto civi vel in patria vel apud exteras nationes opitulari convenit : hospitem vero quemlibet in patria sua cultum legibus propriis bene precando et familiariter tum accipere tum remittere oportet, memores Jovis hospitalis, ut dei communis apud omnes constituti qui hospitalitatem et inhospitalitatem inspiciat. Porro senes junioribus duces sint et magistri ad mala ob pudorem ac verecundiam fugienda, ita ut appareat ipsos quoque tam pudore quam verecundia moveri : quia in quibus civitatibus senes impudentes fuerint, liberi etiam nepotesque eorum impudentia laborant. At vero impudentiam et ingenium inverecundum contumelia sequitur et injustitia, has autem rerum interitus excipit. Quocirca nemo impudens esto, sed sibi quisque temperantiam conciliet, tanquam hac ratione deos habiturus propitios et salute fruiturus : neque enim improbus quisquam deo gratus est. Præterea unusquisque honestatem ac veritatem colat, turpitudinem et mendacium oderit : hæc enim virtutis et vitii signa habentur. Quare statim a pueris assuefacere oportet pœna quidem mentiri solitos, amore autem veraces, ut singulorum animis honestatis et virtutis semina mandentur. Super hæc unusquisque civium se temperantem potius quam sapientem videri studeat : quoniam simulare sapientiam magnum est imperiti et parvi animi indicium, Temperantiæ autem affectatio debet esse vera, neque quisquam egregia facta simulet qui mentem a rerum bonarum studio averterit. Erga principes quoque velut erga parentes benevolentiam nos conservare decet obsequium iis et honorem præstando : propterea quod qui aliter senserit mali

πολλοὺς ἔχουσα τῆς εὐκοσμίας φύλακας. Ὁ δὲ μηνύων εὐσεβὴς ἔστω καὶ κατὰ τῶν οἰκειοτάτων ἐξαγγέλλων· οὐδὲν γάρ ἐστιν οἰκειότερον πατρίδος. Ἐμφανιζόντων δὲ μὴ τὰ δι' ἀκούσιον ἄγνοιαν γιγνόμενα, ἀλλ' ὅσον ἂν ἐκ προνοίας τι ἁμαρτάνωσιν. Ὁ δ' ἐμφανισθείς, ἂν ἐθελεχθρῇ τῷ μηνύσαντι, μισείσθω ὑπὸ πάντων, δίκην διδοὺς ἀχαριστίας, ἧς ἀποστερεῖ τὸν ἰατρεύοντα μεγίστην νόσον ἰατρευόμενος ἀδικίαν. Ἔστω δὲ μέγιστα ἀδικήματα θεῶν καταφρόνησις καὶ γονέων κάκωσις ἑκούσιος καὶ ἀρχόντων καὶ νόμων ὀλιγωρία καὶ ἑκούσιος ἀτιμία δικαιοσύνης. Δικαιότατος δὲ ἔστω καὶ ὁσιώτατος πολίτης ὁ ταῦτα τιμῶν καὶ ἐμφανίζων πρὸς πολίτας καὶ ἄρχοντας κατὰ τῶν καταφρονούντων. Ὑπὲρ πατρίδος ἀποθνήσκειν σεμνότερον ἔστω ἢ γλιχόμενον τοῦ ζῆν ἐγκαταλιπεῖν αὐτὴν καὶ τὸ καλόν. Κρεῖττον γὰρ τεθνάναι καλῶς ἢ ζῆν αἰσχρῶς καὶ ἐπονειδίστως. Χρὴ δὲ καὶ τῶν τελευτώντων ἕκαστον τιμᾶν μὴ δακρύοις μηδὲ οἴκτοις, ἀλλὰ μνήμῃ ἀγαθῇ καὶ τῇ τῶν κατ' ἔτος ὡραίων ἐπιφορᾷ, ὡς ἀχαριστίας οὔσης πρὸς δαίμονας χθονίους λύπης ὑπὲρ τὸ μέτρον γιγνομένης. Βλασφημείτω δὲ μηδεὶς ἐπ' ἀδίκῳ βλάβῃ περὶ μηδενός· ὁσιώτερον γὰρ εὐφημία κακηγορίας. Νομιζέσθω δὲ πολίτης ἀμείνων ὁ τῆς ὀργῆς κρείττων μᾶλλον τοῦ διὰ ταύτης πλημμελοῦντος. Ὁ ἱερὰ καὶ ἀρχεῖα ὑπεραίρων τῇ πολυτελείᾳ τῶν ἰδίων μὴ εὐδοξείτω, ἀλλ' ὀνειδιζέσθω· μηδὲν γὰρ ἔστω ἰδιωτικὸν μεγαλοπρεπέστερον καὶ σεμνότερον τῶν δημοσίων. Ὁ πλούτῳ καὶ χρήμασι δουλεύων καταφρονείσθω ὡς μικρόψυχος ὢν καὶ ἀνελεύθερος καὶ καταπληττόμενος ὑπὸ κτημάτων πολυτελῶν καὶ βίου τραγῳδουμένου, καὶ εὐτελὴς εἶναι τὴν ψυχὴν ὑπολαμβανέσθω. Ὁ γὰρ μεγαλόψυχος προδιανοεῖται πάντα παρ' ἑαυτῷ τὰ παρ' ἀνθρώποις, καὶ δι' οὐδενὸς θορυβεῖται τοιούτου ὅταν παραπέσῃ. Αἰσχρορρημονείτω δὲ μηδείς, ὅπως ἂν μὴ προσοικειοῖ [d] τὴν διάνοιαν ἔργοις αἰσχροῖς, μηδὲ ἀναπιμπλῇ τὴν ψυχὴν ἀναιδείας καὶ μιασμάτων. Τὰ μὲν γὰρ εὐσχήμονα καὶ φίλα τοῖς οἰκείοις ὀνόμασι καὶ κειμένοις ὑπὸ τοῦ νόμου προσαγορεύομεν, πρὸς ἃ δ' ἐχθρῶς ἔχομεν, ἐξιστάμεθα καὶ τῆς προσηγορίας διὰ τὸ αἰσχρόν. Ἔστω δὲ καὶ αἰσχρὸν εἰπεῖν τὸ αἰσχρόν. Γυναῖκα δὲ τὴν κατὰ νόμους ἕκαστος στεργέτω καὶ ἐκ ταύτης τεκνοποιείσθω, εἰς ἄλλο δὲ μηδὲν προϊέσθω τέκνων τῶν αὐτοῦ σποράν· μηδὲ τὸ φύσει καὶ νόμῳ τίμιον ἀνόμως ἀναλισκέτω καὶ ὑβριζέτω. Ἡ γὰρ φύσις τεκνοποιίας ἕνεκεν οὐκ ἀκολασίας ἐποίησε τὴν σποράν.

---

consilii pœnam dabit geniis civitatis custodibus. Principes enim civitatem civiumque salutem custodiunt ac tuentur. Sed et principes juste civibus præesse oportet, tanquam liberis suis, inimicitiam amicitiamque et iram in judicando sopientes. Porro laudari ac celebrari debent qui locupletes quum sint tenuioribus opem ferunt, utpote liberorum patriæque defensorum conservatores. Subveniant autem iis qui fatorum acerbitate, non vitæ otiosæ et intemperantis culpa pauperes sunt. Nam fatum et fortuna omnium communia sunt, at vita otiosa et incontinens malorum hominum propria est. Item honestum judicetur indicare mali facinoris conscium, ut respublica incolumis permaneat multos habens formæ suæ bene compositæ custodes. Is vero qui indicat pius existimetur, etiamsi proximorum delicta efferat : nihil enim patria nobis conjunctius est. Patefacienda sunt autem non ea quæ inviti et imprudentes quidam commiserint sed quæ consulto peccaverint. Cæterum indicatus, si accusatori sua sponte inimicitias denuntiarit, a cunctis odio habeatur, ut pœnam det animi ingrati quo deserit medicum maximo morbo injustitiæ medicinam facientem. Sed maxima scelera putentur deorum contemtio, voluntaria parentum vexatio, principum legumque neglectio et voluntaria ignominia justitiæ illata. Quamobrem justissimus civis idemque sanctissimus judicetur qui hæc honorat et contemnentes apud cives et principes indicat. Pro patria mori magis decorum ducatur, quam vivendi cupiditate patriam et honestatem derelinquere. Præstat enim honesta morte occumbere quam turpiter et probrose vivere. Cæterum defunctorum unumquemque non lacrimis aut ejulatu, sed bona recordatione et fructuum quotannis nascentium munere honorare oportet, quia ingrati animi adversus inferos genios videtur nimis mœrere. Nemo autem immerito damnum passus ulla in re convicietur : nam pium hominem magis decent bona verba quam maledicta. Civis qui vicerit iram longe melior existimandus est illo qui propter iram delinquit. Quisquis templa et prætoria privatorum ædificiorum magnificentia superat, non laude, sed reprehensione dignus habeatur : nihil enim privatum splendidius et ornatius quam publica esse debet. Divitiis et pecuniæ serviens contemnatur ut sordidus et illiberalis stupidusque pretiosarum possessionum et vitæ mollis admirator humilisque animi homo esse existimetur. Quippe vir magnanimus quæ in rebus humanis evenire possint omnia secum præmeditatus nulla tali perturbatur fortuna, quando contigit. Cæterum turpia nemo loquatur, ne animum factis obscœnis adjiciat mentemque impudentia ac sceleribus compleat. Etenim quæ honesta et cara nobis sunt, aptis nominibus atque in lege scriptis appellamus, quæ vero odimus, ab eorum vel appellatione propter turpitudinem discedimus. Esto igitur turpe etiam rem turpem memorare. Uxorem legitimam unusquisque amet ex eaque liberos suscipiat, nec tamen ullo alio consilio effundat semen ad liberos procreandos destinatum, id quod natura et lege pretiosum est flagitiose consumens et ad stuprandas virgines convertens. Natura enim prolis generandæ, non lasciviæ causa semen produxit. Uxorem vero castam esse oportet, neque impium aliorum virorum coitum admittere, imper-

Γυναῖκα δὲ σωφρονεῖν χρὴ καὶ μὴ προσδέχεσθαι συνουσίαν ἀσεβῆ παρ' ἄλλων ἀνδρῶν, ὡς ἀπαντώσης νεμέσεως παρὰ δαιμόνων ἐξοικιστῶν καὶ ἐχθροποιῶν. Ὁ μητρυιὰν ἐπιγαμῶν μὴ εὐδοξείτω, ἀλλ' ὀνειδιζέσθω ὡς παραίτιος ὢν οἰκείας διαστάσεως. Χρὴ δὲ ἐμμένειν τοῖς εἰρημένοις, τὸν δὲ παραβαίνοντα ἔνοχον εἶναι τῇ πολιτικῇ ἀρᾷ. Προστάσσει δὲ ὁ νόμος ἐπίστασθαι τὰ προοίμια τοὺς πολίτας ἅπαντας, καὶ ἐν ταῖς ἑορταῖς μετὰ τοὺς παιᾶνας λέγειν ᾧ ἂν προστάσσῃ ὁ ἑστιάτωρ, ἵν' ἐμφυσιῶται ἑκάστῳ τὰ παραγγέλματα.

(Stobæus Flor. XLIV, 40 Χαρώνδα Καταναίου προοίμια νόμων. Emendavi : [a] τῷ; codd. τὸ vel τῷ. [b] ἥκιστα; codd. μάκιστα. [c] δύναμιν; codd. δυναμίαν. [d] προσοικειοῖ; codd. παροικοίη.)

10. Τοὺς κατοικοῦντας τὴν πόλιν καὶ τὴν χώραν πάντας πρῶτον πεπεῖσθαι χρὴ καὶ νομίζειν θεοὺς εἶναι, καὶ ἀναβλέποντας ἐς οὐρανὸν καὶ τὸν κόσμον καὶ τὴν ἐν αὐτοῖς διακόσμησιν καὶ τάξιν· οὐ γὰρ τύχης οὐδ' ἀνθρώπων εἶναι δημιουργήματα· σέβεσθαι δὲ τούτους καὶ τιμᾶν, ὡς αἰτίους ὄντας ἁπάντων ἡμῖν ἀγαθῶν τῶν κατὰ λόγον γιγνομένων. Ἕκαστον οὖν ἔχειν καὶ παρασκευάζειν δεῖ τὴν αὑτοῦ ψυχὴν πάντων τῶν κακῶν καθαράν· ὡς οὐ τιμᾶται θεὸς ὑπ' ἀνθρώπου φαύλου, οὐδὲ θεραπεύεται δαπάναις οὐδὲ τραγῳδίαις ἁλίσκεται [a], καθάπερ μοχθηρὸς ἄνθρωπος, ἀλλ' ἀρετῇ καὶ προαιρέσει τῶν καλῶν ἔργων καὶ δικαίων. Διὸ ἕκαστον δεῖ εἰς δύναμιν ἀγαθὸν εἶναι καὶ πράξει καὶ προαιρέσει τὸν μέλλοντα ἔσεσθαι θεοφιλῆ, καὶ μὴ φοβεῖσθαι τὰς εἰς χρήματα ζημίας μᾶλλον τῶν εἰς αἰσχύνην τεινόντων· καὶ πολίτην ἀμείνονα νομίζειν [b] τὸν τὴν οὐσίαν προϊέμενον μᾶλλον τοῦ καλοῦ καὶ δικαίου. Ὅσοις δὲ μὴ ῥᾴδιον πρὸς ταῦτα τὴν ὁρμὴν πεπεῖσθαι, τὴν δὲ ψυχὴν ἔχουσιν εὐκίνητον πρὸς ἀδικίαν, ὧδ' ἡμῖν παρηγγέλθω πᾶσι τοῖς τοιούτοις πολίταις καὶ πολίτισι καὶ ξυνοίκοις, μεμνῆσθαι θεῶν ὡς ὄντων καὶ δίκας ἐπιπεμπόντων τοῖς ἀδίκοις· καὶ τίθεσθαι πρὸ ὀμμάτων τὸν καιρὸν τοῦτον, ἐν ᾧ γίνεται τὸ τέλος ἑκάστῳ τῆς ἀπαλλαγῆς τοῦ ζῆν· πᾶσι γὰρ ἐμπίπτει μεταμέλεια τοῖς μέλλουσι τελευτᾶν, μεμνημένοις ὧν ἠδικήκασι καὶ ὁρμὴ τοῦ βούλεσθαι πάντα πεπρᾶχθαι δικαίως αὐτοῖς. Διὸ δεῖ ἕκαστον παρ' ἑκάστην πρᾶξιν ἀεὶ συνοικειοῦν τὸν καιρὸν τοῦτον ὡς δὴ παρόντα· οὕτω γὰρ ἂν μάλιστα τοῦ καλοῦ καὶ τοῦ δικαίου φροντιεῖν. Ἐὰν δέ τῳ παραστῇ δαίμων κακὸς τρέπων πρὸς ἀδικίαν, διατρίβειν πρὸς ναοῖς καὶ βωμοῖς καὶ τεμένεσι, φεύγοντα τὴν ἀδικίαν ὡς δέσποιναν ἀσεβεστάτην καὶ χαλεπωτάτην, ἱκετεύοντα τοὺς θεοὺς συναποτρέπειν αὐτήν. Ἰέναι δὲ καὶ πρὸς ἄνδρας δόξαν ἔχοντας ἐπ' ἀνδραγαθίᾳ, ἀκουσόμενον περὶ εὐδαίμονος βίου καὶ κακῶν ἀνδρῶν τιμωρίας, ἵνα ἀποτρέπηται τῶν ἀδίκων ἔργων δεισιδαιμονῶν δαίμονας ἀλάστορας. Πάντας δὲ τιμᾶν [c] τοὺς κατοικοῦντας τὴν πόλιν καὶ τοῖς ἄλλοις νομίμοις καὶ τοῖς πατρίοις [d] τοὺς θεούς· πάτρια δὲ εἶναι τὰ κάλλιστα. Πεπεῖσθαι δὲ τοῖς νό-

---

dente fatali a diis ultione qui modo ejiciunt homines et simultates faciunt. Qui novercam filiis inducit non laude, sed vituperatione dignus, ut domesticæ dissensionis auctor, videri debet. De reliquo necesse est unumquemque hæc præcepta servare, ab officio autem discedentem civili exsecrationi obnoxium esse. Jubet autem lex hæc procemia cives omnes tenere eaque diebus festis post pæanes memoriter dicere, cuicunque convivator id negotium mandaverit, ut singulorum animis monita hæc inhæreant.

10. Omnes qui urbem et regionem inhabitant primum persuasum habere et existimare oportet deos esse, cœlum etiam intuentes et mundum rerumque in iis ordinem atque ornatum : neque enim fortuita aut humana hujusmodi opera putare convenit : deinde colendi honorandique dii sunt ut bonorum omnium auctores quæ rationi convenienter nobis contingunt. Singulos igitur animum ab omnibus malis purum habere atque efficere decet : quia ab improbo homine non honoratur deus, neque sumtibus colitur neque tragœdiis capitur, tanquam homo malus, sed virtute justarumque et honestarum rerum studio. Quocirca unumquemque opus est pro viribus bonum esse tum factis tum voluntate qui modo futurus sit deo gratus neque pecuniarum jacturam metuere magis quam vitæ notas ac dedecora : et civem meliorem existimare qui opes potius quam honestatem et justitiam projicit. Cæterum illos quorum animi non facile ad hæc convertuntur quique mentem ad injustitiam pronam habent, simul viros simul mulieres, cives aliosque populares monitos velim meminisse deorum, ut qui et sint et pœnam ab injustis repetant atque ante oculos sibi ponere tempus illud quod unicuique finis est vitæ futurum : morituros enim omnes delictorum suorum memores pœnitentia invadit cupiditasque vitæ universæ, si fieri posset, justissime actæ. Quamobrem singulos oportet semper in singulis actionibus illi tempori tanquam præsenti assuescere : quia sic maxime honesti justique curam agent. Si quis vero a malo quopiam genio astante ad injustitiam incitetur, is ad templa, aras et delubra versetur, fugiens injustitiam velut dominam admodum impiam et infestam, deorumque opem ad eam propellendam imploret. Accedat quoque ad viros probitatis nomine claros, de vitæ felicitate et malorum hominum pœna disserentes auditurus, ut genios scelerum ultores metuens ab injustis facinoribus avertatur. Cæterum qui urbem habitant omnes deos cum aliis ritibus, tum patriis venerari debent, quoniam optimi existimantur. Præterea cunctos oportet legibus obedire, principes revereri iisque cedere et imperata facere : siquidem post deos et genios et heroes proximis honoribus afficiuntur parentes, leges ac principes apud homines cordatos et ad incolumitatem pervenire cupientes. Sed nemo aliam civita-

μοις ἅπαντας καὶ τοὺς ἄρχοντας αἰδεῖσθαι καὶ ἐξίστασθαι καὶ ποιεῖν τὸ παραγγελλόμενον· ὡς μετὰ θεοὺς καὶ δαίμονας καὶ ἥρωας γονεῖς τε καὶ νόμοι καὶ ἄρχοντες σύνεγγύς εἰσι ταῖς τιμαῖς παρ' ἀνθρώποις νοῦν ἔχουσι καὶ σωθησομένοις. Πόλιν δὲ φιλαιτέραν μηδεὶς ἄλλην ποιείσθω τῆς αὑτοῦ πατρίδος, ὡς θεῶν πατρῴων νεμεσώντων· ἀρχὴ γὰρ προδοσίας φύεται τοῖς τοιαῦτα βουλομένοις. Ἔτι δὲ χαλεπώτερον τῆς οἰκείας γῆς στερόμενον ζῆν ἐπ' ἀλλοτρίας· οὐδὲν γάρ ἐστιν οἰκειότερον πατρίδος. Μηδὲ ἐχθρὸν ἀκατάλλακτον μηδεὶς μηδένα νομιζέτω τῶν πολιτῶν, οἷς ἐφείκασιν οἱ νόμοι μετέχειν τῆς πολιτείας· ὡς ὁ τοιοῦτος οὔτε ἄρξαι δύναιτ' ἂν οὔτε δικάσαι καλῶς, τὸν θυμὸν ἔχων κυριώτερον τοῦ λογισμοῦ. Μηδεὶς δὲ λεγέτω κακῶς μήτε κοινῇ τὴν πολιν μήτε ἰδίᾳ τὸν πολίτην· ἀλλ' οἱ τῶν νόμων φύλακες ἐπιμελείσθωσαν τῶν πλημμελούντων, πρῶτον μὲν νουθετοῦντες, ἐὰν δὲ μὴ πείθωνται, ζημιοῦντες. Τῶν δὲ κειμένων νόμων ἐάν τις δοκῇ μὴ καλῶς κεῖσθαι, μετατιθέναι ἐπὶ τὸ βέλτιον· μενόντων δέ, πάντας πειθαρχεῖν· ὡς ὑπ' ἀνθρώπων μὲν ἡττᾶσθαι τοὺς κειμένους νόμους οὐ καλὸν οὐδὲ συμφέρον, ὑπὸ δὲ νόμου βελτίονος ἡττώμενον καταχρατεῖσθαι καὶ καλὸν καὶ συμφέρον. Τοὺς δὲ ταῦτα παραβαίνοντας χρὴ καὶ κολάζειν ὡς κατασκευάζοντας τῇ πόλει μεγίστων κακῶν ἀρχήν, ἀναρχίαν. Ἄρχοντας δὲ μὴ εἶναι αὐθάδεις, μηδὲ πρὸς ἐπήρειαν κρίνειν, μηδὲ μεμνῆσθαι κρίνοντας φιλίας ἢ ἔχθρας, ἀλλὰ τοῦ δικαίου· οὕτω γὰρ ἀποδώσουσι τὰς κρίσεις δικαιοτάτας καὶ τῆς ἀρχῆς ἔσονται ἄξιοι. Τοὺς μὲν οὖν δούλους προσήκει διὰ φόβον πράττειν τι τῶν δικαίων, τοὺς δ' ἐλευθέρους δι' αἰδῶ καὶ τὸ καλόν· διὸ χρὴ καὶ τοὺς ἄρχοντας εἶναι τοιούτους, ἵν' ἔχωσιν οἱ ἀρχόμενοι τοὺς ἀξίους αἰσχύνης. Ἐὰν δέ τις βούληται τῶν κειμένων νόμων κινεῖν ἢ ἄλλον εἰσφέρειν νόμον, εἰς βρόχον εἴρας τὸν τράχηλον λεγέτω τοῖς πολλοῖς περὶ αὐτοῦ· καὶ ἐὰν μὲν διαψηφιζομένων δόξῃ λελύσθαι τὸν νόμον ἢ ὑπάρχειν τὸν εἰσφερόμενον, καὶ αὐτὸν ἀθῷον εἶναι· ἐὰν δὲ ὁ προϋπάρχων μᾶλλον δοκῇ καλῶς ἔχειν ἢ ὁ εἰσφερόμενος ᾖ ἄδικος, τεθνάναι τὸν κινοῦντα ἢ εἰσφέροντα νόμον, ἐπισπασθέντος τοῦ βρόχου.

(Stobæus Flor. XLIV, 20-21 Ζαλεύκου προοίμιον νόμων. Emendavi : [a] ἁλίσκεται; codd. τῶν ἁλισκομένων. [b] νομίζειν; codd. ὀνομάζειν. [c] τιμᾷν τοὺς κατοικοῦντας cum Meinekio; codd. τιμῶν τοῖς οἱ κατοικοῦντες. [d] καὶ τοῖς πατρίοις cum eodem; libri τοῖς πατρίοις.)

11. Ζάλευκος ὁ τῶν Λοκρῶν νομοθέτης τοὺς νόμους ἔφησε τοῖς ἀραχνίοις ὁμοίους εἶναι. Ὥσπερ γὰρ εἰς ἐκεῖνα ἐὰν μὲν ἐμπέσῃ μυῖα ἢ κώνωψ κατέχεται, ἐὰν δὲ σφὴξ ἢ μέλιττα διαῤῥήξασα ἀφίπταται· οὕτω καὶ εἰς τοὺς νόμους ἐὰν μὲν ἐμπέσῃ πένης συνέχεται, ἐὰν δὲ πλούσιος ἢ δυνατὸς λέγειν διαῤῥήξας ἀποτρέχει.

(Stobæus Flor. XLV, 25 Ζαλεύκου.)

---

tem majori amicitia sibi conjungat quam patriam, utpote diis patriis indignantibus : nam talia molientibus in animo proditionis initium oritur. Est vero etiam acerbius patria carentem in aliena regione vitam degere : nihil enim nobis natura conjunctius quam patria est. Nemo vero quemquam pro implacabili inimico e civium numero habeat, quos leges reipublicæ participes esse voluerunt : quippe talis vir neque imperare neque judicare recte poterit, ut cui ira potior sit ratione. Nemo etiam maledicat neque in commune universæ civitati neque privatim ulli civi : sed legum custodes eorum qui delinquunt curam agant, admonendo primum, deinde nisi paruerint, multando. Quodsi qua ex conditis legibus visa fuerit non bene lata esse, in melius mutetur : confirmatis vero et permanentibus omnes obtemperent : nam positas leges ab hominibus vinci nec decet nec conducit, contra homines superari a lege præstantiori qua par est qua utile. At ista egredientes puniendi sunt, ut maximæ calamitatis principium civitati machinantes, principum legumque irreverentiam. Principes autem neque superbi esse debent, neque contumeliose judicare, neque in judicando amicitiæ inimicitiæve, sed justitiæ meminisse : ita enim judicia æquissima facient et imperio digni erunt. Ac servos quidem convenit ob timorem aliquid juste facere, liberos vero propter reverentiam et honestatem : quocirca principes quoque tales esse oportet, ut civibus digni verecundia videantur. Quodsi quis volet leges constitutas abrogare vel novam ferre, is collo in laqueum inserto de lege verba ad multitudinem faciat : ac si ferente suffragia populo vetus illa lex antiquata videatur aut ea quæ rogatur bona esse, indemnis evadat : contra si prior lex melius se habere videatur, aut nova de qua agitur injusta sit, is qui rescindit vel rogat legem laqueo adducto moriatur.

11. Zaleucus Locrensium legumlator leges dixit similes esse aranearum telis. Nam sicut in illas si musca aut culex inciderit, retinetur, si vero vespa aut apis, perrupta tela avolat : ita legibus implicati pauperes tenentur, ditiores aut eloquentes perruptis legibus aufugiunt.

ΑΝΩΝΥΜΟΥ ΤΙΝΟΣ ΔΙΑΛΕΞΕΙΣ ΗΘΙΚΑΙ
ΔΩΡΙΣΤΙ ΣΥΓΓΕΓΡΑΜΜΕΝΑΙ.

INCERTI CUIUSDAM DISPUTATIONES MORALES
DORICE CONSCRIPTÆ.

ΔΙΑΛΕΞΙΣ Α.

Περὶ ἀγαθῶ καὶ κακῶ.

Δισσοὶ λόγοι λέγονται ἐν τᾷ Ἑλλάδι ὑπὸ τῶν φιλοσοφούντων περὶ τῶ ἀγαθῶ καὶ τῶ κακῶ. Τοὶ μὲν γὰρ λέγοντι, ὡς ἄλλο μέν ἐστι τὸ ἀγαθόν, ἄλλο δὲ τὸ κακόν· τοὶ δέ, ὡς τὸ αὐτό ἐστι, καὶ τοῖς μὲν ἀγαθὸν εἴη, τοῖς δὲ κακόν, καὶ τῷ αὐτῷ ἀνθρώπῳ τότε μὲν ἀγαθόν, τότε δὲ κακόν. Ἐγὼ δὲ καὶ αὐτὸς τοῖσδε ποτιτίθεμαι· σκέψομαι δὲ ἐκ τῶ ἀνθρωπίνω βίω, ὧν ἐπιμελής, βρώσιός τε καὶ πόσιος καὶ ἀφροδισίων. Ταῦτα γὰρ ἀσθενοῦντι μὲν κακά ἐστιν, ὑγιαίνοντι δὲ καὶ δεομένῳ ἀγαθά. Καὶ ἀκρασία τοίνυν τούτων τοῖς μὲν ἀκρατέσι κακόν, τοῖς δὲ ἰατροῖς ἀγαθόν. Ὁ τοίνυν θάνατος τοῖς μὲν ἀποθανοῦσι κακόν, τοῖς δ' ἐνταφιοπώλαις καὶ τυμβοποιοῖς ἀγαθόν. Γεωργία τε καλῶς ἐξενείκασα τὼς καρπὼς τοῖς μὲν γεωργοῖς ἀγαθόν, τοῖς δὲ ἐμπόροις κακόν. Τὰς τοίνυν ὁλκάδας συντρίβεσθαι καὶ παραθραύεσθαι τῷ μὲν ναυκλήρῳ κακόν, τοῖς δὲ ναυπηγοῖς ἀγαθόν. Ἔτι τὸν σίδηρον κατέσθεσθαι καὶ ἀμβλύνεσθαι καὶ συντρίβεσθαι τοῖς μὲν ἄλλοις κακόν, τῷ δὲ χαλκῆϊ ἀγαθόν. Καὶ μὰν τὸν κέραμον παραθραύεσθαι τοῖς μὲν ἄλλοις κακόν, τοῖς δὲ κεραμεῦσιν ἀγαθόν. Τὰ δὲ ὑποδήματα κατατρίβεσθαι καὶ διαῤῥήγνυσθαι τοῖς μὲν ἄλλοις κακόν, τῷ δὲ σκυτῆϊ ἀγαθόν. Ἐν τοίνυν τοῖς ἀγῶσι τοῖς γυμναστικοῖς καὶ τοῖς μωσικοῖς καὶ τοῖς πολεμικοῖς, αὐτίκα ἐν τῷ γυμνικῷ τῷ σταδιοδρόμῳ ἁ νίκα τῷ μὲν νικῶντι ἀγαθόν, τοῖς δὲ ἡσσαμένοις κακόν. Καὶ τοῦτο δὲ καὶ τοὶ παλαισταὶ καὶ πύκται καὶ τοὶ ἄλλοι πάντες μωσικοί· αὐτίκα ἁ κιθαρῳδία τῷ μὲν νικῶντι ἀγαθόν, τοῖς δὲ ἡσσαμένοις κακόν. Ἔν τε τῷ πολέμῳ καὶ (τὰ νεώτατα πρῶτον ἐρῶ) [a] ἁ τῶν Λακεδαιμονίων νίκα, ἐν ᾇ ἐνίκων τὼς Ἀθηναίως καὶ τὼς συμμάχως, Λακεδαιμονίοις μὲν ἀγαθόν, Ἀθηναίοις δὲ καὶ τοῖς συμμάχοις κακόν· ἅ τε νίκα, ἂν τοὶ Ἕλλανες [b] τὸν Πέρσαν ἐνίκασαν, τοῖς μὲν Ἕλλασιν ἀγαθόν, τοῖς δὲ βαρβάροις κακόν. Ἁ τοίνυν τοῦ Ἰλίου αἵρεσις τοῖς μὲν Ἀχαιοῖς ἀγαθόν, τοῖς δὲ Τρωσὶ κακόν. Καδδὲ ταυτὸ καὶ τὰ τῶν Θηβαίων καὶ τὰ τῶν Ἀργείων πάθη, καὶ ἁ τῶν Κενταύρων καὶ Λαπιθῶν μάχα τοῖς μὲν Λαπίθαις ἀγαθόν, τοῖς δὲ Κενταύροις κακόν. Καὶ μὰν καὶ ἁ τῶν θεῶν καὶ Γιγάντων λεγομένα μάχα καὶ νίκα τοῖς μὲν θεοῖς ἀγαθόν, τοῖς δὲ Γίγασι κακόν.

DISPUTATIO I.

De bono et malo.

Duplex fertur in Græcia philosophorum sententia de bono et malo. Etenim quidam existimant aliud plane bonum, aliud malum : nonnulli vero idem utrumque, sed his bonum, illis malum, eidemque homini aliquando bonum, aliquando malum. Ego vero et ipse hisce assentior : considerabo autem res illas quarum studiosa est hominum vita, cibum, potum, venerem. Hæc enim ægrotanti quidem mala, sano autem et indigenti bona. Et horum usus nimius intemperantibus ipsis malum, sed medicis bonum. Porro mors defunctis quidem malum, sed libitinariis et tumulos struentibus bonum. Agrorum etiam bene cultorum fertilitas agricolis quidem bonum, mercatoribus vero malum. Quassæ fractæque naves naviculario malum, at navium fabricatoribus bonum. Præterea ensis consumtus et obtusus et fractus aliis quidem malum, sed fabro armorum bonum. Quin etiam fictilia fracta cæteris quidem malum, figulis vero bonum. Calcei attriti et dirupti aliis certe malum, at sutori bonum. Ad hoc in ludis gymnicis et musicis et militaribus, verbi causa in stadio gymnico victoria cursu reportata vincenti bonum, victis vero malum. Eademque ratio est luctatorum et pugilum nec non cæterorum omnium musicorum : velut citharœdica modulatio vincenti quidem bonum, superatis autem malum. Sic etiam in bello (ut recentissima primum commemorem) Lacedæmoniorum victoria, quam ex Atheniensibus eorumque sociis rettulerunt, ipsis quidem bonum, Atheniensibus et sociis malum : et victoria qua Græci Persas fuderunt ipsis bonum, at barbaris malum. Sic Ilii expugnatio Achæis bonum, Trojanis malum. Idem dicendum de miseriis quæ Thebanis et Argivis acciderunt : insuper quod inter Lapithas et Centauros commissum est prœlium Lapithis quidem bonum, Centauris vero malum. Quin etiam pugna qua deos cum gigantibus de-

Ἄλλος δὲ λόγος λέγεται, ὡς ἄλλο μὲν τἀγαθὸν εἴη, ἄλλο δὲ κακόν, διαφέρον, ὥσπερ καὶ τὤνυμα, οὕτω καὶ τὸ πρᾶγμα. Ἐγὼ δὲ καὶ αὐτὸ τοῦτον διαιρεῦμαι τὸν τρόπον· δοκῶ γὰρ οὐ διάδαλον ἦμεν, ποῖον ἀγαθὸν καὶ ποῖον κακόν, αἰ τὸ αὐτὸ καὶ μὴ ἄλλο ἑκάτερον εἴη· καὶ γὰρ θαυμαστόν κ' εἴη. Οἶμαι δὲ οὐδέν κ' αὐτὸν ἔχεν ἀποκρίνασθαι, αἴ τις αὐτὸν ἔροιτο τὸν ταῦτα λέγοντα· Εἶπὸν δή μοι, ἤδη τι τὼς γονέας ἀγαθὸν ἐποίησας; φαίη κα, καὶ πολλὰ καὶ μεγάλα. Τὺ ἄρα κακὰ καὶ μεγάλα καὶ πολλὰ τούτοις ὀφείλεις, αἴπερ τωυτόν ἐστι τὸ ἀγαθὸν τῷ κακῷ. Τί δέ, τὼς συγγενέας ἤδη τι ἀγαθὸν ἐποίησας; τὼς ἄρα συγγενέας κακὸν ἐποίεις. Τί δέ, τὼς ἐχθρὼς ἤδη κακῶς ἐποίησας; καὶ πολλὰ καὶ μεγάλα. Ἄρα ἀγαθὰ ἐποίησας. Ἄγε καὶ δή μοι καὶ τόδε ἀπόκριναι· ἄλλο τι ἢ [c] τὼς μὲν πτωχὼς οἰκτείρεις, ὅτι πολλὰ καὶ μεγάλα ἔχοντι κακά, τὼς δὲ πλουσίως πάλιν εὐδαιμονίζεις, ὅτι πολλὰ καὶ ἀγαθὰ πράσσοντι, αἴπερ τωυτὸν καὶ κακὸν καὶ ἀγαθόν; Τὸν δὲ βασιλέα τὸν μέγαν οὐδὲν κωλύει ὁμοίως διακεῖσθαι τοῖς πτωχοῖς. Τὰ γὰρ πολλὰ καὶ μεγάλα ἀγαθὰ αὐτῷ πολλὰ κακὰ καὶ μεγάλα ἐστίν, αἴκα τωυτόν ἐστι τἀγαθὸν καὶ κακόν. Καὶ τάδε μὲν περὶ τῶ παντὸς εἰρήσθω. Εἶμι δὲ καὶ καθ' ἕκαστον, ἀρξάμενος ἀπὸ τῶ ἐσθίεν καὶ πίνεν καὶ ἀφροδισιάζεν. Ταῦτα γὰρ [d] τοῖς ἀσθενέουσι πάντα [e] ποιὲν ἀγαθόν ἐστιν αὐτοῖς καὶ κακόν [f], αἴπερ τωυτόν ἐστιν ἀγαθὸν καὶ κακόν· καὶ τοῖς νοσέουσι κακόν ἐστι τὸ νοσὲν καὶ ἀγαθόν, αἴπερ τωυτόν ἐστι τὸ ἀγαθὸν τῷ κακῷ. Καὶ δὲ τόδε καὶ ἄλλα πάντα τὰ ἐν τῷ ἔμπροσθεν λόγῳ εἴρηται. Καὶ οὐ λέγω, τί ἐστι τὸ ἀγαθόν, ἀλλὰ τοῦτο πειρῶμαι διδάσκειν, ὡς οὐ τωυτὸν εἴη κακὸν καὶ ἀγαθόν, ἀλλ' ἑκάτερον.

(Scripsi : [a] καὶ τὰ νεώτατα πρῶτον ἐρῶ cum Kœnio ad Greg. Cor. p. 239 ed. Schæfer.; codd. καὶ τᾷ νεότατι πρῶτον ἐρῶ. [b] ἂν τοὶ Ἕλλανες; codd. ἄν τε Ἕλλανες. [c] ἄλλο τι ἢ τὼς μὲν πτωχὼς οἰκτείρεις, ὅτι πολλὰ καὶ μεγάλα ἔχοντι κακά, τὼς δὲ πλουσίως πάλιν εὐδαιμονίζεις; libri ἄλλο τι ἢ τὼς πτωχὼς οἰκτείρεις, ὅτι πολλὰ καὶ μεγάλα ἔχοντι· πάλιν εὐδαιμονίζεις. [d] ταῦτα γάρ; cod. τοῦτο γάρ. [e] πάντα ποιὲν; codd. ταῦτα ποιέν. [f] αὐτοῖς καὶ κακόν, αἴπερ; codd. αὐτοῖς, αἴπερ.)

ΔΙΑΛΕΞΙΣ Β.

Περὶ καλῶ καὶ αἰσχρῶ.

Λέγονται δὲ καὶ περὶ τῶ καλῶ καὶ αἰσχρῶ δισσοὶ λόγοι. Τοὶ μὲν γὰρ φαντί, ἄλλο μὲν ἦμεν τὸ καλόν, ἄλλο δὲ τὸ αἰσχρόν, διαφέρον, ὥσπερ καὶ τὤνυμα, οὕτω καὶ τὸ πρᾶγμα· τοὶ δὲ τωυτὸ καλὸν καὶ αἰσχρόν. Κἀγὼ πειρασοῦμαι τόνδε τὸν τρόπον ἐξαγεύμενος. Αὐτίκα γὰρ παιδίῳ ὡραίῳ ἐραστᾷ μὲν χρηστῷ χαρίζεσθαι καλόν, μὴ ἐραστᾷ δὲ καλῷ αἰσχρόν. Καὶ τὰς γυναῖκας λοῦσθαι ἔνδον καλόν, ἐν παλαίστρᾳ δὲ αἰσχρόν· ἀλλὰ τοῖς ἀνδράσιν ἐν παλαίστρᾳ καὶ ἐν γυμνασίῳ καλόν. Καὶ συνίμεν τῷ ἀνδρί, ἐν ἀσυχίᾳ μὲν καλόν, ὅπου τοίχοις κρυφθήσεται· ἔξω δὲ αἰσχρόν,

---

certasse ferunt et parta victoria diis sane bonum, sed gigantibus malum. Altera sententia affirmantis est aliud quid bonum, aliud malum esse, non nomine magis quam re ipsa diversum. Ego vero et illud hoc modo explico : credo equidem nobis non constare posse, quæ res bona quæve mala sit, si idem esset utrumque, non diversum quid : mirum enim hoc foret. Nec puto habiturum quod respondeat, si quis hæc dicentem ita interroget : *Dic mihi, quæso, num quid boni parentibus jam præstiteris?* Reponet forsitan : *Et multa et præclara. Tu igitur propterea vicissim graves pœnas illis dare debes, si idem bonum malumque putandum est. Quid autem? propinquos bono quopiam jam affecisti? Eosdem igitur et malo. Quid vero? jamne inimicis calamitatem intulisti? Et insignem quidem. Ergo multis et præclaris bonis eos cumulasti.* Age vero et illud mihi responde : *Numquid pauperum te miseret, quod multis et ingentibus incommodis conflictantur, divites contra beatos prædicas, quod opibus et copiis affluunt, si idem malum et bonum?* Profecto nihil obstat, quominus magnus Persarum rex eadem sit conditione qua egeni. Nam multa et magna bona quibus abundat in mala non minora mutantur, si idem est bonum et malum. Atque hæc quidem de summa rerum dicta sufficiant. Sed et singula illa percurram, a cibo, potu et venere orsus. Harum enim omnium rerum usus infirmis et bonum est et malum, siquidem idem habetur bonum et malum : parique ratione ægrotantibus morbus simul est malum et bonum, siquidem bonum non differt a malo. In hanc sententiam autem etiam cætera omnia quæ superiori sermone continentur dicta sunt. Interim tamen quid bonum sit non definio, id solum docere conatus, non esse idem bonum et malum, sed alterutrum.

DISPUTATIO II.

De honesto et turpi.

Duo etiam feruntur sermones de honesto ac turpi. Nam quidam aliud esse honestum aiunt, aliud turpe, tam re quam nomine diversum : nonnulli vero idem honestum ac turpe. Atque ego quidem rem in hunc modum explicare tentabo. Verbi causa puerum formosum amatori probo gratificari decorum est, non probo autem turpe : item mulieres domi lavari decorum, in palæstra turpe; sed viros id in palæstra et gymnasio facere decorum. Porro mulierem cum viro coire, remotis arbitris, ubi intra parietes lateat, decorum : extra vero in cujuspiam

ὅπου τις ὄψεται. Καὶ τὸ μὲν αὐτᾶς συνίμεν ἀνδρὶ καλόν· ἀλλοτρίῳ δὲ αἴσχιστον. Καὶ τῷ γε ἀνδρί, τᾷ μὲν ἑαυτῶ γυναικὶ συνίμεν καλόν· ἀλλοτρίᾳ δὲ αἰσχρόν. Καὶ κοσμεῖσθαι καὶ ψιμμυθίῳ χρίεσθαι, καὶ χρυσία περιάπτεσθαι, τῷ μὲν ἀνδρὶ αἰσχρόν, τᾷ δὲ γυναικὶ καλόν. Καὶ τὼς μὲν φίλως εὖ ποιὲν καλόν· τὼς δὲ ἐχθρὼς αἰσχρόν. Καὶ τὼς μὲν πολεμίως φεύγεν αἰσχρόν· τὼς δὲ ἐν σταδίῳ ἀνταγωνιστὰς καλόν. Καὶ τὼς μὲν φίλως καὶ τὼς πολίτας φονεύεν αἰσχρόν· τὼς δὲ πολεμίως καλόν. Καὶ τάδε μὲν περὶ πάντων. Εἶμι δ' ἐφ' ἃ ταὶ πόλιές τε αἰσχρὰ ἄγηνται καὶ τὰ ἔθνεα. Αὐτίκα Λακεδαιμονίοις τὰς κόρας γυμνάζεσθαι ἀχειριδώτως, καὶ ἀχίτωνας παρέρπεν, καλόν· Ἴωσι δὲ αἰσχρόν. Καὶ τὼς παῖδας μὴ μανθάνειν μωσικὰ καὶ γράμματα καλόν· Ἴωσι δ' αἰσχρὸν μὴ ἐπίστασθαι ταῦτα πάντα. Παρὰ [a] Θεσσαλοῖσι δὲ καλὸν τὼς ἵππως ἐκ τᾶς ἀγέλας λαβόντι, αὐτὼς δαμάσαι καὶ τὼς ὀρέας· βῶς τε λαβόντι, αὐτὼς σφάξαι καὶ ἐκδεῖραι καὶ κατακόψαι· ἐν Σικελίᾳ δὲ αἰσχρόν, καὶ δώλων ἔργα. Μακεδόσι καλὸν δοκεῖ ἦμεν τὰς κόρας, πρὶν ἀνδρὶ γάμασθαι, ἐρᾶσθαι καὶ ἀνδρὶ συγγίνεσθαι· ἐπεὶ δὲ καὶ γαμεῖται, αἰσχρόν· Ἕλλασι δ' ἄμφω αἰσχρόν. Τοῖς δὲ Θραξὶ κόσμος τὰς κόρας στίζεσθαι. Τοὶ δὲ Σκύθαι καλὸν νομίζοντι, ὃς ἄνδρα κανών, ἐκδείρας τὰν κεφαλάν, τὸ μὲν κόμιον πρὸ τοῦ ἵππου φορεῖ, τὸ δ' ὀστέον χρυσώσας καὶ ἀργυρώσας πίνει ἐξ αὐτοῦ, καὶ σπένδει τοῖς θεοῖς· ἐν δὲ τοῖς Ἕλλασιν οὐδέ κ' ἐς τὰν αὐτὰν οἰκίαν συνεισελθεῖν βούλοιτ' ἄν τις τοιαῦτα ποιήσαντι. Μασσαγέται δὲ τὼς γονέας κατακόψαντες κατεσθίοντι, καὶ τάφος κάλλιστος δοκεῖ ἦμεν, ἐν τοῖς τέκνοις τεθάφθαι· ἐν δὲ τᾷ Ἑλλάδι ἄν τις ταῦτα ποιήσῃ, ἐξελαθεὶς ἐκ τῆς Ἑλλάδος κακὰ ἀποθάνῃ ὡς αἰσχρὰ καὶ δεινὰ ποιέων. Τοὶ δὲ Πέρσαι κοσμεῖσθαί τε, ὥσπερ τὰς γυναῖκας, καὶ τὼς ἄνδρας καλὸν νομίζοντι, καὶ τᾷ θυγατρὶ καὶ τᾷ ματρὶ καὶ τᾷ ἀδελφᾷ συνίμεν· τοὶ δὲ Ἕλλανες καὶ αἰσχρὰ καὶ παράνομα. Λυδοῖς τοίνυν τὰς κόρας πορνευθείσας καὶ ἀργύριον ἐργάσασθαι [b], καὶ οὕτω γάμασθαι καλὸν δοκεῖ ἦμεν· ἐν δὲ τοῖς Ἕλλασιν οὐδείς κα θέλοι [c] γαμεῖν. Αἰγύπτιοί τε οὐ ταυτὰ νομίζοντι καλὰ τοῖς ἄλλοις. Τῆδε μὲν γὰρ γυναῖκας ὑφαίνεν καὶ ἔρια ἐργάζεσθαι [d], ἀλλὰ τηνεὶ τὼς ἄνδρας, τὰς δὲ γυναῖκας πράσσειν, ἅπερ τῆδε τοὶ ἄνδρες. Τὸν παλὸν δεύειν ταῖς χερσί, τὸν σῖτον τοῖς ποσί, τήνοις καλόν· ἀλλ' ἁμῖν τὸ ἐναντίον. Οἶμαι δ' ἄν τις τὰ καλὰ εἰς ἓν κελεύῃ συνενεῖκαι πάντας ἀνθρώπως, ἃ ἕκαστοι νομίζοντι, καὶ πάλιν ἐξ ἀθρόων τοι τὰ αἰσχρὰ λαβέν, ἃ ἕκαστοι ἄγηνται, οὐδέν κα λειφθῆμεν [e], ἀλλὰ πάντας πάντα διαλαβέν. Οὐ γὰρ πάντες ταυτὰ νομίζοντι. Παρεξοῦμαι δὲ καὶ ποίημά τι·

> Καὶ γὰρ τὸν ἄλλον ὧδε θνητοῖσιν νόμον
> ὄψει, διαθρῶν [f] οὐδὲν ὂν πάντῃ καλόν,
> οὐδ' αἰσχρόν· ἀλλὰ ταὔτ' ἐποίησεν λαβὼν
> ὁ καιρὸς αἰσχρά, καὶ διαλλάξας καλά.

Ὡς δὲ τὸ σύνολον εἰπέν, πάντα καιρῷ μὲν καλά ἐντι,

---

conspectu indecorum. Insuper eam cum suo marito coire, decorum est: cum alieno turpissimum. Præterea virum cum sua uxore concubare decet: cum aliena dedecet. Virum etiam dedecet comtum et cerussatum et auro ornatum incedere, sed mulierem decet. Sic amicis bene facere honestum est, inimicis turpe. Similiter hostes fugere turpe: adversarios autem in stadio honestum putatur. Amicos denique et cives necare turpe, at hostes honestum. Atque hæc quidem de omnibus in universum a me dici liquet. Transibo autem ad ea quæ civitates et gentes turpia duxere. Exempli causa Lacedæmoniis puellas nudis brachiis exerceri depositaque tunica arrepere decorum videtur: at Ionibus indecorum. Iisdem pueros æque musicam ignorare ac litteras decorum est: Ionibus vero turpe hæc omnia nescire. Thessali honestum putant equos et mulos ex armento abactos domare, bovesque raptos mactare et pelle detracta discindere: hæc autem Siculi turpia et servorum opera esse arbitrantur. Macedones decorum existimant puellas nondum collocatas amari atque a viris comprimi: post nuptias vero eas cum aliis consuescere indecorum habent: Græcis utrumque turpe est. Thraces puellis notas inustas ornamento esse credunt. Ad hoc Scythæ honestum judicant, si quis hominem occiderit, capitique cutem detraxerit, ejus partem crinitam ante equum gestare, ex ossea autem parte auro et argento obducta bibere ac diis libamenta dare: apud Græcos autem nemo easdem ædes ingredi voluerit cum viro qui talia fecerit. Rursus Massagetæ parentes suos obtruncatos comedunt, et optima videtur sepultura in liberorum visceribus condi: at in Græcia si quis tale quippiam fecerit, in exsilium ejectus, ut turpis et horrendi facinoris auctor, male peribit. Persæ viros etiam mulierum in morem ornari decorum putant et cum filia, matre ac sorore coire: at Græci turpia hæc et illicita esse censent. Lydis puellas, quum vulgato corpore pecuniam fecerint, ita tandem nubere decorum videtur: apud Græcos autem nemo talem uxorem ducere velit. Ægyptii non eadem statuunt honesta quæ cæteræ gentes. Apud nos enim mulieres texere et lanificio operam dare decorum, ibi autem viros; adde quod mulieres officiis funguntur quæ in nostris regionibus viri faciunt. Lutum manibus, panem vero pedibus subigere, illis honestum videtur; nos contrariam sententiam sequimur. Existimo autem si quis omnes homines unum in locum congerere jubeat, quæ singuli honesta putant, et rursus ex illa congerie demere quæ unicuique turpia videntur, nihil relictum iri, sed omnes omnia sigillatim accepturos. Non enim eadem omnium instituta sunt. Afferam in hanc rem et poetæ verba:

> Namque alias hoc loco leges hominibus datas
> videbis; hinc disces nihil omnino neque honestum,
> neque turpe esse, sed hæc efficere venientem
> occasionem turpia et vicissim honesta.

Ut in universum autem dicam, cuncta suo tempore ho-

ἐν ἀκαιρίᾳ δ' αἰσχρά. Τί δ' ὧν διεπραξάμην; ἔφαν ἀποδείξεν ταυτὰ αἰσχρὰ καὶ καλὰ ὄντα· καὶ ἀπέδειξα ἐν τούτοις πᾶσι. Λέγεται δὲ καὶ περὶ τῶ αἰσχρῶ καὶ καλῶ, ὡς ἄλλο ἑκάτερον εἴη· ἐπεὶ αἴ τις ἐρωτάσῃ τὼς λέγοντας, ὡς τὸ αὐτὸ πρᾶγμα αἰσχρὸν καὶ καλὸν ἐστιν, αἴ ποκά τι αὐτοῖς καλὸν εἴργασται, αἰσχρὸν ὁμολογησοῦντι, αἴπερ τωυτὸν καὶ τὸ αἰσχρὸν καὶ τὸ καλόν. Καὶ αἴ τινα καλὸν οἴδαντι ἄνδρα, τοῦτον καὶ αἰσχρὸν τὸν αὐτόν· καὶ αἴ τινα λευκόν, καὶ μέλανα τοῦτον τὸν αὐτόν. Καὶ καλόν γ' ἐστὶ τὼς θεὼς σέβεσθαι, καὶ αἰσχρὸν ἄρα τὼς θεὼς σέβεσθαι, αἴπερ τωυτὸν αἰσχρὸν καὶ καλόν ἐστι. Καὶ τάδε μὲν περὶ ἁπάντων εἰρήσθω μοι· τρέψομαι δὲ ἐπὶ τὸν λόγον αὐτῶν, ὃν λέγοντι. Αἰ γὰρ τὰν γυναῖκα καλόν ἐστι κοσμεῖσθαι, τὰν γυναῖκα αἰσχρὸν κοσμεῖσθαι, αἴπερ τωυτὸν αἰσχρὸν καὶ καλόν· καὶ τἄλλα κατὰ τωυτόν. Ἐν Λακεδαίμονί ἐστι καλὸν τὰς παῖδας γυμνάζεσθαι, ἐν Λακεδαίμονί ἐστι αἰσχρὸν τὰς παῖδας γυμνάζεσθαι· καὶ τἄλλα οὕτως. Λέγοντι δέ, ὡς αἴ τινες τὰ αἰσχρὰ ἐκ τῶν ἐθνέων πάντοθεν συνενείκαιεν, ἔπειτα συγκαλέοντας κελεύοιεν, ἅ τις καλὰ νομίζει, λαμβάνεν, πάντα κα[g] ἐν καλῷ ἀπενειχθῆμεν· ἐγὼ θαυμάζω, αἰ τὰ αἰσχρὰ συνενεχθέντα καλὰ ἐσεῖται, καὶ οὐχ οἷάπερ ἦνθεν. Αἰ γοῦν ἵππως, ἢ βῶς, ἢ ὄϊς, ἢ ἀνθρώπως ἄγαγον, οὐκ ἄλλο τί κα ἀπάγαγον· ἐπεὶ οὐδὲ αἰ χρυσὸν ἤνεικαν, χαλκὸν ἂν[h] ἀπήνεικαν, οὐδὲ αἰ ἀργύριον ἤνεικαν, μόλυβδόν κα ἀπέφερον. Ἀντὶ δ' ἄρα τῶν αἰσχρῶν καλὰ ἀπάγαγον[i]. Φέρε δή, αἰ ἄρα τις αἰσχρὸν ἄγαγε[k], τοῦτον ἂν καλὸν ἀπάγαγε; Ποιητὰς δὲ μάρτυρας ἐπάγονται, οἳ ποτὶ ἁδονάν, οὐ ποτ' ἀλάθειαν ποιοῦντι.

(Scripsi : [a] παρὰ; quæ vox in membranis desideratur. [b] ἐργάσασθαι; cod. ἐνεργήσασθαι. [c] θέλοι; cod. θέλει. [d] ἔρια ἐργάζεσθαι cum Valckenario ad Eurip. Phœn. p. 268; vulgo ἔρια omittitur. [e] κα λειφθῆμεν cum Porsono Adversar. pag. 269 ed. Lips.; cod. καλυφθῆμεν. [f] διαθρῶν cum Valckenario l. c.; libri διαιρῶν. [g] κα cum Orellio; καὶ libri. [h] ἂν; deest in membranis. [i] ἀπάγαγον; libri ἀπαγαγόντι. [k] ἄγαγε; libri ἀπάγαγε.)

ΔΙΑΛΕΞΙΣ Γ.

Περὶ δικαίω καὶ ἀδίκω.

Δισσοὶ δὲ λόγοι λέγονται καὶ περὶ τῶ δικαίω καὶ περὶ τῶ ἀδίκω. Καὶ τοὶ μὲν ἄλλο ἦμεν τὸ δίκαιον, ἄλλο δὲ τὸ ἄδικον· τοὶ δὲ τωυτὸ δίκαιον καὶ ἄδικον· καὶ ἐγὼ τούτῳ πειράσομαι τιμωρεῖν. Καὶ πρῶτον μὲν τὸ ψεύδεσθαι ὡς δίκαιόν ἐστι λεξῶ, καὶ τὸ ἐξαπατᾶν. Τὼς μὲν πολεμίως ταῦτα ποιέν, αἰσχρὸν καὶ πονηρὸν ἂν ἐξείποιεν, τὼς δὲ φιλτάτως, οὔ, αὐτίκα τὼς γονέας. Αἰ γὰρ δέοι τὸν πατέρα ἢ τὰν ματέρα φάρμακόν τι ἐγκαταφαγέν, καὶ μὴ θέλοι, οὐ δίκαιόν ἐστι καὶ ἐν τῷ ῥοφήματι καὶ ἐν τῷ ποτῷ δόμεν, καὶ μὴ φάμεν ἐνῆμεν; Οὐκῶν ἤδη ψεύδεσθαι καὶ ἐξαπατᾶν τὼς γονέας, καὶ κλέπτεν μὰν τὰ τῶν φίλων καὶ

---

nesta sunt, alieno turpia. Quid igitur effeci? dixi velle me demonstrare, eadem esse turpia et honesta idque omni hac disputatione probavi. Cæterum alius etiam fertur sermo de turpi et honesto, quo utrumque diversum quid esse statuitur : quoniam si quis interrogaverit eos qui turpe et honestum idem esse affirmant, num quid honestum unquam egerint, et istud turpe esse confitebuntur, siquidem turpe et honestum idem est. Ac si virum quendam honestum cognoverint, eundem etiam turpem : si album quempiam, eundem nigrum quoque. Certe honestum est deos venerari; ergo turpe quoque deos venerari, siquidem idem deforme ac decorum est. Atque hæc quidem de omnibus dixisse contentus, ad rationes quas illi afferunt sermonem convertam. Si enim mulierem ornari decet, mulierem dedecet ornari, siquidem idem deforme ac decorum, parique ratione cætera. Lacedæmone decet puellas exerceri, Lacedæmone dedecet puellas exerceri, cæteraque eodem modo. Dicunt autem, si qui turpia ex omni undique gente unum in locum congerant, deinde convocatos jubeant, quæ singuli honesta putent inde demere, cuncta pro honestis ablatum iri : ego vero miror, si turpia in medium allata honesta sunt ac non qualia apportabantur. Nam si equos vel boves, vel oves vel homines adduxissent, non aliud abducturi erant, quoniam neque si aurum apportassent æs domum referrent, neque si argentum attulissent plumbum asportarent. Pro turpibus ergo honesta retulerunt. Age vero, si quis turpem hominem adduxisset, num hunc quoque honestum reduceret? Poetas autem testes adhibent qui ad legentium voluptatem, non ad veritatem accommodate carmina condunt.

DISPUTATIO III.

De justo et injusto.

Duo itidem feruntur sermones de justo et injusto. Etenim quidam aliud esse justum, aliud injustum putant : nonnulli vero idem justum atque injustum; quam sententiam ego defendere conabor. Ac primum quidem mentiri et fallere æquum esse ostendam. Dicat igitur quispiam ita tractare inimicos turpe et improbum esse, amicissimos vero nequaquam, exempli causa parentes. Si enim debet pater aut mater medicamentum devorare, nec tamen volet, nonne æquum est nos istud sorbitioni et potioni inditum illi porrigere et inesse dissimulare? Jam igitur parentes mendacio fallere, quin etiam amicorum bona surripere et carissimis vim afferre æquum

βιῆσθαι τὼς φιλτάτως δίκαιον. Αὐτίκα αἴ τις λυπηθείς τι τῶν οἰκηίων καὶ ἀχθεσθεὶς μέλλοι αὑτὸν διαφθείρεν ἢ ξίφει, ἢ σχοινίῳ, ἢ ἄλλῳ τινί, δίκαιόν ἐστι ταῦτα κλέψαι, αἰ δύναιτο, αἰ δὲ ὑστερίξαι καὶ ἔχοντα καταλάβοι, ἀφελέσθαι βίᾳ; Ἀνδραποδίξασθαι δὲ πῶς οὐ δίκαιον τὼς πολεμίως, αἴ τις δύναιτο ἑλὼν πόλιν ὅλαν ἀποδόσθαι; Τοιχωρυχὲν δὲ τὰ τῶν πολιτῶν κοινὰ οἰκήματα δίκαιον φαίνεται. Αἰ γὰρ ὁ πατὴρ ἐπὶ θανάτῳ, κατεστασιασμένος ὑπὸ τῶν ἐχθρῶν, δεδεμένος εἴη, ἆρα οὐ δίκαιον διορύξαντα κλέψαι καὶ σῶσαι τὸν πατέρα; Ἐπιορκὲν δέ. Αἴ τις ὑπὸ τῶν πολεμίων λαφθεὶς ὑποδέξαιτο, ὀμνύων, ἦ μὰν ἀφεθεὶς τὰν πόλιν προδώσεν, ἆρα οὗτος δίκαια ποιήσαι εὐορκήσας; Ἐγὼ μὲν γὰρ οὐ δοκῶ· ἀλλὰ μᾶλλον τὰν πόλιν, καὶ τὼς φίλως, καὶ τὰ ἱερὰ σῶσαι πατρῷϊα, ἐπιορκήσας. Ἤδη ἆρα δίκαιον καὶ τὸ ἐπιορκεῖν, καὶ τὸ ἱεροσυλεῖν. Τὰ μὲν ἴδια τῶν πόλεων ἐῶ· τὰ δὲ κοινὰ τᾶς Ἑλλάδος, τὰ ἐκ Δελφῶν καὶ τὰ ἐξ Ὀλυμπίας, μέλλοντος τῶ βαρβάρω τὰν Ἑλλάδα λαβέν, καὶ τᾶς σωτηρίας ἐν χρήμασιν ἐούσας, οὐ δίκαιον λαβέν, καὶ χρῆσθαι ἐς τὸν πόλεμον; Φονεύεν δὲ τὼς φιλτάτως δίκαιον· ἐπεὶ καὶ Ὀρέστας καὶ Ἀλκμαίων, καὶ ὁ θεὸς ἔχρησε δίκαια αὐτὼς ποιῆσαι. Ἐπὶ δὲ τὰς τέχνας τρέψομαι, καὶ ταῦτα ποιητῶν. Ἐν γὰρ τραγῳδοποιίᾳ καὶ ζωγραφίᾳ ὅστις πλεῖστα ἐξαπατῇ ὅμοια τοῖς ἀληθινοῖς ποιέων, οὗτος ἄριστος. Θέλω δὲ καὶ ποιήματα τῶν παλαιοτέρων μαρτύριον ἐπαγαγέσθαι. Κλεοβουλίνης·

> Ἄνδρ' εἶδον κλέπτοντα καὶ ἐξαπατῶντα βιαίως[a].
> Καὶ τὸ βίᾳ ῥέξαι τοῦτο δικαιότατον.

Ἦν πάλαι ταῦτα. Αἰσχύλου δὲ ταῦτα·

> Ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός.
> Ψευδῶν δὲ καιρὸν ἔσθ' ὅπου[b] τιμᾷ θεός.

Λέγεται δὲ καὶ τῷδε ἀντίος λόγος· ὡς ἄλλο τὸ δίκαιον καὶ τὸ ἄδικόν ἐστι, διαφέρον, ὥσπερ καὶ τὤνυμα, οὕτω καὶ τὸ πρᾶγμα· ἐπεὶ αἴ τις ἐρωτάσαι τὼς λέγοντας, ὡς τὸ αὐτό ἐστιν ἄδικον καὶ δίκαιον, αἴκα δή τι δίκαιον περὶ τὼς γονέας ἔπραξαν, ὁμολογοῦντι καὶ ἄδικον ἆρα. Τὸ γὰρ αὐτὸ ἄδικον καὶ δίκαιον ὁμολογέοντι ἦμεν. Φέρε ἄλλον δέ, ἄν τινα γινώσκῃ δίκαιον ἄνδρα, καὶ ἄδικον ἆρα τὸν αὐτόν, καὶ μέγαν τοίνυν καὶ μικρὸν κατὰ ταυτόν. Καί τοι πολλὰ ἀδικήσας ἀποθανέτω πραξάμενος. Καὶ περὶ μὲν τούτων ἅλις. Εἶμι δὲ ἐφ' ἃ λέγοντες ἀξιοῦντι[c] τὸ αὐτὸ καὶ δίκαιον καὶ ἄδικον ἀποδεικνύεν. Τὸ γὰρ κλέπτεν τὰ τῶν πολεμίων δίκαιον καὶ ἄδικον ἔξεστιν[d] ἀποδεικνύεν τὸ αὐτό[e], αἴκ' ἀληθὴς ὁ τήνων λόγος, καὶ τἆλλα καττωυτό. Τέχνας δὲ ἐπάγονται, ἐν αἷς οὐκ ἔστι τὸ δίκαιον καὶ τὸ ἄδικον. Καὶ τοὶ ποιηταὶ οὔτε ποτ' ἀλάθειαν, ἀλλὰ ποτὶ τὰς ἁδονὰς τῶν ἀνθρώπων τὰ ποιήματα ποιέοντι[f].

---

est. Verbi causa, si quis rem familiarem et domesticam dolens mœrensque mortem sibi consciscere cogitet vel gladio, vel reste, vel alio telo, nonne æquum est hæc surripere, si quis possit, sin autem tempore exclusus jam in manibus habentem deprehenderit, per vim ei eripere? Hostes vero in servitutem abducere, cur non æquum est, si quis captam civitatem universam vendere queat? Sed et publica civium nostrorum ædificia perrumpere æquum videtur. Nam si pater inimicorum factione oppressus in vinculis ad mortem retineatur, nonne æquum est effracto carcere abripere patrem et liberare? Nec non pejerare. Si quis ab hostibus captus interposito jurejurando promittat, se dimissum urbem suam proditurum, num ille servata jurisjurandi fide juste agat? Ego certe non ita sentio : sed potius si civitatem suam et amicos et templa patria perjurus conservet. Jam igitur æquum est et pejerare et sacrilegium committere. Proprias quidem singularum civitatum opes prætermitto, at communes Græciæ thesauros et Delphicos et Olympicos, subacturo Græciam barbaro unaque salutis spe in pecunia posita, nonne æquum est sumere et ad bellum gerendum adhibere? Decet etiam carissimos necare, quoniam Orestes et Alcmæon id fecerunt deusque eos juste egisse oraculo edidit. Jam ad artes, et poetarum quidem imprimis, orationem converto. Etenim in tragœdiis scribendis et pingendi arte qui plurimum fallit, veris similia confingens, is optimus. Quin etiam antiquiorum poemata testimonii loco afferam. Cleobulines :

> Cognovi quendam fallentem et vi spoliantem.
> Vi facere hoc certe res magis æqua fuit.

Hæc olim erant. Æschyli vero hæc :

> Bonos neque ipse Jupiter spernit dolos.
> Est tempus, quando mendacem laudat deus.

Habetur insuper alius sermo huic contrarius dicentium, aliud esse justum aliud injustum, tam re quam nomine diversum : quum, si quis interroget idem injustum et justum putantes, num quid justum parentibus præstiterint, etiam de injusto confiteantur. Namque idem injustum et justum esse confitentur. Age vero, si quis alium quempiam justum cognoverit, eundem propterea etiam injustum atque idcirco eodem modo magnum et parvum. Sed ob multa quæ commisit facinora moriatur. Et de his quidem satis. Transeo autem ad ea argumenta quibus idem justum et injustum esse demonstrare volunt. Nam surripere hostium bona simul æquum et iniquum esse, probare licet, si vera sit illorum sententia cæteraque eadem ratione. Artes vero allegant, in quibus justum et injustum non reperitur. Et poetæ non ad veritatem, sed ad hominum voluptatem accommodate carmina condunt.

(Emendavi : [a] βιαίως cum Heringa Obss. p. 17; βίᾳ· ὡς codd. [b] ὅπου; libri ὅποι. [c] ἀξιοῦντι; libri ἀξιόοντι. [d] ἔξεστιν ἀποδεικνύεν; libri ἀποδεικνύεν omisso verbo finito. [e] τὸ αὐτό; libri τοῦτ' αὐτό. [f] ποιέοντι, cf. Diss. II fin.; libri ποιέοιντο.)

ΔΙΑΛΕΞΙΣ Δ.

Περὶ ἀλαθείας καὶ ψεύδεος.

Λέγονται δὲ καὶ περὶ τῶ ψεύδεος καὶ τᾶς ἀλαθείας δισσοὶ λόγοι· ὧν ὁ μέν φατι, ἄλλον μὲν τὸν ψεύσταν ἦμεν λόγον, ἄλλον δὲ τὸν ἀλαθῆ· τοὶ δὲ τὸν αὐτόν, ἐν οἷς [a] κἀγώ, τῶδε λόγω. Πρῶτον μέν, ὅτι τοῖς αὐτοῖς ὀνόμασι λέγονται· ἔπειτα δέ, ὅταν λόγος ῥηθῇ, ἂν μέν, ὡς λέγεται [b] ὁ λόγος, οὕτω γένηται, ἀλαθὴς ὁ λόγος, ἂν δὲ μὴ γένηται, ψευδὴς ὁ αὐτὸς λόγος. Αὐτίκα κατηγορεῖς ἱεροσυλίαν τω, αἴκ' ἐγένετο τὤργον, ἀλαθὴς ὁ λόγος· αἰ δὲ μὴ ἐγένετο, ψεύστας. Καὶ τῶ ἀπολογουμένω ὥς γε ὁ λόγος. Καί τά γε δικαστήρια τὸν αὐτὸν λόγον καὶ ψεύσταν καὶ ἀλαθῆ κρίνοντι. Ἐπεί τοι καὶ ἑξῆς καθήμενοι ἂν λέγοιμεν [c]· Μύστας [d] εἰμί, τὸ αὐτὸ μὲν πάντες ἐροῦμεν, ἀλαθὲς [e] δὲ μόνος ἐγώ, ἐπεὶ καὶ εἰμί. Δᾶλον ὦν, ὅτι ὁ αὐτὸς λόγος, ὅταν μὲν αὐτῷ παρῇ τὸ ψεῦδος, ψεύστας ἐστίν, ὅταν δὲ τὸ ἀλαθές, ἀλαθής, ὥσπερ καὶ ἄνθρωπος τὸ αὐτό, καὶ παῖς, καὶ νεανίσκος, καὶ ἀνήρ, καὶ γέρων ἐστίν. Λέγεται δὲ καὶ ὡς ἄλλος εἴη ὁ ψεύστας λόγος, ἄλλος δὲ ὁ ἀλαθής, διαφέρων τὤνυμα καὶ τὸ πρᾶγμα [f]. αἰ γάρ τις ἐρωτάσαι τὼς λέγοντας, ὡς ὁ αὐτὸς λόγος εἴη ψεύστας καὶ ἀλαθής, ὃν αὐτοὶ λέγοντι, πότερός ἐστιν· αἰ μὲν ψεύστας, δᾶλον ὅτι δύο ἂν [g] εἴη· αἰ δ' ἀλαθής, ἀποκρίναιτό κα [h] ψεύστας ὁ αὐτὸς οὗτος, καὶ ἀλαθῆ τίς [i] ποκα εἶπεν, ἢ ἐξεμαρτύρησε· καὶ ψευδῆ ἄρα τὰ αὐτὰ ταῦτα. Καὶ αἴ τινα ἄνδρα ἀλαθῆ οἶδε, καὶ ψεύσταν τὸν αὐτόν. Ἐκ δὲ τῶ λόγω λέγοντι ταῦτα, ὅτι γενομένω μὲν τῶ πράγματος, ἀλαθῆ τὸν λόγον, ἀγενήτω δέ, ψεύσταν. Οὐκῶν διαφέρει αὖθις τοῖς δικασταῖς, ὅ, τι [k] κρίνοιντο· οὐ γὰρ πάρεντι τοῖς πράγμασι. Ὁμολογέοντι δὲ καὶ αὐτοί, ᾧ μὲν τὸ ψεῦδος ἀναμέμικται, ψεύσταν ἦμεν, ᾧ δὲ τὸ ἀλαθές, ἀλαθῆ. Τοῦτο δὲ ὅλον διαφέρει.

Ταυτὰ τοὶ μαινόμενοι καὶ τοὶ σωφρονοῦντες, καὶ τοὶ σοφοὶ καὶ τοὶ ἀμαθεῖς καὶ λέγοντι καὶ πράσσοντι. Καὶ πρῶτον μὲν ὀνομάζοντι ταυτὰ γᾶν, καὶ ἄνθρωπον, καὶ ἵππον, καὶ πῦρ, καὶ τἄλλα πάντα. Καὶ ποιέοντι ταὐτά, κάθηνται, καὶ ἔσθοντι, καὶ πίνοντι, καὶ κατάκεινται, καὶ τἄλλα καττωυτό. Καὶ μὰν καὶ τωυτὸ πρᾶγμα καὶ μέζον καὶ μῆόν ἐστι, καὶ πλέον καὶ ἔλασσον, καὶ βαρύτερον καὶ κουφότερον· οὕτω γὰρ ἂν [l] εἴη ταὐτὰ πάντα. Τὸ τάλαντόν ἐστι βαρύτερον τᾶς μνᾶς, καὶ κουφότερον τῶν δύο ταλάντων· τωυτὸν ἄρα καὶ κουφότερον καὶ βαρύτερον. Καὶ ζώει ὁ αὐτὸς ἄνθρωπος καὶ οὐ ζώει, καὶ ταυτὰ [m] ἐντὶ καὶ οὐκ ἐντί· τὰ γὰρ τῇδε ὄντα ἐν τᾷ Λιβύᾳ οὐκ ἔστιν, οὐδέ γε τὰ ἐν Λιβύᾳ ἐν Κύπρῳ. Καὶ τἄλλα κατὰ τὸν αὐτὸν λόγον. Οὐκῶν καὶ ἐντὶ τὰ πράγματα καὶ οὐκ ἐντί.

DISPUTATIO IV.

De veritate et falsitate.

Sed et de veritate et falsitate duplex fertur sententia, quarum altera est hominum alium falsum, alium verum sermonem, altera eundem utrumque esse affirmantium, in quibus et ego nomen meum profiteor. Primum quidem, quod iisdem verbis ambo dicuntur : deinde quando sermo expressus est, si ita ut dicitur, res ipsa evenit, verus est sermo, si non evenit, idem falsus est. Verbi causa, quum sacrilegii quempiam insimulas, si tale quid commissum, verus est sermo, si non commissum, falsus. Talis quoque se purgantis oratio est. Et judices in consessu eundem sermonem falsum et verum judicant. Nam et nos hic ordine sedentes si dicamus singuli : *Ego sum initiatus*, idem quidem omnes dicemus, sed verum ego solus, quum talis etiam sim. Manifestum igitur, eundem sermonem, si illi falsitas insit, falsum esse, sin veritas, verum, sicut idem quoque hominis nomen puerum, juvenem, virum, senem significat. Dicunt vicissim alium esse sermonem falsum, alium verum tam nomine quam re diversum. Si quis enim eundem esse falsum et verum sermonem dicentes interroget, uter sit sermo quo ipsi utantur : si falsum esse respondeant, constat res contrarias esse; sin verum, eundem quoque tanquam falsum separari apertum est, et num quis vera quandoque dixerit vel testatus sit, etiam illa ipsa falsa esse liquet : et si quis veracem virum cognoverit, eundem et mendacem esse intelligitur. Prudenter autem dicunt, re peracta verum esse sermonem, non peracta falsum. Quamobrem interest postea judicum, quæ sententia pronuntietur : quia rebus gestis non intersunt. Ipsi quoque confitentur sermonem cui admixta falsitas sit, falsum esse, cui veritas, verum. Hoc vero longe diversum esse patet.

Similiter autem insani et sobrii, item docti et indocti tum vocant res tum agunt. Ac primum quidem eodem modo nominant terram, hominem, equum, ignem cæteraque omnia. Deinde eadem faciunt, sedent, edunt, bibunt, jacent, parique ratione cætera. Quin etiam eadem res et major est et minor, et amplior et tenuior, et gravior et levior : sic enim omnia eadem fuerint. Talentum mina ponderosius est, sed duobus talentis levius : idem ergo et gravius et levius. Ita idem quoque homo vivit et non vivit, eædemque res sunt et non sunt : quæ enim hoc loco sunt, in Africa non sunt; quæque in Africa, non in Cypro, parique ratione cætera. Res igitur et sunt et non sunt.

Qui vero contendunt, insanos et sapientes et indoctos eodem modo agere et loqui cæteraque pari ratione facere,

Τοὶ τοίνυν [n] λέγοντες, τὼς μαινομένως καὶ τὼς σοφὼς καὶ τὼς ἀμαθεῖς ταὐτὰ διαπράσσεσθαι καὶ λέγεν, καὶ τἄλλα ἑπόμενα τῷ λόγῳ, οὐκ ὀρθῶς λέγοντι. Αἰ γάρ τις αὐτὼς ἐρωτάσαι, αἰ διαφέρει [o] μανία σωφροσύνης, καὶ σοφία ἀμαθίας, φαντί· Ναί. Εὖ γὰρ καὶ ἐξ ὧν πράσσοντι ἑκάτεροι, δᾶλοί ἐντι, ὡς ὁμολογησοῦντι. Οὐκῶν αἰ [p] ταὐτὰ πράσσοντι, καὶ τοὶ σοφοὶ μαίνονται, καὶ μαινόμενοι σοφοί, καὶ πάντα συνταράσσονται. Καὶ ἔτι ἅτερος λόγος, πότερον ἐν δέοντι [q] τοὶ σωφρονοῦντες λέγοντι, ἢ τοὶ μαινόμενοι. Ἀλλὰ φαντί, ὡς ταὐτὰ μὲν λέγοντι, ὅταν τις αὐτὼς ἐρωτῇ· ἀλλὰ τοὶ μὲν σοφοὶ ἐν τῷ δέοντι, τοὶ δὲ μαινόμενοι, αἰ οὐ δεῖ. Καὶ τοῦτο λέγοντες δοκοῦντι μικρὸν ποτιθεῖναι [r]· αἰ δεῖ καὶ αἰ μὴ δεῖ· ὥστε οὐ μηκέτι τωυτὸ ἦμεν. Ἐγὼ δὲ οὐ πράγματος τοσούτω προστεθέντος ἀλλοιοῦσθαι δοκῶ τὰ πράγματα, ἀλλ' ἁρμονίας διαλλαγείσης· ὥσπερ Γλαῦκος καὶ γλαυκός, Ξάνθος καὶ ξανθός, Ξοῦθος καὶ ξουθός. Ταῦτα μὲν ἁρμονίαν ἀλλάξαντα διήνεγκαν, τὰ δὲ μακρῶς καὶ βραχυτέρως ῥηθέντα, Τύρος καὶ τυρός, σακός καὶ σάκος [s], ἅτερα δὲ γράμματα διαλλάξαντα, κάρτος καὶ κράτος, ὄνος καὶ νόος. Ἐπεὶ ὧν οὐκ ἀφαιρεθέντος οὐδενὸς τοσοῦτον διαφέρει, τί δή, αἴ τις ἢ ποτιτιθεῖ τι, ἢ ἀφαιρεῖ; καὶ τοῦτο δείξω οἷόν ἐντι. Αἴ τις ἀπὸ τῶν δέκα ἓν ἀφέλοι, οὐκ ἔτι δέκα οὐδὲ ἓν ἂν εἴη [t], καὶ τἄλλα καττωυτό. Τὼ [u] δὲ τὸν αὐτὸν ἄνθρωπον καὶ ἦμεν καὶ μὴ ἦμεν λέγοντας [x], ἐρωτῶ, ἔντι [y] ἢ τὰ πάντα ἐστί. Οὐκῶν αἴ τις μὴ φαίη ἦμεν ἕν [z], ψεύδεται τὰ πάντα εἰπών· ταῦτα πάντα ὧν πή ἐντι.

(Emendavi : [a] τοὶ δὲ τὸν αὐτόν, ἐν οἷς κἠγώ, τῷδε λόγῳ; libri τοὶ δὲ τὸν αὐτόν. Αὖ κἀγώ. Τόδε λόγῳ. [b] λέγεται; codd. λέγηται. [c] λέγοιμεν cum Northio; λέγοιμι libri. [d] μύστας cum Fabricio e codice, vulgo Μίμας. [e] ἀλαθὲς cum Northio; ἀληθὴς codd. [f] καὶ τὸ πρᾶγμα quod deest in libris scriptis inserui inter τὤνυμα et αἰ γάρ τις. [g] ἂν; deest in codd. [h] κα; καὶ libri. [i] ἀλαθῆ τις cum Northio; ἀλαθές τι codd. [k] τοῖς δικασταῖς ὅ, τι; libri τὼς δικαστὰς ὅτι. [l] ἂν εἴη; libri εἴη. [m] ταυτὰ; αὐτὰ libri. [n] τοὶ τοίνυν; libri τοί τινες. [o] διαφέρει; codd. διαφέρῃ· [p] αἰ; καὶ libri. [q] καὶ ἔτι ἅτερος λόγος, πότερον ἐν δέοντι cum Kœnio ad Greg. Corinth. p. 305; libri καὶ ἐπ' ἄργεος ὁ λόγος πότερον οἷον ἐν δέοντι. [r] ποτιθεῖναι; libri ποτιθῆναι. [s] σακὸς (i. e. σηκὸς) καὶ σάκος; libri σάκκος καὶ σάκος. [t] ἂν εἴη; libri εἴη. [u] τοὺς; τὸ libri. [x] ἦμεν λέγοντας ἐρωτῶ; libri ἦμεν, ἐρωτῶ. [y] ἔν τι; libri τί. [z] ἦμεν ἕν, ψεύδεται τὰ πάντα εἰπών· ταῦτα πάντα ὧν πή ἐντι; libri ἦμεν, ψεύδεται, τὰ πάντα εἰπόντες, ταῦτα πάντα ὧν πῆ ἐντι.)

ΔΙΑΛΕΞΙΣ Ε.

Περὶ τᾶς σοφίας καὶ ἀρετᾶς, αἰ διδακτόν.

Λέγεται δέ τις λόγος οὔτ' ἀλαθής, οὔτε κενός· ὅτι ἄρα σοφία καὶ ἀρετὰ οὔτε διδακτὸν εἴη οὔτε μαθατόν. Τοὶ δὲ ταῦτα λέγοντες ταῖσδε ἀποδείξεσι χρῶνται, ὡς οὐχ οἷόν τ' εἴη, ἂν ἄλλῳ παραδοίης, τοῦτο αὐτὸ ἔτι ἔχεν. Μία μὲν δὴ αὕτα. Ἄλλα δέ, ὡς, αἰ διδακτὸν ἦν, διδάσκαλοί κα ἀποδεδεγμένοι ἦσαν [a], ὡς τᾶς μωσικᾶς. Τρίτα δέ, ὡς τοὶ ἐν τᾷ Ἑλλάδι γενόμενοι σοφοὶ ἄνδρες τὰ αὐτῶν τέκνα ἂν ἐδίδαξαν καὶ τὼς φίλως. Τετάρτα δέ, ὅτι ἤδη τινὲς παρὰ σοφιστὰς ἐλθόντες, οὐδὲν ὠφέληθεν. Πέμπτα δέ, ὅτι πολλοὶ οὐ συγγενόμενοι σοφισταῖς ἄξιοι λόγω γεγένηνται. Ἐγὼ

---

non recte dicunt. Si quis enim eos interroget, num a sobrietate differat insania, ab inscitia sapientia, confitentur. Namque ex iis quæ utrique faciunt manifestum est, eos facta confessuros esse. Igitur si eadem agunt, sequitur sapientes insanire, insanos sapere et omnia perturbari. Deinde alius oritur sermo quærentium, utrum opportuno tempore loquantur sapientes an insipientes. Aiunt vero, eadem utrosque dicere rogatos, sed sapientes opportuno tempore, insipientes alieno. Hoc igitur asseverantes parvum quiddam adjicere videntur : *si decet* vel *si non decet*, ita ut non amplius idem sit. Cæterum ego non hac re adjecta, sed concentu immutato res ipsas variari arbitror, velut Γλαῦκος et γλαυκός, Ξάνθος et ξανθός, Ξοῦθος et ξουθός. Hæc variante concentu inter se differunt : quædam tum producta tum correpta, Τύρος et τυρός, σακός et σάκος, alia transpositis litteris transfigurata, ut κάρτος et κράτος, ὄνος et νόος. Quum igitur nulla re demta tantum sit discrimen, quid tandem, si quis vel adjiciat vel subtrahat aliquid? Et hoc quale sit ostendam. Si quis e numero denario unum detrahat, neque unum illud superest, neque decem, et reliqua eodem modo. Qui autem eundem hominem et esse et non esse aiunt, eos interrogo hominis nomen de singulis an de omnibus hominibus intelligant. Quamobrem si quis hoc nequaquam de singulis accipi dicat, mentitur, de omnibus loquens : totum igitur hominum genus alicubi esse oportet.

DISPUTATIO V.

Num virtus et sapientia doceri possint.

Dicitur etiam sermo nec verus neque inanis, sapientiam et virtutem nec disci nec doceri posse. Qui autem ista contendunt, hisce argumentis utuntur, quia fieri nequeat, ut si quid alii tradas, id adhuc habeas : hoc unum est argumentum. Aliud vero, si doctrina comparari posset, hujus præceptores conducerentur æque ac musicæ. Tertium : tum etiam viri sapientes, quos Græcia tulit, filios suos et amicos instituissent. Quartum : quosdam qui sophistas frequentarunt, nihil percepisse constat. Quintum : multos cum sophistis nunquam versatos tamen excelluisse notum est. Cæterum ego hunc sermonem valde ineptum

δὲ κάρτα εὐήθη νομίζω τόνδε τὸν λόγον. Γινώσκω γὰρ τὼς διδασκάλως γράμματα διδάσκοντας, ἃ ἕκαστος αὐτῶν [b] ἐπιστάμενος τυγχάνει, καὶ κιθαριστὰς κιθαρίζεν. Πρὸς δὲ τὰν δευτέραν ἀπόδειξιν, ὡς ἄρα οὐκ ἐντὶ διδάσκαλοι ἀποδεδεγμένοι, τί μὰν τοὶ σοφισταὶ διδάσκοντι, ἀλλ' ἢ σοφίαν καὶ ἀρετάν; ἢ τί δὲ Ἀναξαγόρειοι καὶ Πυθαγόρειοι ἦσαν [c]; τὸ δὲ τρίτον, ἐδίδαξε Πολύκλειτος τὸν υἱὸν ἀνδριάντας ποιέν. Καὶ αἱ μέν τις μὴ διδάξῃ, οὐ σαμῆον· αἱ δ' ἐντὶ [d] διδάξαι, τεκμάριον ὅτι δυνατόν ἐντι διδάξαι. Τέταρτον δέ, αἰ μή τοι παρὰ σοφῶν σοφιστῶν σοφοὶ γίνονται. Καὶ γὰρ γράμματα πολλοὶ οὐκ ἔμαθον μαθόντες. Ἔστι δέ τις καὶ φύσις. Αἱ δέ τις μὴ ἔμαθε [e] παρὰ σοφιστῶν, ἱκανὸς ἐγένετο εὐφυής, καὶ γενόμενος ῥαδίως συναρπάξαι τὰ πολλὰ ὀλίγα μαθών, παρ' ὧνπερ καὶ τὰ ὀνύματα μανθάνομεν, καὶ τούτων τι ἤτοι πλέον, ἤτοι ἔλασσον· ὁ μὲν παρὰ πατρός, ὁ δὲ παρὰ ματρός. Αἱ δέ τῳ μὴ πιστόν ἐντι [f] τὰ ὀνύματα μανθάνειν ἅμα, ἀλλ' ἐπισταμένως ἅμα γίνεσθαι, γνώτω ἐκ τῶνδε. Αἴ τις εὐθὺς γενόμενον παιδίον ἐς Πέρσας ἀποπέμψαι, καὶ τηνεὶ τράφοι, κωφὸν Ἑλλάδος φωνᾶς, περσίζοι κα· καὶ αἴ τις τηνόθεν τῇδε κομίζοι, ἑλλανίζοι κα. Οὕτω μανθάνομες τὰ ὀνύματα, καὶ τὼς διδασκάλως οὐχὶ ἀκούομες [g]. Ἤλεγκταί μοι ὁ λόγος, καὶ ἔχεις ἀρχὴν καὶ τέλος καὶ μέσον [h]· καὶ οὐ λέγω, ὡς διδακτός ἐστιν, ἀλλ' ὅτι οὐκ ἀποχρῶντί μοι τῆναι αἱ ἀποδείξεις. Λέγοντι δέ τινες τῶν δημαγορούντων, ὡς χρὴ τὰς ἀρχὰς ἀπὸ κλάρω γίνεσθαι, οὐ βέλτιστα ταῦτα νομίζοντες. Καὶ [i] γάρ τις αὐτὸν ἂν [k] ἐρωτῴη τὸν ταῦτα λέγοντα, τί δὴ σὺ τοῖς οἰκέταις οὐκ ἀπὸ κλάρω τὰ ἔργα προστάσσῃς, ὅπως ὁ μὲν ζευγηλάτας, αἴκ' ὀψοποιὸς λάχῃ, ὀψοποιῇ, ὁ δὲ ὀψοποιὸς ζευγηλατῇ, καὶ τἄλλα καττωυτό [l]; καὶ πῶς οὐ καὶ τὼς χαλκέας, καὶ τὼς σκυτέας συναγαγόντες καὶ τέκτονας καὶ χρυσοχόως διακλαρώσομεν καὶ ἀναγκάσομεν [m], ἂν ἄν χ' ἕκαστος λάχῃ, τέχναν ἐργάζεσθαι, ἀλλὰ μὴ ἂν ἐπίσταται; Τωυτὸν δὲ καὶ ἐν ἀγῶσι τᾶς μωσικᾶς διακλαρῶσαι τὼς ἀγωνιστάς, καὶ ὅ,τι χ' ἕκαστος καὶ λάχῃ, ἀγωνίζεσθαι· αὐλητὰς κιθαριζέτω τυχόν [n], καὶ κιθαρῳδὸς αὐλήσει· καὶ ἐν τῷ πολέμῳ ὁ τοξότας καὶ ὁ [o] ὁπλίτας ἱππασεῖται, ὁ δὲ ἱππεὺς τοξεύσει, ὥστε πάντες ἃ οὐκ ἐπίστανται οὐδὲ δύνανται, οὐδὲ πραξοῦντι. Λέγοντι δὲ ἀγαθὸν ἦμεν καὶ δαμοτικὸν κάρτα· ἐγὼ ἥκιστα νομίζω δαμοτικόν· ἔντι γὰρ ἐν ταῖς πόλεσι μισόδαμοι ἄνθρωποι, ὧν αἴκα τύχῃ ὁ κύαμος, ἀπολοῦντι τὸν δᾶμον. Ἀλλὰ χρὴ τὸν δᾶμον αὐτὸν ὁρῶντα αἱρεῖσθαι πάντας τὼς εὔνως αὐτῷ καὶ τὼς ἐπιτηδείως στραταγέν, ἁτέρως δὲ νομοφυλακέν, καὶ τἄλλα.

Ἀνδρὸς κατὰ τὰς αὐτὰς τέχνας νομίζω κατὰ βραχύ τε δύνασθαι καὶ διὰ μακρῶν διαλέγεσθαι [p] καὶ ἀλάθειαν τῶν πραγμάτων ἐπίστασθαι, καὶ δικάσασθαι ὀρθῶς, καὶ δαμαγορὲν οἷόν τ' ἦμεν, καὶ λόγων τέχνας ἐπίστασθαι, καὶ περὶ φύσιος τῶν ἁπάντων, ὥς τε ἔχει καὶ ὡς ἐγίνετο, διδάσκεν. Καὶ πρῶτον μὲν ὁ περὶ φύσιος τῶν ἁπάντων εἰδώς, πῶς οὐ δυνασεῖται περὶ πάντων ὀρθῶς καὶ πράσσεν; ἔτι δὴ ὁ τὰς τέχνας τῶν λόγων εἰδὼς ἐπιστασεῖται καὶ περὶ πάντων ὀρθῶς λέγεν, καὶ [q] περὶ ὧν ἐπίσταται, περὶ τούτων λέγεν. Δεῖ γὰρ τὸν μέλλοντα ὀρθῶς λέγεν, περὶ ὧν ἐπίσταται, περὶ τούτων λέγεν. Πάντων γὰρ ἐπιστασεῖται· πάντων μὲν γὰρ τῶν λόγων τὰς τέχνας ἐπίσταται, τοὶ δὲ λόγοι πάντες περὶ πάντων τῶν ἐόντων ἐντί [r]. Δεῖ δὲ ἐπίστα-

puto. Novi enim præceptores litteras tradentes, quas quisque eorum tenet, et citharistas cithara canere docentes. Quod autem ad secundum argumentum attinet, quo præceptores non conduci affirmant, quid tandem aliud sophistæ docent, quam virtutem et sapientiam? aut quales Anaxagorei et Pythagorei fuere? Quantum ad tertium argumentum, Polycletus filium suum statuas facere docuit. Ac si quis docere nolet, hoc nihil arguit : sed si licet docere, constat posse talia doceri. Quartum illud, si quidam a doctis sophistis sapientia non imbuuntur, non est mirum, quia multi litteris operati nihil didicerunt. Plurimum etiam ingenium valet. Si quis enim a sophistis non didicit, bonæ indolis ope idoneus evasit natusque ad plurima prope sine litterarum studiis facile arripienda, suggerentibus satis materiæ iis a quibus etiam rerum nomina discimus, vel plus vel minus, partim patre, partim vero matre. At si quis non credat nomina addisci, sed cum scientia quadam simul exoriri, ex hisce cognoscat. Si quis infantem statim postquam natus est in Persidem mittat, ibique educet græcæ linguæ ignarum, Persice loquetur : si vero inde rursus huc transportet, græco sermone utetur. Ita verba discimus, præceptores non auscultantes. Si sermonem istum de quo agitur redargui, principium, medium ac finem habes : nec affirmo, virtutem doceri posse, sed mihi ista argumenta non satisfacere confiteor. At oratores quidam contendunt, magistratus sorte hominibus assignandos esse, non recte sentientes. Etenim talia dicentem interrogaverit aliquis : cur non et tu servis opera sorte distribuis, ita ut auriga coqui officium sortitus, obsonia paret, coquus autem currum regat, cæteraque eodem modo. Et cur non fabros, sutores, structores, aurifices convocantes sorte iis opera dividamus cogamusque quemlibet artem quam sortitus est exercere, non illam quam novit? Eodemque redeat res, si in musicis certaminibus sorte designentur certaturi, et de eo quod sortitus est contendat quisque : sic fortasse tibicen citharam pulsabit, citharœdus tibia canet : pariterque in bello sagittarius et gravis armaturæ miles equitabit, eques vero sagittabit, ita ut omnes ea, quæ nec sciunt neque intelligunt, facere non possint. At rem admodum bonam et popularem esse dictitant : ego minime popularem existimo. Sunt enim in civitatibus quidam populo infensi, quos si sors contigerit, populum perdent. Sed oportet populum ipsum sibi prospicientem deligere omnes ipsi benevolos et idoneos ad

σθαι τὸν μέλλοντα ὀρθῶς λέγεν περὶ ὅτων δεῖ λέγεν [s], καὶ τὰ μὲν ἀγαθὰ ὀρθῶς διδάσκεν τὰν πόλιν πράσσεν, τὰ δὲ κακὰ διακωλύεν [t]. Εἰδὼς δέ γε αὐτὰ εἰδήσει καὶ τὰ ἄτερα τούτων· πάντα γὰρ ἐπιστασεῖται· ἔστι γὰρ ταῦτα τῶν πάντων. Ἐκεῖνα δὲ πάντα πότε δεῖ πράσσεν ἐπιστασεῖται [u] Διὰ τοῦτο [xy] χρὴ κἂν μὴ ἐπίστηται αὐλέν, σκοπὲν [z] αἴκα δέῃ τοῦτο πράσσεν. Τὸν δὲ δικάζεσθαι ἐπιστάμενον δεῖ τὸ δίκαιον ἐπίστασθαι ὀρθῶς· περὶ γὰρ τούτων τὸ δικάζεσθαι. Εἰδὼς δὲ τοῦτο, εἰδήσει καὶ τὸ ὑπεναντίον αὐτῷ καὶ τὰ ἑτεροῖα [a]. Δεῖ δὲ αὐτὸν καὶ τὼς νόμως ἐπίστασθαι πάντας· αἰ τοίνυν τὰ πράγματα μὴ ἐπιστασεῖται, οὐδὲ τὼς νόμως. Τὸν γὰρ ἐν μωσικᾷ νόμον τις ἐπίσταται, ὅσπερ καὶ μωσικάν, ὃς δὲ μὴ μωσικάν, οὐδὲ τὸν νόμον. Ὃς γὰρ τὰν ἀλάθειαν τῶν πραγμάτων ἐπίσταται, εὐπετὴς τούτῳ [b] ὁ λόγος, ὅτι πάντα ἐπίσταται· ὡς δ' ἐν βραχεῖ εἰπέν [c], δεῖ νιν ἐρωτώμενον ἀποκρίνεσθαι περὶ πάντων. Οὐκῶν δεῖ νιν πάντ' ἐπίστασθαι. Μέγιστον δὲ καὶ κάλλιστον ἐξεύρημα εὕρηται ἐς τὸν βίον, μνάμα, καὶ ἐς πάντα χρήσιμον, ἐς φιλοσοφίαν τε καὶ ἐς σοφίαν. Ἔστι δὲ τοιοῦτο [d], ἐὰν προσέχῃς τὸν νοῦν, δι' ὦ [e] πρῶτον παρελθοῦσα γνώμα μᾶλλον αἰσθησεῖται τὸ σύνολον ὃ ἔμαθες, δεύτερον δὲ διὰ τῶ μελετᾶν [f] αἴ κα ἀκούσῃς. Τὸ γὰρ πολλάκις ταὐτὰ ἀκοῦσαι καὶ εἶπαι ἐς μνάμαν παρεγένετο τρίτον, αἴ κα ἀκούσῃς, ἔπειτα δ' εἰδῇς [g] καταθέσθαι, οἷον τόδε· δεῖ μεμνᾶσθαι Χρύσιππον, κατθέμεν ἐπὶ τὸν χρυσὸν καὶ τὸν ἵππον· ἄλλο, πυριλάμπην [h], κατθέμεν ἐπὶ πῦρ καὶ τὸ λάμπεν. Τάδε μὲν περὶ τῶν ὀνομάτων. Τὰ δὲ πράγματα οὕτως· περὶ ἀνδρείας ἐπὶ τὸν Ἄρη καὶ τὸν Ἀχιλλῆα· περὶ χαλκείας δέ, ἐπὶ τὸν Ἥφαιστον· περὶ δειλίας, ἐπὶ τὸν Ἐπειόν.

(Emendavi : [a] ἦσαν; codd. ἦεν. [b] ἃ ἕκαστος αὐτῶν cum Orellio; ἃ καὶ αὐτὸς codd. [c] ἦσαν; codd. ἦεν. [d] ἐντὶ; ἐντὶν libri. [e] ἔμαθε; μαθὼν codd. [f] ἐντι; libri ἐστί. [g] καὶ τὼς διδασκάλως οὐχὶ ἀκούομες. Ἤλεγκταί μοι ὁ λόγος cum Kœnio ad Greg. Cor. p. 180; codd. καὶ τὼς διδασκάλως οὐχὶ ἄμες; οὐ λέλεκταί μοι ὁ λόγος. [h] μέσον; codd. μέσην. [i] καὶ; codd. εἰ. [k] αὐτὸν ἂν ἐρωτῴη; codd. αὐτὸν ἐρωτῴη. [l] καὶ τἄλλα καττωυτό cum Kœnio ad Greg. Corinth. p. 234; codd. καὶ τἄλλα κατὰ τοῦτο. [m] διακλαρώσομεν καὶ ἀναγκάσομεν; codd. διεκλαρώσαμεν καὶ ἠναγκάσαμεν. [n] τυχόν; codd. τυχών. [o] ὁ τοξότας καὶ ὁ ὁπλίτας cum Orellio; codd. τὼς τοξότας καὶ τὼς ὁπλίτας. [p] δύνασθαι καὶ διὰ μακρῶν διαλέγεσθαι; codd. δύνασθαι καὶ ἀλέγεσθαι. [q] λέγεν, καὶ περὶ; libri λέγεν, περὶ. [r] περὶ πάντων τῶν ἐόντων ἐντί cum Orellio; περὶ πάντων των ε... libri. [s] δεῖ λέγεν; libri καὶ λέγοι. [t] διακωλύεν; codd. τὼς κωλύειν. [u] ἐκεῖνα δὲ πάντα πότε δεῖ πράσσεν ἐπιστασεῖται; codd. κεῖνα δὲ ποτὶ ταὐτὸν τὰ δέοντα πρασσεῖται. x-y διὰ τοῦτο χρὴ κἂν μὴ ἐπίστηται αὐλέν; libri χρὴ κἂν μὴ ἐπίσταται αὐλέν. [z] σκοπὲν; deest in codd. [a] ἑτεροῖα; codd. τέρεια. εὐπετὴς τούτῳ ὁ λόγος ὅτι πάντα ἐπίσταται; codd. εὐπετὴς (ἀπετὴς) ὁ λόγος ὅτι πάντα ἐπίστασθαι. [c] ὡς δ' ἐν βραχεῖ εἰπέν; libri ὃς δὲ βραχύ. [d] τοιοῦτο; codd. τοῦτο. [e] δι' ὦ πρῶτον; libri διὰ τούτων. In sequentibus τὸ σύνολον; libri σύνολον. [f] δεύτερον δὲ διὰ τῶ μελετᾶν; libri δευτέραν δὲ μελέταν. [g] ἔπειτα δ' εἰδῇς; codd. ἔπειτα οἶδας. [h] πυριλάμπην; codd. πυριλάμπη.)

---

exercitum ducendum, alios autem ad legum custodiam aptos, alios ad alia. Ego viri esse arbitror, posse ex eadem arte tum brevibus responsis, tum perpetua oratione disserere et rerum veritatem scire, et rite jus dicere : posse item verba ad populum facere ac totam dicendi disciplinam tenere et de rerum omnium, quemadmodum se habeant generatæque sint, natura præcipere. Ac primum quidem qui de omnium natura scit, cur non poterit de omnibus recte et agere? Deinde qui dicendi rationem perceptam habet de omnibus recte disputabit et quæ cognovit de iis recte exponet. Oportet enim recte dicturum de iis quæ novit habere orationem. Omnium enim peritus erit, siquidem omnium sermonum artem tenet, sermones autem omnes circa ingentem rerum varietatem versantur. Præterea recte dicturum scire convenit, quibus argumentis immorari deceat, civitatemque partim docere bona facere, partim mala impedire. Hæc autem sciens alia quoque ab his diversa cognita habebit; omnium enim intelligens erit, quoniam hæc omnibus tanquam partes subsunt. Ista autem cuncta quando facienda sint sciet. Quocirca etiamsi tibia canere nesciat par est eum videre num id fieri decorum sit. Porro qui judicis officio fungi scit, eum oportet quod justum est probe intelligere : in hoc enim versatur judicandi munus. Hoc autem instructus contrarium quoque et diversa tenebit. Sed et legum omnium scientiam habere debet : si vero res non didicerit, ne leges quidem noverit. Etenim musicæ leges cognovit, qui musicam etiam didicit, qui vero musica non est imbutus, ne legum quidem ejus scientia pollet. Nam qui rerum veritatem perspexit, ei promtus est sermo, quia omnia animo comprehendit; atque ut paucis complectar, oportet illum interrogatum de omnibus respondere posse. Ergo necesse est illum omnia intelligere. At maximum et ad vitam humanam accommodatissimum inventum est memoriæ artificium, ad omnia utile, tam ad philosophiam quam ad sapientiam. Est autem hujusmodi, si animum advertas, cujus rei beneficio primum mens collecta magis totum quod didicisti sentiet, deinde si studiorum assiduitate intelligas. Eadem enim sæpius audita dictaque in memoria insidunt. Denique, si rerum quas audis imagines suis locis reponere sciveris, verbi causa, si *Chrysippi* meminisse voles, in *auri* et *equi* imaginibus colloces, si *cicindelæ*, *ignem* et *splendorem* imagineris. Hæc quidem de verbis. Res autem sic se habent : quæ ad fortitudinem spectant, in *Marte* et *Achille* reponenda : quæ ad artem fabrilem, in *Vulcano* : quæ ad timiditatem, in *Epeo*.

ΑΡΧΥΤΟΥ ΤΟΥ ΤΑΡΑΝΤΙΝΟΥ
ΑΠΟΣΠΑΣΜΑΤΙΑ.

ARCHYTÆ TARENTINI
FRAGMENTA.

Α. ΗΘΙΚΑ.

α′. Ἐκ τοῦ περὶ ἀνδρὸς ἀγαθῶ καὶ εὐδαίμονος.

α′. Πρᾶτον μὲν ὦν χρὴ τοῦτο γινώσκεν, ὅτι ὁ μὲν ἀγαθὸς ἀνὴρ οὐκ εὐθέως εὐδαίμων ἐξ ἀνάγκας ἐντί, ὁ δὲ εὐδαίμων καὶ ἀγαθὸς ἀνήρ ἐντιν. Ὁ μὲν γὰρ εὐδαίμων ἐξ ἐπαινετῶ καὶ μακαριστῶ γίνεται, ὁ δ' ἀγαθὸς ἀνὴρ ἐξ ἐπαινετῶ μόνον. Γίνεται δὲ ὁ μὲν ἔπαινος ἐπ' ἀρετᾷ, ὁ δὲ μακαρισμὸς ἐπ' εὐτυχίᾳ· καὶ ὁ μὲν ἀγαθὸς ἀνὴρ ἐπὶ τοῖς παρ' ἀρετᾶς [a] ἀγαθοῖς γίνεται τοιοῦτος, ὁ δὲ εὐδαίμων καὶ ἐπὶ τοῖς διὰ τύχαν· καὶ ὁ μὲν ἀγαθὸς ἀνὴρ ἀναφαίρετον ἔχει τὰν ἀρετάν, ὁ δ' εὐδαίμων ἔντιν ὅκ' ἀφαιρέεται τὰν εὐδαιμοσύναν. Τᾶς μὲν γὰρ ἀρετᾶς ἀνυπεύθυνος ἁ δύναμις, τᾶς δ' εὐδαιμοσύνας εὐθυνομένα. Νόσοι τε γὰρ μακραὶ σώματος καὶ παρώσιες αἰσθαταρίων ἀπομαραίνοντι τὰν εὐθάλειαν τᾶς εὐδαιμοσύνας.

([a] ἀρετᾶς edidi cum Halmio; codd. παρὰ ταύτης.)

β′. Διαφέρει δὲ θεὸς ἀνθρώπω ἀγαθῶ, ὅτι θεὸς μὲν οὐ μόνον εἰλικρινῆ καὶ διυλισμέναν ἔχει τὰν ἀρετὰν ἀπὸ παντὸς τῶ θνατῶ πάθεος, ἀλλὰ καὶ τὰν δύναμιν αὐτᾶς ἄτρυτον πέπαται καὶ ἀνυπεύθυνον, ὡς πρὸς αἰωνίων ἔργων σεμνότατά τε καὶ μεγαλοπρέπειαν· ἄνθρωπος δ' οὐ μόνον τῷ θνατῷ τᾶς φύσιος καταστάματι μήονα ταύταν πέπαται, ἔντι δ' ὅκκα καὶ δι' ἀγαθῶν ἀμετρίαν, καὶ διὰ συνήθειαν ἰσχυράν, καὶ διὰ φύσιν μοχθαρὰν καὶ δι' ἄλλας αἰτίας πολλὰς ἀδυνατεῖ κατ' ἄκραν γεναθῆμεν παναλαθέως ἀγαθῶ.

γ′. Φαμὶ δὴ τὸν ἀγαθὸν ἄνδρα τοῦτον ἦμεν, τὸν πράγμασι μεγάλοις καὶ καιροῖς καλῶς χρεόμενον. Οὗτος δέ κα εἴη ὁ εὐτυχίαν τε δυνάμενος καλῶς φέρεν καὶ πάλιν ἀτυχίαν, καὶ ὁ ἔν τε τοῖς καλοῖς καὶ τιμίοις ἄξιος γενόμενος τῶν ὑποκειμένων, καὶ μεταβαλοίσας τᾶς τύχας εὖ τὸ παρὸν ἐκδεχόμενος. Αἰ δὲ συντόμως τε καὶ κεφαλαιωδῶς δεῖ φράσαι, ὁ ἐν πάντεσσι τοῖς καιροῖς καλῶς ἀγωνιζόμενος ἐκ τῶν ἐνδεχομένων, καὶ μὴ μόνον αὔταυτον οὕτω διατιθείς, ἀλλὰ καὶ τὼς ἐμπιστεύσαντας αὐτῷ καὶ συναγωνισαμένως.

δ′. Ἐπεὶ ὦν τῶν ἀγαθῶν ἃ μὲν αὐτά ἐντι δι' αὔταυτα αἱρετά, οὐ μὰν δι' ἅτερον, ἃ δὲ δι' ἅτερον, οὐ

A. MORALIA.

a. Ex libro de viro bono et beato.

I. Primum igitur illud tenendum est, virum quidem bonum non statim esse necessario beatum, sed beatum etiam bonum esse. Beatus enim ex laudabili et felicitatis prædicationem merito, bonus autem vir e laudabili tantum fit. Contingit vero laus ob virtutem, felicitatis prædicatio ob bonam fortunam. Ac bonus quidem vir bonis a virtute ortis talis efficitur, beatus vero etiam fortunæ blandimentis : præterea bonus vir virtute non adimenda ornatus est, beatus interdum beatitudine privatur. Virtutis enim facultas libera, beatitudinis obnoxia est. Nam et diuturni corporis morbi et sentiendi instrumentorum amissio beatitudinis florem exstinguunt.

II. Differt autem deus ab homine probo, quod deus quidem non solum habet sinceram et purgatam ab omni mortali affectu virtutem, verum etiam ejus vim indefessam ac liberam, ut æternorum operum majestati ac magnificentiæ consentaneam possidet : homo autem non tantum mortali naturæ habitu minorem hanc possidet, sed nonnunquam etiam tum propter bonorum abundantiam, tum ob consuetudinis potentiam, tum pravæ naturæ vitio, tum aliis multis de causis non potest ad veri boni fastigium pervenire.

III. Virum sane bonum eum esse dico, qui rebus magnis et temporibus recte utatur. Talis autem erit qui prosperam fortunam scit recte ferre et adversam, quique rebus pulchris et præclaris obeundis non sit impar : quique fortuna mutata præsentem statum boni consulat. Quodsi breviter summatimque res est exponenda, is bonus dicendus, qui omni occasione recte quantum in eo situm est certet neque solum se ipsum ita composuerit, sed et alios ipsi fidentes et certaminum socios.

IV. Cum igitur ex bonis alia quidem propter se ipsa sint expetenda, non ob aliud; alia vero propter aliud,

μὰν δι' αὔταυτα, εἴη ἂν καὶ τρίτον τι εἶδος ἄτερον ἀγαθῶν, ὃ καὶ δι' αὔταυτον αἱρετόν ἐντι καὶ δι' ἄτερον. Τίνα [a] ὦν ἐντι τὰ τοιαῦτα τῶν ἀγαθῶν, ἅπερ αὐτὰ δι' αὔταυτα αἱρετὰ πέφυκεν ἦμεν, οὐ μὰν δι' ἄτερον; φανερὸν ὅτι ἁ εὐδαιμοσύνα. Ταύτας γὰρ ἕνεκα τὰ ἄλλα αἱρεόμεθα, αὐτὰν δὲ ταύταν οὐδενὸς ἁτέρω. Τίνα δὲ πάλιν ἐντί, ἃ δι' ἄτερον μὲν αἱρεόμεθα, οὐ μὰν δι' αὔταυτά γε; δᾶλον ὅτι τὰ ὠφέλιμα καὶ τὰ παρεκτικὰ [b] τῶν ἀγαθῶν, ἅπερ αἴτια γίνεται τῶν αἱρετῶν, οἷον πόνοι μὲν σώματος καὶ γυμνάσια καὶ τρίψιες εὐεκτίας, ἀναγνώσιες δὲ καὶ μελέται καὶ ἐπιτηδεύσιες καλῶν καὶ ἀρετᾶς. Τίνα δὲ καὶ δι' αὔταυτα αἱρετὰ καὶ τὰ δι' ἄτερον; οἷον αἵ τε ἀρεταὶ καὶ αἱ ἕξιες αὐτῶν, καὶ αἱ προαιρέσιες, καὶ αἱ πράξιες, καὶ πᾶν τὸ ἐχόμενον τᾶς τῶ καλῶ οὐσίας. Τὸ μὲν ὦν δι' αὔταυτο αἱρετόν, οὐ μὰν δι' ἄτερον, μονῆρες ἀγαθόν ἐντι καὶ ἕν· τὸ δὲ καὶ δι' αὐτὸ καὶ δι' ἄτερον, τριχᾷ δέδασται. Τὸ μὲν γάρ τι αὐτῶ περὶ ψυχάν ἐντι, τὸ δὲ περὶ σῶμα, τὸ δέ τι ἐκτός· περὶ ψυχὰν μὲν αἱ τᾶς ψυχᾶς ἀρεταί, περὶ σῶμα δὲ αἱ τῶ σώματος, ἐκτὸς δὲ φίλοι, δόξα, τιμά, πλοῦτος. Παραπλασίως δὲ καὶ τὸ δι' ἄτερον αἱρετόν· τὸ μὲν γάρ τι αὐτῶ τὰ ποιατικὰ τῶν τᾶς ψυχᾶς ἀγαθῶν, περὶ σῶμα δὲ τὰ τῶ σώματος, ἐκτὸς δὲ τὰ αἴτια πλούτω καὶ δόξας καὶ τιμᾶς καὶ φιλίας. Ὅτι δὲ τὰν ἀρετὰν ἦμεν συμβέβακεν αὐτὰν δι' αὐταύταν αἱρετάν, δᾶλον καὶ ἐκ τῶνδε. Αἱ γὰρ τὰ καταδεέστερα τᾷ φύσει (λέγω δὴ τὰ σώματος ἀγαθά), αὐτὰ δι' αὔταυτα αἱρεόμεθα, κρέσσων δὲ ψυχὰ σώματος, φανερὸν ὅτι καὶ τὰ τᾶς ψυχᾶς ἀγαθὰ αὐτὰ δι' αὔταυτα ἀγαπέομες, ἀλλ' οὐ διὰ τὰ ἀποβαίνοντα ἀπ' αὐτῶν.

([a] τίνα ὦν ἐντι scripsi ; codd. τίνων ὦν ἐντι. [b] παρεκτικὰ posui pro membranarum lectione προαιρετικά.)

ε'. Τῶ δ' ἀνθρωπίνω βίω καιροὶ τρεῖς, ὁ μὲν ἐν εὐτυχίᾳ, ὁ δὲ ἐν ἀτυχίᾳ, ὁ δὲ μεταξὺ τούτων. Ἐπεὶ ὦν ἀγαθὸς ἀνὴρ ὁ ἔχων ἀρετὰν καὶ ὁ χρεόμενος ἀρετᾷ, χρέεται δὲ αὐτᾷ κατὰ τὼς τρεῖς καιρώς· ἢ γὰρ ἐν ἀτυχίᾳ ἢ ἐν εὐτυχίᾳ ἢ ἐν τοῖς μεταξὺ τούτων· καὶ ἐν ἀτυχίᾳ μέν ἐντι κακοδαίμων, ἐν δ' εὐτυχίᾳ εὐδαίμων, ἐν δὲ τᾷ μέσᾳ καταστάσει οὐκ εὐδαίμων. Φανερὸν ὦν ὅτι οὐδὲν ἄτερόν ἐντι εὐδαιμοσύνα ἀλλ' ἢ χρᾶσις ἀρετᾶς ἐν εὐτυχίᾳ. Λέγομες δὲ νῦν εὐδαιμοσύναν τὰν τῶ ἀνθρώπω. Ὁ δ' ἄνθρωπος οὐχ ἁ ψυχὰ μόνον, ἀλλὰ καὶ τὸ σῶμα· τὸ γὰρ ἐξ ἀμφοτέρων ζῷον καὶ τὸ ἐκ τοιούτων ἄνθρωπος. Καὶ γὰρ αἰ τᾶς ψυχᾶς ὄργανον τὸ σῶμα πέφυκεν, ἀλλὰ καὶ τῶ ἀνθρώπω μέρος, καὶ τοῦτο καὶ ἁ ψυχά. Διὸ καὶ τῶν ἀγαθῶν ἃ μέν ἐντι τῶ ἀνθρώπω, ἃ δὲ τῶν μερέων. Καὶ ἀνθρώπω μὲν ἀγαθὸν εὐδαιμοσύνα, τῶν δὲ μερέων τῶ ἀνθρώπω, ψυχᾶς μέν, φρόνασις, ἀνδρεία, δικαιοσύνα, σωφροσύνα, σώματος δέ, κάλλος, ὑγίεια, εὐεκτία, εὐαισθασία. Τὰ δὲ ἐκτός, πλοῦτος καὶ δόξα καὶ τιμὰ καὶ εὐγένεια, πέφυκεν ἐπιγένναμα ἦμεν τῶ ἀνθρώπω, καὶ ἀκόλουθα τοῖς [a] φύσει προϋφεστακόσιν ἀγαθοῖς. Δορυφορεῖ [b] δὲ τὰ μήονα τῶν ἀγαθῶν τὰ μέζονα, φιλία μὲν καὶ δόξα

---

non propter se ipsa : fuerit et tertia quædam species bonorum, quæ et propter se sit expetenda et propter aliud. Quæ igitur sunt hujus generis bona, quæ propter se, non propter aliud solent expeti? Manifesto talis est beatitudo. Hujus enim gratia reliqua expetimus, eam vero ipsam nullius alterius gratia. Quæ vero sunt, quæ propter alia, non propter se ipsa appetimus? Nimirum res utiles et bonorum conciliatrices, quæ sunt causæ optabilium, ut labores quidem et exercitia corporum et frictiones bonæ valetudinis, lectiones autem, meditationes et studia honestatis atque virtutis. Quæ vero et propter se et propter aliud expetenda? nempe virtutes et habitus earum et consilia et actiones et quidquid cohæret cum honesti ratione. Bonum igitur, quod propter se, non propter alterum eligendum sit, solum et unicum est : quod vero et propter se et propter aliud, trifariam divisum est. Partim enim in animo est, partim in corpore, partim extrinsecus : in animo quidem virtutes animi, in corpore vero corporis virtutes, extra hominem amici, gloria, honor, divitiæ. Similiter et illud quod propter aliud expetitur : est enim partim id omne quod animi bona efficit, partim quod circa corpus hujus bonorum externorumque causam præbet, divitiarum, gloriæ, honoris et amicitiæ. Cæterum virtutem propter se expetendam esse, hinc etiam colligitur. Si enim illa, quæ inferiora sua natura sunt (dico corporis bona), propter se expetimus, animus autem præstantior corpore, apertum est nos animi quoque bona propter se, non propter eorum effectus expetere.

V. Vitæ humanæ tria sunt tempora, unum felicitatis, aliud infelicitatis, tertium medium utriusque fortunæ. Cum igitur vir bonus sit virtute præditus ejusque cultor, in illius autem exercitatione tribus temporibus versetur, sive duriore fortuna conflictatus, sive felicitate florens, sive mediocrem rerum statum nactus : in adversa quidem fortuna est miser, in prosperitate felix, in medio vero statu non beatus. Liquet igitur, felicitatem esse nihil aliud quam usum virtutis in prospero rerum successu. Loquimur autem hoc loco de hominis beatitate. Homo autem non tantum ex animo, sed e corpore quoque compositus est; nam ex utroque animal atque e talibus homo constat. Quamvis enim corpus animi sit instrumentum, tamen et hominis pars est, itidem et animus. Quocirca et bona alia quidem sunt hominis, alia vero partium. Atque hominis quidem bonum felicitas, partium autem hominis, animi quidem prudentia, fortitudo, justitia, temperantia; corporis vero pulchritudo, sanitas, bona habitudo, integritas sensuum. Externa vero, opes, gloria, honor, nobilitas hominis bonorum accessiones esse solent, bonisque natura præcedentibus subjici. Minora autem bona majoribus satellitum instar adsunt, amicitia

καὶ πλοῦτος σῶμα καὶ ψυχάν, ὑγίεια δὲ καὶ ἰσχὺς καὶ εὐαισθασία ψυχάν, φρόνασις δὲ καὶ ἀνδρία καὶ σωφροσύνα καὶ ἁ δικαιοσύνα τὸν νόον τᾶς ψυχᾶς, ὁ δὲ νόος τὸν θεόν. Οὗτος γὰρ ὁ κράτιστός ἐντι καὶ ὁ ἁγεμονεύων· καὶ τούτω [c] ἕνεκα καὶ τὰ ἄλλα τῶν ἀγαθῶν δεῖ παρῆμεν. Στρατεύματος μὲν γὰρ ἁγεῖται στραταγός, πλωτάρων δὲ κυβερνάτας, τῷ δὲ κόσμῳ θεός, τᾶς δὲ ψυχᾶς νόος, τᾶς δὲ περὶ τὸν βίον εὐδαιμοσύνας φρόνασις. Οὐδὲν γὰρ ἄτερόν ἐντι φρόνασις, αἰ μὴ ἐπιστάμα τᾶς περὶ τὸν βίον εὐδαιμοσύνας ἢ ἐπιστάμα τῶν κατὰ φύσιν ἀνθρώπῳ ἀγαθῶν.

([a] τοῖς inserui cum Hirschigio. [b] δορυφορεῖ δὲ cum Halmio scripsi pro librorum lectione δορυφορεῖται. [c] τούτω posui; libri τούτων.)

ϛʹ. Καὶ θεῷ μὲν εὐδαιμοσύνα καὶ βίος ἄριστος, τῷ δ' ἀνθρώπῳ ἐξ ἐπιστάμας καὶ ἀρετᾶς καὶ τρίτω εὐτυχίας σωματουμένα παραγίνεται. Λέγω δὲ σοφίαν μὲν ἐπιστάμαν τῶν θείων καὶ δαιμονίων, φρόνασιν δὲ τῶν ἀνθρωπίνων καὶ τῶν περὶ τὸν βίον. Τὰς γὰρ λόγοις καὶ ἀποδείξεσιν ποτιχρωμένας ἀρετὰς δέον ἐπιστάμας ποταγορεύεν· ἀρετὰν δὲ τὰν ἠθικὰν καὶ βελτίσταν ἕξιν τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς, καθ' ἃν καὶ ποιοί τινες ἦμεν λεγόμεθα κατὰ τὸ ἦθος, οἷον ἐλευθέριοι, δίκαιοι καὶ σώφρονες· εὐτυχίαν δὲ τὰν παρὰ τὸν λόγον τῶν ἀγαθῶν παρουσίαν, καὶ μὴ δι' αὐτὸν γινομέναν. Ἐπεὶ ὦν ἁ μὲν ἀρετὰ καὶ ἐπιστάμα ἐφ' ἁμῖν, ἁ δ' εὐτυχία οὐκ ἐφ' ἁμῖν· ἐν δὲ θεωρίαις καὶ πράξεσι τῶν καλῶν τὸ εὐδαιμονέν, αἱ δὲ θεωρίαι καὶ αἱ πράξεις ποτάντεις μὲν οὖσαι λειτουργίαν καὶ ἀνάγκαν ἐπιφέροντι, εὐοδοῦσαι δὲ διαγωγὰν καὶ εὐδαιμοσύναν· γίνεται δὲ ταῦτα ἐν εὐτυχίᾳ· φανερὸν ὅτι οὐδὲν ἄτερόν ἐντι εὐδαιμοσύνα, αἰ [a] μὴ χρᾶσις ἀρετᾶς ἐν εὐτυχίᾳ.

([a] αἰ scripsi; codd. εἰ.)

ζʹ. Ὅτι ὁ ἀγαθὸς ἀνὴρ οὕτω διάκειται ποτ' εὐτυχίαν, ὥσπερ καὶ ὁ τῷ σώματι καλῶς ἔχων καὶ ῥωμαλέως. Καὶ γὰρ ἐκεῖνος οἷός τε καὶ θάλπος καὶ ψῦχος ὑπομένεν, καὶ βάρος ἆραι μέγα, καὶ πολλὰς ἀτέρας εὐχερῶς ὑπομένεν κακοπαθείας.

ηʹ. Ἐπεὶ ὦν εὐδαιμοσύνα χρᾶσις ἀρετᾶς ἐν εὐτυχίᾳ, περὶ ἀρετᾶς καὶ εὐτυχίας λέγωμες, καὶ πρᾶτον περὶ εὐτυχίας. Τῶν γὰρ ἀγαθῶν ἃ μὲν οὐκ ἐπιδέχεται ὑπερβολάν, οἷον ἀρετά, οὐ γάρ ἐντι ὑπερβάλλοισά τις ἀρετά, καὶ ὑπερβαλλόντως τις ἀγαθός· ἁ γὰρ ἀρετὰ στάθμαν ἔχει τὸ δέον, καί ἐντι τῶ δέοντος ἕξις ἐν τοῖς πρακτοῖς· ἁ δ' εὐτυχία καὶ τὰν ὑπερβολὰν ἐπιδέχεται καὶ τὰν μήωσιν, ὑπερβάλλοισα δὲ γεννᾷ τινας κακίας, καὶ ἐξίστησι τὸν ἄνθρωπον ἐκ τᾶς κατὰ φύσιν ἕξιος, ὥστε πολλάκις ἀντιβαίνειν καὶ τᾷ συστάσει τᾶς ἀρετᾶς. Καὶ οὐ μόνον ἁ εὐτυχία, ἀλλὰ καὶ ἅτεραι αἰτίαι πλέονες. Οὐδέποκα γὰρ δεῖ θαυμαίνειν περὶ μὲν αὐλατικὰν ἦμέν τινας ἀλαζόνας, οἳ τὰ ποτ' ἀλάθειαν ἐάσαντες φαντασίᾳ τινὶ ψευδεῖ τὼς ἀμώσως αἱρέοντι [a], περὶ δὲ τὰν ἀρετὰν μὴ ἦμεν τὸ τοιοῦτον γένος, ἀλλ' ὅσῳ περ σεμνότερόν ἐντι, τοσούτῳ καὶ τὸ ποτιποιούμενον περὶ αὐτὰν πλέον ἦμεν γένος. Πολλὰ γάρ ἐντι

---

quidem et gloria et divitiæ corpori atque animo, sanitas vero et robur et sensuum integritas animo: prudentia autem et fortitudo et temperantia et justitia intellectui, intellectus autem deo ipsi. Hic enim supremus est et gubernator, ejusque causa cætera bona præsto esse oportet. Exercitui enim præest imperator, nautis gubernator, mundo autem deus, animæ vero mens ipsa, vitæ denique felicitati prudentia. Quippe nihil aliud prudentia est, quam scientia quædam vitæ feliciter agendæ aut bonorum homini insitorum cognitio.

VI. Ac dei quidem beatitas et vita optima est, hominis autem felicitas e scientia, virtute tertiaque prospera fortuna quasi coalescit. Appello autem sapientiam quidem cognitionem cœlestium divinarumque rerum, prudentiam vero humanarum rerum et earum quæ ad vitam spectant peritiam. Eas enim quæ ratione et demonstratione utuntur virtutes fas est scientias nominare: virtutem vero moralem etiam optimum animi partis ratione carentis habitum, secundum quem aliquo modo morati esse dicimur, verbi causa liberales, justi et temperantes: bonam denique fortunam bonorum, quæ præter rationem eaque non adhibita contingunt, affluentiam. Quum igitur virtus quidem et scientia in nostra potestate sint, bona autem fortuna non item, in meditatione vero et actione rerum honestarum sita sit felicitas, contemplatio porro et actiones, in asperitatibus rerum ministerium et necessitatem, in successu delectationem et felicitatem afferant, eaque in prospera fortuna fiant: patet nihil aliud esse felicitatem, quam usum virtutis in rebus secundis.

VII. Bonus vir sic affectus est erga fortunam secundam, ut is qui integro est corpore et viribus pollet. Talis enim et æstum et frigus potest tolerare et pondus attollere ingens multasque alias facile perferre ærumnas.

VIII. Cum igitur beatitas usus sit virtutis in fortuna bona, de virtute et bona fortuna dicamus, ac primo quidem de prosperitate. Quippe bonorum quædam non admittunt exsuperantiam, ut virtus. Non enim est ulla virtus quæ modum excedat aut quisquam nimis bonus: nam virtus normam habet decorum, estque decori in rebus agendis habitus: prospera autem fortuna et exsuperantiam admittit et defectum, modumque transiens gignit quædam vitia atque hominem a naturali habitu abstrahit, ita ut virtutis quoque substantiæ sæpenumero adversetur. Nec solum res florentes, verum etiam aliæ causæ complures id faciunt. Neque enim unquam mirari oportet quum inter tibicines quidam reperiantur ostentatores qui vera arte neglecta falsa quadam ejus imagine imperitos captent, nihil ejus generis inter virtutis cultores esse, sed quo res gravior sit virtus, eo plura quæ sibi vindicent eam esse genera. Multa enim sunt quæ virtu-

τὰ διαστρέφοντα τὰς περὶ τὰν ἀρετὰν ἐπιφανείας, ὧν ἓν μέν ἐντι τὸ τῶν ἐπιβουλευόντων καὶ ποτιποιουμένων γένος· ἅτερα δὲ φυσικὰ πάθεα παρακολουθέοντα ἐνίοκα ποιέοντι ἐναντίαν ἐπιπρέπειαν τᾶς ἀλαθινᾶς διαθέσιος, τινὰ δὲ καὶ δι' ἔθος συνεκτεθραμμένα ἐκ παλαιῶν χρόνων, οὐκ ὀλίγα δὲ καὶ δι' ἁλικίας ἁβατικάς τε καὶ γεροντικάς, καὶ δι' εὐτυχίας ἢ καὶ ἀτυχίας, καὶ δι' ἀτέρως παμπλαθέας τρόπως. Ὥστε οὐδέποκα δεῖ θαυμαίνειν, αἰ πάντ' ἀνεστραμμένως ἐνίοκα κρίνεται, τᾶς ἀλαθινᾶς διαθέσιος μεταπιπτοίσας, ὥσπερ καὶ τέκτονα τὸν ἄριστον ἦμεν δοκέοντα πολλὰ ἐν τοῖς ὑποκειμένοις ἔργοις ὁρέομες ἁμαρτάνοντα, καὶ στραταγὸν καὶ κυβερνάταν καὶ γραφέα καὶ πάντας ἁπλῶς, καὶ ὅμως οὐκ ἀποστερέομες τᾶς ὑπαρχοίσας ἕξιος· οὕτως οὐδὲ τὸν ἀκολασταίνοντα ἔν τισι καιροῖς, οὐδὲ τὸν ἀδικήσαντα, οὐδὲ τὸν ἀποδειλιάσαντα ἐς τὼς κακὼς τακτέον ἄνδρας, οὐδὲ μὰν τὼς τούτων τι κατορθώσαντας ἐς τὼς ἀγαθώς, ἀλλὰ τοῖς τε φαύλοις τὸ τυχὲν ποτὲ δοτέον τοῖς τε ἀγαθοῖς τὸ διαμαρτάνεν. Τὰν δὲ ἀλαθινὰν κρίσιν οὐ ποθ' ἕνα καιρὸν ἐπιβλέποντας ποιητέον [b], οὐδ' ἐπὶ χρόνῳ τι πλᾶθος, ἀλλ' ἐπὶ πάντα τὸν βίον. Ὥσπερ δὲ τὸ σῶμα βλάπτει μὲν καὶ τὸ τᾶς ἐνδείας καὶ τὸ τᾶς ὑπερβολᾶς εἶδος, οὐ μὰν ἀλλὰ νόσως ἔτι μέζονας ἐμποιὲν πέφυκεν ἁ ὑπερβολὰ καὶ τὰ καλεόμενα περισσώματα· οὕτω καὶ ψυχὰν βλάπτει μὲν καὶ τὸ τᾶς εὐτυχίας ἢ ἀτυχίας εἶδος ἀκαίρως παραγενόμενον, οὐ μὰν ἀλλὰ νόσως ἔτι μέζονας ποιὲν πέφυκεν ἁ λεγομένα παρὰ πάντεσσιν εὐτυχία, ὥσπερ οἶνος καταμεθύσκοισα τοῖς ἀγαθοῖς τὰν διάνοιαν.

(Scripsi : [a] αἱρέοντι cum Valckenario ad Eurip. Hippol. v. 17 pro membranarum lectione ἀεὶ ῥέοντι. [b] ποιητέον quod in codd. desideratur inserui.)

θ'. Ὅθεν οὐκ ἀτυχίαν ἐνεγκὲν ἐμμελῶς χαλεπώτερόν ἐντι, ἀλλ' εὐτυχίαν. Πάντες μὲν γὰρ ἐν ἀτυχίᾳ μὲν ὄντες [a] ὡς ἐπὶ πολὺ μέτριοι καὶ κόσμιοι τὸ ἦθος ἦμεν φαίνονται, ἐν δ' εὐπραγίαις ἀνδρῆοι, μεγαλόφρονες, μεγαλόψυχοι. Δεινὰ γὰρ ἀτυχία συναγαγὲν καὶ καταρτίσαι τὰν ψυχάν, ἁ δ' εὐπραγία τοὐναντίον ἐπᾶραι καὶ κενῶσαι. Διὸ ποθεκτικοὶ μὲν ἅπαντες καὶ συνετοὶ τὸν τρόπον ἀτυχέοντες, ἐπιθετικοὶ δὲ καὶ θαρσαλέοι τὸν τρόπον εὐτυχέοντες.

([a] μὲν ὄντες Schowii conjectura est pro codicum lectione μένοντες.)

ι'. Ὅρος δέ ἐντι εὐτυχίας, ἂν προέλοιτο ὁ ἀγαθὸς ἀνὴρ συνεργὸν αὐτῷ γενομέναν ποττὰς ἰδίας πράξιας, ὥσπερ καὶ μέγεθος ναὸς καὶ μέγεθος πηδαλίω, ᾧ καθικνεῖσθαι δύναται ὁ ἀγαθὸς κυβερνάτας μεγάλα πελάγια διαπεραιούμενος καὶ μεγάλαν ναυκλαρίαν στελλόμενος. Ἁ δ' ὑπερβολὰ τᾶς εὐτυχίας τοῖς ἀγαθοῖς οὐ κρατεῖσθαι πέφυκεν ὑπὸ τᾶς ψυχᾶς, ἀλλὰ κρατὲν αὐτᾶς. Ὥσπερ γὰρ τὸ λαμπρὸν φάος μαραυγίαν περιτίθησι τοῖς ὀφθαλμοῖς, οὕτω καὶ ἁ ὑπερβάλλοισα εὐτυχία τῷ νόῳ τᾶς ψυχᾶς. Καὶ περὶ μὲν ὧν εὐτυχίας ἅλις εἰρήσθω.

(Stob. Flor. I, 72-81.)

ια'. Φρόνιμος ἀνὴρ οὕτως ἂν μάλιστα γένοιτο, αἰ [a] φύσιος πρᾶτον εὐστόχω τε καὶ μναμονικᾶς καὶ φιλο-

---

tis speciem pervertant, e quibus unum est insidiantium et simulantium genus : tum naturales cupiditates virtutis comites interdum in contrarium vertunt veræ affectionis decorem; quædam vero etiam ex consuetudine inde a priscis temporibus nobis familiaria, non pauca item propter ætatem juvenilem et senilem, ad hæc ob res prosperas et adversas et ob alios mores complures. Quocirca mirandum non est, si omnia quandoque perverso judicio æstimantur, sincero animi habitu immutato, quemadmodum etiam fabrum qui optimus habeatur multa in destinatis operibus peccare videmus, similiter et imperatorem et gubernatorem et pictorem et omnino omnes, et tamen adeptæ facultatis laude eos non fraudamus : sic nec luxuriantem quibusdam temporibus aut injuste agentem, aut reformidantem in improborum numero reponemus, nec si qui horum aliquid recte egerint, in bonis viris numerabuntur, sed cum malis successus aliquando attribuendus, tum bonis lapsus et error. Veram autem sententiam dicemus non unam occasionem aut longius temporis spatium, sed totam hominis vitam intuentes. Ut vero corpori nocet defectus et abundantiæ species, sed graviores etiam morbos excessus et quæcunque supervacanea sunt ei afferre solent : ita et animo nocet tam bonorum quam malorum species intempestive ei illata, verum morbos etiam acriores incutere illi solet quæ apud omnes dicitur prospera fortuna, vini instar bonorum virorum animos quasi inebrians.

IX. Quamobrem non adversam fortunam commode ferre difficile est, sed prosperam. Omnes enim, quamdiu in miseria sunt, plerumque temperatis modestisque moribus esse videntur, in prospero autem rerum successu animosi, excelsi et superbi. Valet enim calamitas ad contrahendum et componendum animum, successus rerum contra ad inflandum et inanem reddendum. Quo fit ut infelices cuncti attenti sint et prudentes, audaces vero et confidentes qui felicitate florent.

X. Finis autem quidam est prosperæ fortunæ, quam vir bonus actionum suarum sociam exoptet, sicut mensura navis et clavi, quo ferire aquas potest bonus gubernator vasta maria transmittens et longinquam navigationem ingrediens. At nimia prosperitas, si viris bonis contingat, animo non parere solet, sed imperare. Ut enim nimia lux visum obscurat : ita nimia prosperitas mentis aciem præstringit. Ac de felicitate hæc dicta sufficiant.

XI. Vir prudens ita maxime fiat, si primum ingenium sollers, animum memorem, naturam laboriosam nactus

πόνῳ τυχὼν ἐν λογισμοῖς τε καὶ μαθημάτεσσι καὶ ταῖς ποτ' ἀκρίβειαν θεωρίαις εὐθὺς ἐκ νέω [b] γυμνάσαιτο τὰν διάνοιαν φιλοσοφίας ἁπτόμενος ὀρθᾶς, μετὰ δὲ ταύτας θεῶν τε καὶ νόμων καὶ βίων ἀνθρωπίνων ἐμπειρίαν λάβοι. Δύο γάρ ἐντι ἐξ ὧν τῷ φρονίμῳ διάθεσις παραγίνεται, ὧν τὸ μέν ἐντι ἕξιν μαθηματικάν τε καὶ γνωστικὰν λαβέν, τὸ δὲ θεωρήματα καὶ πράγματα πολλὰ ἐπελθόντα, τὰ μὲν καὶ αὐτὸν ἰδόντα τὰ δὲ καὶ δι' ἑτέρω τινὸς τρόπω κατανοήσαντα. Οὔτε γὰρ ὁ ἐν λογισμοῖς καὶ μαθημάτεσσι καὶ ταῖς ποτ' ἀκρίβειαν θεωρίαις εὐθὺς ἐκ νέω γυμνάσας τὰν διάνοιαν ἱκανός ἐντι ποτὶ φρόνασιν, οὔθ' ὁ τούτων μὲν ἀπολειφθείς, ἐν ἀκροαμάτεσσι δὲ πολλοῖς καὶ πραγμάτεσσιν ἀναστρεφθείς. Ἀλλ' ὁ μὲν ἐν τῷ καθ' ἕκαστα κρίνεν τυφλὸς ἐγένετο τὰν διάνοιαν, ὁ δὲ ἐν τῷ καθόλω θεωρὲν ἀεί. Καθάπερ γὰρ ἐπὶ τῶν λογισμῶν δύναται ὁ λόγος τὰ μέρεα συντιθεὶς τὸ ὅλον ἐξ αὐτῶν λογίζεσθαι, οὕτω καὶ ἐπὶ τῶν πραγμάτων δύναται ὁ μὲν λόγος τὰν καθόλω θεωρίαν ὑπογράφεν, ἁ δ' ἐμπειρία καθ' ἕκαστα κρίνεν.

(Stob. Flor. III, 76. Correxi [a] γένοιτο, αἱ φύσιος; libri γένοιτο, φύσιος. [b] ἐκ νέω cum Hirschigio; codd. ἐκ νέων.)

Παραπλησίως δὲ καὶ γῆρας ἔχει ποτὶ νεότατα, καὶ ποιεῖ ἁ μὲν νεότας ἐγχειρητικώς [a], τὸ δὲ γῆρας προνοατικώς· καὶ μηδέποκα ἀφύλακτον ἦμεν πέφυκε [b] διανοίας, ἀλλὰ καὶ τί πράσσει καὶ τί πέπραχεν ἐπισκοπεῖ, ἵνα τὰ μὲν μέλλοντα τοῖς παρεόντεσσι σταθμεύμενος [c], τὰ δ' ἐνεστακότα τοῖς παρῳχημένοις αὐτὸς αὕταυτον διορθοῦν δύνηται, ποτὶ μὲν τὸν παροιχόμενον χρόνον [d] τὰν μνάμαν ἐφαρμόζων, ποτὶ δὲ τὸν παρεόντα τὰν αἴσθασιν, ποτὶ δὲ τὸν μέλλοντα τὰν πρόνοιαν. Ἔντι γὰρ ἀεὶ μνάμα μὲν ἁμὶν τῶ παρεληλυθότος χρόνω, πρόνοια δὲ τῶ μέλλοντος, αἴσθασις δὲ τῶ παρεόντος. Διὸ δὴ δεῖ τὸν ὀρθῶς καὶ καλῶς βιοτεύεν μέλλοντα μὴ μόνον αἰσθατικὸν καὶ μναμονευτικὸν ἀλλὰ καὶ προνοατικὸν ἦμεν.

(Stobæus Floril. CXV, 27. Emendavi [a] ἐγχειρητικώς et προνοατικώς cum Orellio; codd. ἐγχειρητικῶς et προνοατικῶς. [b] ἦμεν πέφυκε; codd. αὐτὸ ἀφίεμεν. [c] σταθμεύμενος; libri σταθμευόμενος. [d] παροιχόμενον χρόνον cum Meinekio; libri παροιχόμενον.)

β'. Ἐν τῷ περὶ τᾶς ἠθικᾶς παιδείας.

ιβ'. Φαμὶ τὰν ἀρετὰν ἦμεν ποττὸ μὴ κακοδαιμονὲν ἱκανάν, τὰν δὲ κακίαν ποττὸ μὴ εὐδαιμονέν, αἴκα τὰς ἕξιας αὐτὰς κρίνωμες. Αἰεὶ μὲν γὰρ κακοδαιμονὲν ἀνάγκα τὸν κακόν, αἴτε ἔχει ὕλαν (κακῶς τε γὰρ αὐτᾷ χρέεται) αἴτε σπανίζει· ὡς καὶ τὸν τυφλὸν αἰεὶ ἀνάγκα ἦμεν τυφλόν [a], αἴτε φῶς ἔχει καὶ λαμπρότατα ὁρατάν, αἴτε ἐν σκότει διατελεῖ. Οὐκ αἰεὶ δὲ εὐδαιμονὲν τὸν ἀγαθόν· οὐ γὰρ ἁ κτᾶσις τᾶς ἀρετᾶς εὐδαιμονία ἦς, ἀλλ' ἁ χρᾶσις. Καὶ γὰρ ὁ ἔχων τὰν ὄψιν οὐχ ὁρῇ αἰεί· αἱ γὰρ μὴ ἔχῃ φῶς, οὐκ ὄψεται. Δύο δὲ ὁδοὶ τέμνονται ἐν βίῳ, ἃ μὲν σκυθρωποτέρα, τὰν ὁ τλάμων ἐβάδιζεν Ὀδυσσεύς, ἃ δ' εὐδιεινοτέρα, τὰν ἐπορεύετο Νέστωρ. Τὰν ὦν ἀρετὰν φαμι δήλεσθαι μὲν ταύταν, δύνασθαι δὲ καὶ τήναν. Ἀλλὰ τὰν εὐδαιμονίαν καρύσσει ἁ φύσις βίον εὐκταῖον καὶ εὐστα-

---

ratiocinando et artibus mathematicis et accurata rerum contemplatione statim a puero animum exerceat ad rectam philosophiam incumbens, postea vero deorum res, leges hominumque vitas usu cognoscat. Duo enim sunt e quibus prudentis habitus animo accedit, quorum unum est discendi cognoscendique facultatem adipisci, alterum multa spectacula multasque res obire, ita ut partim ipse singula videas, partim alio modo perspicias. Neque enim is qui statim ab ineunte ætate calculis et mathematicis disciplinis et accurata rerum inspectione animum exercuit ad prudentiam aptus est, neque ille qui his destitutus in multis aliis auditionibus et rebus experientia duce versatus sit. Sed alter ad singularia perpendenda cæcum habet animum, alter in universalium contemplatione semper nihil videt. Quemadmodum enim in calculis ratio conjunctis partibus totum colligere potest, sic etiam in rebus ratio contemplationem universalem delineat, experientia vero singula judicat.

Similiter senectus quoque ad juventutem se habet, efficitque juventus quidem industrios, senectus autem providos: neque unquam mentis custodia caret, sed quid agat et quid egerit, considerat, ut futura cum præsentibus, præsentia cum præteritis pensitans senex ipse se corrigere possit, ad præteritum tempus memoriam accommodans, ad præsens sensum, ad futurum vero providentiam. Semper enim memoria nobis adest præteriti temporis, providentia futuri, præsentis denique sensus. Idcirco hominem bene recteque victurum non solum sensu et memoria, sed etiam providentia valere oportet.

b. Ex libro de Doctrina morali.

XII. Ajo virtutem ad miseriam, vitium vero ad beatitudinem fugiendam, si habitus ipsos inspiciamus, sufficere. Semper enim virum malum miserum esse necesse est, sive habeat materiam (male enim ea utitur) sive ea careat, quemadmodum et cæcus, sive lumen ei adsit splendorque aspectabilis, sive in tenebris degat, perpetuo cæcus manebit. At bonum non semper beatum esse necesse est, quandoquidem non in possessione virtutis, sed in usu beatitudo cernitur. Etenim qui visu præditus est non semper videt: si enim luce careat, nihil videbit. Duæ autem viæ in vita secantur, altera quidem difficilior qua patiens incessit Ulixes, altera vero lætior, quam Nestor tenuit. Virtutem igitur ajo hanc quidem expetere, verum et illam ingredi posse. Sed beatitudinem natura vitam optabilem atque firmam, quoniam proposita peraguntur,

θέα, διὰ τὸ γνώμας τελεσθῆμεν· ὥστε ἃ μὴ δήληταί τις παριόντων [b], οὐκ εὐδαίμων μέν, οὐ μὰν πάντα κακοδαίμων.

(Scripsi [a] αἰεὶ ἀνάγκα ἦμεν τυφλόν quæ verba in membranis desiderantur. [b] παριόντων; codd. παριόντας.)

Μὴ ὦν ἄνοσον καὶ ἀνάλγατον τολμώντων τὸν ἀγαθὸν εἰπέν, μηδὲ ἄλυπον θρασυνέσθωσαν λέγεν· ὡς γὰρ σώματι ἀλγεινά τινα ἀπολείπομες, οὕτω καὶ ψυχαῖς ἐπώδυνα. Ἀλλὰ ταὶ μὲν ἀφρόνων λῦπαι ἀλόγιστοι πέλονται, ταὶ δὲ φρονίμων ἐς ὅσον ὁ λόγος ἐπιτρέπει ὁρίζδων τὰ πράγματα. Ἀλλὰ μὰν καὶ τὸ καύχαμα αὐτῶν τᾶς ἀπαθείας ἐκλύει τᾶς ἀρετᾶς τὸ γενναῖον, αἴκα ἐν διαφόροις καὶ μεγάλοις [a] κακοῖς θανάτῳ τε καὶ ἀλγηδόνι καὶ πενίᾳ ἀντιβεβάκη. Εὐκαταγώνιστα γὰρ τὰ μικρὰ [b] κακά. Ἀσκατέον ὦν ποττὰν μετριοπαθίαν ἵεμεν, ὡς τό τε ἀνάλγατον ἐς ἴσον τῷ ἐμπαθεῖ φεύγωμες, μηδὲ μέζον φύσιος τᾶς ἁμετέρας φθεγγώμεθα.

(Stobæus Floril. I, 70-71. Reposui [a] μεγάλοις κακοῖς cum Gesnero; codd. μὴ κακοῖς. [b] μικρὰ κακά cum eodem; libri μὴ κακά.)

γ'. Ἐκ τοῦ περὶ σοφίας.

ιγ'. Ἀρχύτας τοίνυν ἐν τῷ περὶ σοφίας εὐθὺς ἀρχόμενος προτρέπει οὕτω·

§ 1. Τοσοῦτον διαφέρει σοφία ἐν πᾶσι τοῖς ἀνθρωπίνοις πράγμασιν, ὅσον ὄψις μὲν αἰσθασίων σώματος, νόος δὲ ψυχᾶς, ἅλιος δὲ ἄστρων. Ὄψις τε γὰρ ἑκαβολεστάτα καὶ πολυειδεστάτα τᾶν ἀλλᾶν αἰσθασίων ἐντί, καὶ νόος ὕπατος λόγῳ καὶ διανοίᾳ τὸ δέον ἐπικραίνων, καὶ ὄψις καὶ δύναμις τῶν τιμιωτάτων ὑπάρχων. Ἅλιός γε μὰν ὀφθαλμός ἐντι καὶ ψυχὰ τῶν φύσιν ἐχόντων· ὁρῆταί τε γὰρ δι' αὐτῶ πάντα καὶ γεννῆται καὶ νοῆται, ῥιζωθέντα καὶ γενναθέντα δὲ τράφεται καὶ ἀέξεται καὶ ζωπυρῆται μετ' αἰσθάσιος.

§ 2. Ἡ δὲ ἀπὸ τοῦ ὄντως ἀνθρώπου ὑπομιμνήσκουσα τῆς ἐπὶ τὰ αὐτὰ προτροπῆς διὰ τῶν ἑξῆς ἐπιδείκνυται τῶν οὕτω λεγομένων·

Ἄνθρωπος πάντων ζώων ἐπὶ πολλὸν γέγονε σοφώτατος· θεωρῆσαί τε γὰρ δυνατός ἐντι τὰ ἐόντα καὶ ἐπιστάμαν καὶ φρόνασιν λαβὲν ἐκ τῶν ἁπάντων. Παρὸ καὶ ἐνεχάραξε καὶ ἐπεσημήνατο τὸ θεῖον αὐτῷ τὸ τῶ παντὸς λόγω σύσταμα, ἐν ᾧ τά τε εἴδεα πάντα τῶ ἐόντος ἐνδέδασται καὶ ταὶ σημασίαι τῶν ὀνυμάτων. Τοῖς μὲν γὰρ φθόγγοις τᾶς φωνᾶς τόπος ἀφώρισται φάρυγξ καὶ στόμα καὶ ῥῖνες. Ὥσπερ δὲ τῶν φθόγγων, δι' ὧν τὰ ὀνύματά τε καὶ ῥήματα τυπούμενα σημαίνεται, γέγονεν ἄνθρωπος ὄργανον· οὕτω καὶ τῶν νοαμάτων ἐν τοῖς ἐόντεσσι ὀπτιζομένοις θεαρός. Καὶ τοῦτο δοκεῖ μοι ἦμεν, ποθ' ὅπερ καὶ γέγονε καὶ συνέστα ὁ ἄνθρωπος, καὶ ὄργανά τε καὶ δυνάμεις εἴλαφε παρὰ τῶ θεῶ.

§ 3. Γέγονε καὶ συνέστα ὁ ἄνθρωπος ποττὸ θεωρῆσαι τὸν λόγον τᾶς τῶ ὅλω φύσιος, καὶ τᾶς σοφίας· ἔργον ὦν αὐτῷ [a] κτᾶσθαι καὶ θεωρὲν τὰν τῶν ἐόντων φρόνασιν.

(Scripsi [a] ἔργον ὦν αὐτῷ; codd. ὦν ἔργον. Cf. Perictione apud Stobæum Floril. I, 62.)

---

prædicat : quapropter transeuntibus iis quæ quis non desiderat, ut beatus nemo est, ita nec plane miser.

Ne igitur morbi et doloris expertem audeant bonum appellare, neve vacuum omni mœrore temere dicant : sicut enim corpori dolorem facientia quædam relinquimus, sic et animis, quæ dolorem inferant. Veruntamen stultorum dolores ratione carent, sapientum vero non ulterius quam ratio rebus modum constituens permittit, progrediuntur. Sed et jactata eorum indolentia virtutis generositatem tollit, si insignibus magnisque malis morti, cruciatui et paupertati se objiciat. Facile enim parva mala superantur. Incumbamus igitur omnibus viribus ut mediocritatem affectuum consequamur, quo doloris vacuitatem pariter atque exsuperantiam vitemus, neve majora jactemus, quam natura nostra patitur.

c. E libro de Sapientia.

XIII. Archytas igitur in libro de sapientia statim a tali cohortatione orditur :

§ 1. Tantum præstat sapientia omnibus in rebus humanis, quantum visus sensibus corporis, mens animo, sol astris. Visus enim omnium sensuum latissime diffunditur et diversissimas habet species, mens summum locum tenet, ratione et cogitatione id quod fieri oportet perficiens, interni quasi oculi facultatisque optima tum videndi tum perpetrandi vicem obtinens. Porro sol est oculus et anima rerum creatarum : eo enim cernuntur cuncta et gignuntur atque intelliguntur, radicibus firmata et genita nutriuntur, crescunt redditisque sensibus excitantur.

§ 2. Ea autem cohortatio, quæ ab hominis natura profecta idem monet, verbis quæ deinceps leguntur ita exprimitur :

Homo omnium animalium longe est sapientissimum : contemplari enim potest vera et scientiam prudentiamque ex omnibus consequi. Quapropter etiam numen in ejus animo insculpsit et impressit omnis sermonis copiam, in qua et cunctæ rerum formæ et verborum significationes dispertitæ sunt. Soni enim vocis locos attributos haben guttur, os et nares. Quemadmodum autem sonorum, quibus nomina et verba informata significantur, instrumentum homo est : ita etiam notionum rebus aspectabilibus inditarum considerator. Atque hoc illud mihi videtur esse, ad quod cum natus factusque homo est, tum instrumenta et facultates a deo accepit.

§ 3. Ortus compositusque est homo ad contemplandam rerum naturæ et sapientiæ rationem : quocirca ejus officium est comparare et contemplari rerum quæ exstant sapientiam.

§ 4. Ἁ σοφία οὐ περί τι ἀφωρισμένον ἐντὶ τῶν ἐόντων, ἀλλ' ἁπλῶς περὶ πάντα τὰ ἐόντα, καὶ δεῖ μὴ πρώταν αὐτὰν τὰς ἀρχὰς ἑκάστω [a] ἀνευρέσθαι, ἀλλὰ τὰς κοινὰς τῶν ἐόντων ἁπάντων ἀρχάς. Οὕτω γὰρ ἔχει σοφία περὶ πάντα τὰ ἐόντα, ὡς ὄψις περὶ πάντα τὰ ὁρατά. Τὰ ὦν καθόλω πᾶσι συμβεβακότα συνιδὲν καὶ θεωρὲν τᾶς σοφίας οἰκῆον, καὶ διὰ τοῦτο σοφία τὰς τῶν ἐόντων ἁπάντων ἀρχὰς ἀνευρίσκει.

(Posui [a] ἑκάστω; codd. αὐτάς.)

§ 5. Ἐν δὲ τῷ τέλει τοίνυν πρὸς αὐτὸ τὸ ἀκρότατον ἄνεισιν ἡ παράκλησις ὧδέ πως·

Ὅστις ὦν ἀναλῦσαι οἷός τ' ἐντὶ πάντα τὰ γένεα ὑπὸ μίαν τε καὶ τὰν αὐτὰν ἀρχάν, καὶ πάλιν συνθεῖναί τε καὶ συναρθμήσασθαι [a], οὗτος δοκεῖ μοι καὶ σοφώτατος ἦμεν καὶ παναλαθέστατος, ἔτι δὲ καλὰν σκοπιὰν εὑρηκέναι, ἀφ' ἇς δυνατὸς ἐσσεῖται τὸν θεὸν κατοψεῖσθαι καὶ πάντα τὰ ἐν τᾷ συστοιχείᾳ καὶ τάξει τὰ ἐκείνω κατακεχωρισμένα, καὶ ταύταν τὰν ἁρματήλατον ὁδὸν ἐκποριζάμενος τῷ νόῳ κατ' εὐθεῖαν ὁρμαθῆμεν καὶ τελεοδρομᾶσαι τὰς ἀρχὰς τοῖς πέρασι συνάψας τε καὶ ἐπιγνοὺς [b], ὅτι ὁ θεὸς ἀρχά τε καὶ τέλος καὶ μέσον ἐντὶ πάντων τῶν κατὰ δίκαν τε καὶ τὸν ὀρθὸν λόγον περαινομένων.

(Jamblichus Adhort. ad philos. cap. IV pag. 39 seqq. ed. Kiessl. Reposui [a] συναρθμήσασθαι; codd. συναριθμήσασθαι. [b] συνάψας τε καὶ ἐπιγνούς; codd. συνάψαντα καὶ ἐπιγνόντα. Cf. Perictione apud Stobæum I, 63.)

δ'. Ἐκ τοῦ περὶ νόμου καὶ δικαιοσύνης.

ιδ'. Πονηρῶν ἀθέων νόμοις [a] νόμοι θεῶν ἄγραφοι ἀντινομιζόμενοι πονηρὰν μοῖραν καὶ ζαμίαν τῷ μὴ πειθομένῳ διδόντες, πατέρες καὶ ἁγεμόνες τῶν γεγραμμένων νόμων καὶ δογμάτων ἀνθρώποις τεθέντων.

([a] Inserui νόμοις.)

ιε'. Νόμος ποτ' ἀνθρώπω ψυχάν τε καὶ βίον ὅπερ ἁρμονία ποτ' ἀκοάν τε καὶ φωνάν· ὅ τε γὰρ νόμος παιδεύει μὲν τὰν ψυχὰν συνίστητι δὲ τὸν βίον, ἅ τε ἁρμονία ἐπιστάμονα μὲν ποιεῖ τὰν ἀκοὰν ὁμόλογον δὲ τὰν φωνάν. Φαμὶ δ' ἐγὼ πᾶσαν κοινωνίαν ἐξ ἄρχοντος καὶ ἀρχομένω συνεστάμεν, καὶ τρίτον νόμων. Νόμων δὲ ὁ μὲν ἔμψυχος, βασιλεύς· ὁ δὲ ἄψυχος, γράμμα. Πρᾶτος ὦν ὁ νόμος· τούτῳ γὰρ ὁ βασιλεὺς νόμιμος, ὁ δ' ἄρχων ἀκόλουθος, ὁ δ' ἀρχόμενος ἐλεύθερος, ἁ δ' ὅλα κοινωνία εὐδαίμων· καὶ τούτω παραβάσι ὁ μὲν βασιλεὺς τύραννος, ὁ δὲ ἄρχων ἀνακόλουθος, ὁ δ' ἀρχόμενος δοῦλος, ἁ δ' ὅλα κοινωνία κακοδαίμων. Συνείρονται μὲν γὰρ ταὶ πράξιες ἐκ τῶ ἄρχεν καὶ τῶ ἄρχεσθαι, καὶ τρίτον ἐκ τῶ κρατέν. Τὸ μὲν ὦν ἄρχεν τῶ κρέσσονος οἰκῆον, τὸ δ' ἄρχεσθαι τῶ χερήονος, τὸ δὲ κρατὲν ἀμφοτέρων. Ἄρχει μὲν γὰρ τὸ λόγον ἔχον τᾶς ψυχᾶς, ἄρχεται δὲ τὸ ἄλογον· κρατεῦντι δὲ τῶν παθέων ἀμφότερα. Γίνεται γὰρ ἐκ τᾶς ἑκατέρων συναρμογᾶς ἀρετά, αὕτα δὲ καὶ ἀπὸ τᾶν ἁδονᾶν καὶ ἀπὸ τᾶν λυπᾶν ἐς ἀρεμίαν καὶ ἀπάθειαν ἀπάγει τὰν ψυχάν.

ις'. Δεῖ δὲ τὸν νόμον ἀκόλουθον ἦμεν τᾷ φύσει, δυνατὸν τοῖς πράγμασι, συμφέροντα τᾷ πολιτικᾷ κοινωνίᾳ· αἴτε γὰρ ἑνὸς τούτων αἴτε πλήονων αἴτε πάντων ἀπολείπεται, ἤτοι οὐ νόμος ἢ οὐ τέλειος νόμος ἐσεῖται.

---

§ 4. Sapientia non circa certum quoddam rerum genus, sed omnino circa totam rerum seriem versatur, neque oportet eam primam singulorum quæ sunt, sed communia omnium principia investigare. Ita enim sapientia rebus cunctis occupatur, ut visus omnibus quæ sub aspectum veniunt. Ergo quæ in universum omnibus sunt attributa, hæc intelligere et considerare sapientiæ proprium est, ideoque sapientia omnium rerum principia investigat.

§ 5. Postremo ad illud ipsum quod summum est cohortatio ita ascendit :

Quicunque igitur omnia genera in unum idemque principium resolvere potest rursusque componere et apte conjungere : hic mihi qua sapientissimus esse qua verissimus videtur, præterea commodam speculam invenisse, unde possit deum intueri et cuncta in rerum digestione et ordine suis quæque locis ab eo collocata, atque hac via regia potitus mente recta progredi cursumque perficere queat initia cum finibus connectens atque intelligens, deum esse initium, finem et medium omnium quæ juste ac decenter peraguntur.

d. Ex libro de Lege et Justitia.

XIV. Improborum numinis contemtorum legibus oppositæ sunt deorum non scriptæ leges malam sortem pœnamque non obedienti irrogantes, parentes ac principes humanarum constitutionum.

XV. Lex ad hominis animum vitamque eandem habet rationem quam harmonia ad auditum et vocem : namque lex et animum docet et vitam fingit, harmonia autem auditum erudit vocemque sibi accommodat. Arbitror ego omnem hominum cœtum e principe et civibus ac præterea e legibus constare. Legum alia animata est, nimirum rex : alia inanimata, scriptum. Primo igitur lex : qua observata rex legitimus, magistratus conveniens erit, cives liberi, universus denique cœtus felix : at ea perrupta rex tyrannus fiet, magistratus minime aptus erit, populus servus, totus vero cœtus infelix evadet. Connectuntur enim res gestæ ex imperando, obediendo et vincendo. Est igitur imperare præstantioris proprium, obedire deterioris, vincere utriusque. Etenim rationalis animæ vis imperat, ratione carens obedit : ambæ vero perturbationes vincunt. Fit enim ex utriusque apta conjunctione virtus : ipsa vero a voluptatibus et mœroribus animum ad tranquillitatem et imperturbatam quietem revocat.

XVI. Oportet autem legem esse naturæ convenientem, re ipsa validam, civili societati utilem : sive enim uni ha-

Ἀκόλουθος μὲν ὦν κα εἴη τᾷ φύσει μιμεόμενος τὸ τᾶς φύσιος δίκαιον· τοῦτο δέ ἐντι [a] τὸ ἀνάλογον καὶ τὸ ἐπιβάλλον ἑκάστῳ κατταν ἑκάστω ἀξίαν. Δυνατὸς δέ, αἰ ποτὶ τὼς νομοθετευμένως ἔχει τὰν συναρμογάν· πολλοὶ γὰρ τὸ τᾷ φύσει καὶ πρᾶτον ἀγαθὸν οὐχ [b] ἱκανοὶ δέξασθαι, τὸ δὲ ποθ' αὐτὼς καὶ τὸ ἐνδεχόμενον· οὕτω γὰρ καὶ τοὶ νοσέοντες καὶ τοὶ κάμνοντες [c] τυγχάνοντι ἐπιμελείας. Συμφέρων δὲ τᾷ πολιτικᾷ κοινωνίᾳ, αἴκα μὴ μόναρχος ἦ καὶ ἰδιωφελὴς ὁ νόμος, κοινωφελὴς δὲ καὶ διὰ πάντων διατείνων. Δεῖ δὲ καὶ ποτὶ τὰν χώραν καὶ ποτὶ τὼς τόπως ἀποβλέπεν τὸν νόμον· οὔτε γὰρ πᾶσα γᾶ τὼς αὐτὼς καρπώς, οὔτε πᾶσα [d] ψυχὰ ἀνθρώπων τὰν αὐτὰν ἀρετὰν παραδέξασθαι δύναται. Διὸ τὸ δίκαιον τοὶ μὲν ἀριστοκρατικὸν τοὶ δὲ δαμοκρατικὸν τοὶ δὲ ὀλιγαρχικὸν ποιεῦντι· καὶ τὸ ἀριστοκρατικὸν κατταν ὑπεναντίαν μεσότατα· τοῖς μὲν γὰρ μέζοσι μέζονας τὼς λόγως, τοῖς δὲ μήοσι μήονας διανέμει ἁ ἀναλογία αὕτα· τὸ δὲ δαμοκρατικὸν κατταν γεωμετρικάν· ἐν γὰρ ταύτᾳ τοὶ λόγοι ἴσοι τῶν μεζόνων καὶ μηόνων μεγεθέων· τὸ δὲ ὀλιγαρχικὸν καὶ τυραννικὸν κατταν ἀριθμητικάν· ἀντιάζει γὰρ αὐτὰ τᾷ ὑπεναντίᾳ· τοῖς γὰρ μήοσι μέζονας τὼς λόγως, τοῖς δὲ μέζοσι μήονας. Ταὶ μὲν ὦν ἰδέαι τᾶς διανομᾶς τοσαῦται· ταὶ δὲ εἰκόνες ἐν ταῖς πολιτείαις καὶ τοῖς οἴκοις θεωρέονται· τιμαί τε γὰρ καὶ κολάσιες καὶ ἀρχαὶ ἢ ἐξ ἴσω τοῖς μέζοσι καὶ μήοσι διανέμονται, ἢ ἐξ ἀνίσω ἢ τοῖς ἀρετᾷ ὑπερεχόντεσσι [e] ἢ τῷ πλούτῳ ἢ καὶ δυνάμει. Τὸ μὲν ὦν ἐξ ἴσω δαμοκρατικόν, τὸ δὲ ἐξ ἀνίσω ἀριστοκρατικὸν ἢ ὀλιγαρχικόν.

(Posui [a] ἐντι; codd. ἐστιν. [b] οὐχ ἱκανοὶ cum Gaisfordo; libri ἱκανοί. [c] τοὶ νοσέοντες καὶ τοὶ κάμνοντες cum Meinekio; codd. τοὶ νοσέοντι καὶ τοὶ κάμνοντι. [d] οὔτε γὰρ πᾶσα γᾶ τὼς αὐτὼς καρπώς, οὔτε πᾶσα ψυχά; codd. οὔτε γὰρ γᾶ τὼς αὐτὼς καρπώς; οὔτε ψυχά. [e] τοῖς ἀρετᾷ ὑπερεχόντεσσι; codd. τᾷ ἀρετᾷ ὑπερέχεν.)

ιζ'. Δεῖ δὴ τὸν νόμον τὸν κάῤῥονα καὶ τὰν πόλιν ἐκ πασᾶν σύνθετον ἦμεν τᾶν ἀλλᾶν πολιτειᾶν, καὶ ἔχεν τι δαμοκρατίας, ἔχεν τι ὀλιγαρχίας, ἔχεν τι βασιλήας καὶ ἀριστοκρατίας. Ὥσπερ καὶ ἐν τᾷ Λακεδαίμονι· τοὶ μὲν γὰρ βασιλέες τᾶς μοναρχίας, τοὶ δὲ γέροντες τᾶς ἀριστοκρατίας, τοὶ δὲ ἔφοροι τᾶς ὀλιγαρχίας, ἱππαγρέται δὲ καὶ κόροι τᾶς δαμοκρατίας. Δεῖ τοίνυν τὸν νόμον μὴ μόνον ἀγαθὸν καὶ καλὸν ἦμεν, ἀλλὰ καὶ ἀντιπεπονθέναι τοῖς αὐτῶ μερέεσσιν· οὕτως γὰρ ἰσχυρὸς καὶ βέβαιος. Τὸ δὲ ἀντιπεπονθέναι λέγω αὐτῶ καὶ ἄρχεν καὶ ἄρχεσθαι τὰν αὐτὰν ἀρχάν, ὥσπερ καὶ ἐν τᾷ εὐνομωτάτᾳ Λακεδαίμονι. Τοῖς μὲν γὰρ βασιλεῦσιν οἱ ἔφοροι ἀντικάθηνται, τούτοις δ' οἱ γέροντες, μέσοι δ' οἱ κόροι καὶ ἱππαγρέται. Ἐφ' ὃ γὰρ ἂν ῥέψωντι τοὶ πλεονεκτέοντες τῶν ἀρχόντων, οὗτοι τοῖς ἄλλοις ὑποτίθενται.

ιη'. Δεῖ τὸν νόμον τὰ περὶ θεὼς καὶ δαίμονας καὶ γονέας καὶ ὅλως τὰ καλὰ καὶ τίμια πρᾶτα τίθεσθαι,

---

rum rerum sive pluribus sive omnibus non sufficiat, aut omnino non erit lex, aut non perfecta lex. Naturæ igitur consentanea fuerit, si jus naturæ imitetur : hoc vero est quod pro sua cujusque dignitate ei congruit eumque attingit. Valida erit, si cum cæteris legibus constitutis apte cohæreat : multi enim ad accipiendum id quod natura primum est bonum minime idonei sunt, sed potius ad id quod ipsos attingit ac fieri potest : ita enim et ægroti et valetudinarii curantur. Proderit civili societati, si lex non ad unius dominatum comparata, neque ad privatam quorundam, sed ad communem utilitatem condita fuerit, ex æquo ad omnes pertinens. Decet etiam legem ad regionem locosque spectare : neque enim omne solum eosdem fert fructus, neque omnes hominum animi ejusdem virtutis capaces sunt. Quapropter jus quidam ad optimatum principatum, alii ad populi imperium, alii ad paucorum potentiam accommodatum componunt : et ad optimatum quidem principatum secundum contrarium eumque medium numerum; nam majorum plus, minorum minus curæ hæc comparatio agit : ad populi vero imperium pro portione; in hac enim eadem ratio majoris et minoris dignitatis habetur : denique ad paucorum potentiam et tyrannidem æquali numero observato, qui contrario occurrit, siquidem plus curæ minoribus, minus curæ majoribus impenditur. Tot igitur divisionis species sunt : at imagines in civitatibus et domibus spectantur : namque honores et pœnæ et magistratus aut æqualiter majoribus et minoribus distribuuntur, aut inæqualiter vel virtute vel divitiarum potentiæve amplitudine præstantibus. Convenit igitur æqualis distributio populari reipublicæ, inæqualis optimatum principatui aut paucorum potentiæ.

XVII. Oportet sane excellentem et legem et civitatem ex cæteris omnibus rerum publicarum formis constare, ita ut ei aliquid insit rationis popularis et paucorum potentiæ et regiæ potestatis et optimatum principatus. Sic Lacedæmoniorum respublica composita est, in qua reges unius dominatum habent, senatores optimatum principatum, ephori paucorum potentiam, præfecti equitum et juvenes (equites) populi imperium. Legem igitur non solum bonam et honestam esse oportet, sed etiam singulis suis sive reipublicæ partibus oppositam : sic enim firma et constans futura est. Partibus singulis eam oppositam esse dico, ita ut idem magistratus aliis imperet aliis obediat, quemadmodum in Lacedæmoniorum civitate optimis legibus temperata fit. Regibus enim opponuntur ephori, his senatores, medii vero sunt juvenes et præfecti equitum. In quamcunque enim partem imperii momentum nimis inclinat, hi se ad alias adjungunt partes.

XVIII. Oportet ea primum lege sanciri quæ ad deos, genios et parentes spectant omninoque quæ honesta sunt

δεύτερα [a] δὲ τὰ συμφέροντα· τὰ γὰρ μήονα τοῖς μέζοσιν ἀκολουθὲν ποθάκει, καὶ μὴ ἐν οἰκήμασι καὶ θυρώμασιν ἐνῆμεν, ἀλλ' ἐν τοῖς ἄθεσι τῶν πολιτευομένων. Οὐδὲ γὰρ ἐν Λακεδαίμονι τᾷ εὐνομωτάτᾳ πλάθει γραμμάτων ἁ πόλις διοικεῖται, πολὺ δὲ μᾶλλον τοῖς [b] τρόποις τῶν πολιτευομένων. Συμφέροντι δὲ τᾷ πολιτικᾷ κοινωνίᾳ, αἴκα μὴ μόναρχος ᾖ καὶ ἰδιωφελής, κοινωφελὴς δὲ καὶ διὰ πάντων διατείνων ὁ νόμος, καὶ τὰν ζαμίαν ἐς τὰν αἰσχύναν καὶ τὰν ἀτιμίαν ἀμφέρῃ, μὴ ἐς τὰν τῶν χρημάτων ἀποβολάν. Ἐκ μὲν γὰρ τῶ τᾷ αἰσχύνᾳ ζαμιοῦσθαι κοσμιότατα καὶ χρηστότατα σπουδάσοντι [c], ὅπως τὰν ἐν τοῖς νόμοις ζαμίαν ἀκοινώνατον ἔχωντι· ἐκ δὲ τῶ χρήμασι χρήματα περὶ πλείστω ποιησοῦνται, μέγιστον φάρμακον ὑπολαμβάνοντες ἦμεν τῶν ἁμαρτημάτων. Ἄριστον μὲν ὦν τὰν ὅλαν πόλιν οὕτως συντετάχθαι, ὥστε μηδενὸς ποτιδεῖσθαι ἔξωθεν, μήτε κατ' ἀρετὰν μήτε κατὰ δύναμιν μήτε κατ' ἄλλαν μηδεμίαν αἰτίαν. Οὕτω γὰρ καὶ σῶμα καὶ οἰκία καὶ στράτευμα συντέτακται [d] καλῶς, τὸ ἐν αὑτῷ ἔχον τὰν αἰτίαν τᾶς σωτηρίας, ἀλλὰ μὴ ἔξωθεν· σῶμα μέντοι κάῤῥον, οἰκία δὲ συγκειμένα καλῶς, στράτευμα δὲ τὸ μὴ μισθοφόρον, μηδὲ ἀγύμναστον. Κρέσσονα γὰρ τὰ οὕτως συνταχθέντα γίνεται τῶν ἄλλων, καὶ ἐλεύθερα μὲν καὶ ἀδούλωτα, οὐ πολλῶν ποτιδεόμενα ποτὶ τὰν διαμονάν, ὀλίγων δὲ καὶ εὐπαρακομίστων. Οὕτω γὰρ [e] ὁ μὲν ἰσχυρὸς τῶ βάρεος, ὁ δὲ γυμναστὰς τῶ ῥίγεος περιγίνεται. Γυμνάζοντι γὰρ ταὶ τύχαι καὶ ταὶ συμφοραὶ τὼς ἀνθρώπως, ἐπεὶ καὶ τῷ σώφρονι καὶ διαπονοθέντι καὶ σώματι καὶ ψυχᾷ καὶ τροφὰ ἁδεῖα φαίνεται πᾶσα καὶ ποτόν, καὶ εὐνὰ δὲ ἁ μετὰ φυλλάδος· τῷ δὲ τρυφᾶν καὶ συβαρίζεν προαιρουμένῳ καὶ ἁ τῶ μεγάλω βασιλέος παρασκευὰ δυσάρεστος καὶ ἀλλοτρία. Τὸν νόμον ὦν ἐν τοῖς ἄθεσι καὶ τοῖς ἐπιταδεύμασι τῶν πολιτᾶν ἐγχρώζεσθαι δεῖ· τὼς γὰρ πολίτας αὐτάρκεας θήσει, καὶ διανεμεῖ τὸ κατ' ἀξίαν ἑκάστῳ καὶ τὸ ἐπιβάλλον. Οὕτω γὰρ καὶ ὁ ἅλιος φερόμενος διὰ τῶ ζῳοφόρω κύκλω διανέμει τοῖς ἐπὶ γᾶς πᾶσι καὶ γενέσιος καὶ τροφᾶς καὶ βιοτᾶς τὰν ποθάκουσαν μοῖραν, οἷον εὐνομίαν τὰν εὐκρασίαν τῶν ὡρᾶν παρασκευαζόμενος. Διὸ καὶ Νόμιος καὶ Νεμήϊος Ζεὺς καλέεται, καὶ νομεὺς ὁ διανέμων τὰς τροφὰς τοῖς ὀΐεσιν, καὶ τὰ τῶν κιθαρῳδῶν [f] δὲ ᾄσματα νόμοι. Συντάσσοντι γὰρ καὶ ταῦτα τὰν ψυχὰν ἁρμονίᾳ καὶ ῥυθμοῖς καὶ μέτροις ἀειδόμενα.

(Stobæus Flor. XLIII, 129, 132, 133, 134. Reposui [a] δεύτερα; codd. δεύτερον. [b] τοῖς τρόποις cum Halmio; codd. ἐν τοῖς τρόποις. [c] σπουδάσοντι cum eodem; libri σπουδάζοντι. [d] οἰκία καὶ στράτευμα συντέτακται cum Spondano; codd. οἰκίαν καὶ στράτευμα συντετάχθαι. [e] γὰρ ὁ μὲν cum Meinekio; γὰρ ἂν ὁ μὲν libri. [f] κιθαρῳδῶν; libri κιθαρῳδᾶν.)

ιθ'. Δεῖ δὲ τὸν ἀλαθινὸν ἄρχοντα μὴ μόνον ἐπιστάμονά τε καὶ δυνατὸν ἦμεν περὶ τὸ καλῶς ἄρχεν, ἀλλὰ καὶ φιλάνθρωπον· ἄτοπον γὰρ ἦμεν ποιμένα μισοπρόβατον καὶ τοιοῦτον οἷον καὶ δυσμενέως ἔχεν τοῖς αὑτῶ θρεμμάτεσσι. Δεῖ δ' αὐτὸν καὶ νόμιμον ἦμεν· οὕτω γὰρ ἑσεῖται τὰν τῶ ἄρχοντος ἐπίστασιν

---

et egregia, deinde utilia : convenit enim minora majoribus succedere, neque in domibus et ostiis, sed in animis civium inscriptas esse leges. Nam ne apud Lacedæmonios quidem qui optimis legibus utuntur multis litteris respublica administratur, sed honestis potius civium moribus. Proderit autem civili societati, si lex non ad unius dominatum comparata, neque ad privatam quorundam, sed ad communem utilitatem condita fuerit, ex æquo ad omnes pertinens, pœnamque ad dedecus et ignominiam, non ad rei familiaris jacturam referat. Etenim si ignominia in legibus pro pœna nocenti irrogetur, honestati et probitati cives studebunt, ne legum pœnam sustineant : sin autem pecunia sontes mulctentur, plerique pecunias maximi facient, præclarum hoc peccatorum remedium esse existimantes. Optimum igitur fuerit, civitatem universam ita constitutam esse, ut nullo externo adjumento neque ad virtutem neque ad potentiam neque ad aliam quamcunque rem indigeat. Nam corporis etiam et domus et exercitus optima conditio est, quum salutis causam intra se habent, non aliunde : corpus sane validum laudatur et bene composita familia, exercitus vero nec mercenarius neque inexercitatus. Quæ enim ita sunt constituta, aliis sunt longe præstantiora, immo et libera et minime serva, quæ ad durandum non multis egent, sed paucis et paratu facilibus. Ita enim qui fortis est onera, lanista vero frigus vincit. Casibus autem et calamitatibus homines exercentur, siquidem etiam viro sobrio corporisque et animi laboribus subacto quilibet cibus et potus jucundus videtur nec non stratum e foliis molle : at illi qui in deliciis et luxuria vitam degere proposuit ne magni quidem regis apparatus placitus et conveniens potest videri. Legem igitur in animis ac studiis civium inhærescere oportet : sic enim cives sua sorte contentos efficiet ac suum cuique et singulis apta distribuet. Hoc modo sol quoque per signiferum orbem invectus terrestribus omnibus animantibus generationis, alimenti vitæque suam cuique portionem tribuit, quasi legum auctoritate optima anni partium temperatione instituta. Quamobrem Jupiter quoque Nomius et Nemeïus vocatur, et νομεὺς (*opilio*), quod ovibus pabula distribuat : et νόμοι cantus citharœdorum, quoniam et illi animum componunt, decente harmonia, rhythmis et metris decantati.

XIX. Oportet autem principem sincerum non recte tantum imperare et scire et posse, sed etiam humanum esse : nam minime consentaneum fuerit pastorem oves odisse et pecoribus suis infensum esse. Quin etiam legitimus esse debet : sic enim demum principis dignitatem

ἔχων. Διὰ μὲν γὰρ τᾶς ἐπιστάμας κρίνεν ὀρθῶς δυνασεῖται, διὰ δὲ τᾶς δυνάμιος κολάζεν, διὰ δὲ τᾶς χρηστότατος τὸ εὐεργετέν, διὰ δὲ τῶν νόμων τὸ ποτὶ τὸν λόγον πάντα ταῦτα ποιέν. Ἄριστος δέ κ' εἴη ἄρχων ὁ ἀγχοτάτω τῷ νόμῳ [a] ὤν· οὗτος δέ κ' εἴη ὁ μηδὲν αὐτῶ ἕνεκα ποιέων ἀλλὰ τῶν ὑπ' αὐτόν, ἐπειδήπερ οὐδὲ νόμος αὐτῶ ἕνεκα ἀλλὰ τῶν ὑπ' αὐτόν.

(Stobæus Flor. XLVI, 61. Addidi [a] ὤν quod in membranis desideratur.)

ε'. Ἐκ τοῦ περὶ μαθημάτων.

κ'. Δεῖ γὰρ ἢ μαθόντα παρ' ἄλλω ἢ αὐτὸν ἐξευρόντα, ὧν ἐπιστάμων ἦσθα, ἐπιστάμονα γενέσθαι. Τὸ μὲν ὦν μαθὲν παρ' ἄλλω καὶ ἀλλότριον, τὸ δ' ἐξευρὲν αὐτὸν δι' αὐτῶ καὶ ἴδιον. Ἐξευρὲν δὲ μὴ ζατοῦντα ἄπορον καὶ σπάνιον, ζατοῦντα δὲ εὔπορον καὶ ῥᾴδιον, μὴ ἐπιστάμενον δὲ ζατὲν ἀδύνατον.

Στάσιν μὲν ἔπαυσεν, ὁμόνοιαν δὲ αὔξησεν λογισμὸς εὑρεθείς· πλεονεξία τε γὰρ οὐκ ἔντι τούτω γενομένω καὶ ἰσότας ἐντί. Τούτῳ γὰρ περὶ τῶν συναλλαγμάτων διαλλασσόμεθα· διὰ τοῦτον ὦν οἱ πένητες λαμβάνοντι παρὰ τῶν δυναμένων, οἵ τε πλούσιοι διδόντι τοῖς δεομένοις, πιστεύοντες ἀμφότεροι διὰ τούτω τὸ ἴσον ἑξεῖν. Κανὼν δὲ καὶ κωλυτὴρ τῶν ἀδικούντων τὼς μὲν ἐπισταμένως ὀργίζεσθαι πρὶν ἀδικὲν ἔπαυσεν, πείσας ὅτι οὐ δυνασοῦνται λαθὲν ὅταν ἐπ' αὐτὸ ἔλθωντι, τὼς δὲ μὴ ἐπισταμένως ἐν αὐτῷ δηλώσας ἀδικοῦντας ἐκώλυσεν ἀδικῆσαι.

(Stobæus Flor. XLIII, 135.)

ζ'. Ἐπιστολαί.

α'.

Ἀρχύτας Διονυσίῳ ὑγιαίνειν.

Ἀπεστάλκαμες πάντες οἱ Πλάτωνος φίλοι τὼς περὶ Λαμίσκον τε καὶ Φωτίδαν ἀπολαψούμενοι τὸν ἄνδρα καττὰν πὰρ τὶν γενομέναν ὁμολογίαν. Ὀρθῶς δέ κα ποιοῖς, μιμνασκόμενος τήνας τᾶς σπουδᾶς, ἡνίκα πάντας ἄμμε παρεκάλεις ποττὰν Πλάτωνος ἄφιξιν, ἀξιῶν προτρέπεσθαί τε αὐτὸν καὶ ἀναδέχεσθαι τά τε ἄλλα καὶ τὰ περὶ τὰν ἀσφάλειαν μένοντί τε καὶ ἀφορμιῶντι. Μέμνασο δὲ καὶ τῆνο, ὅτι περὶ πολλῶ ἐποιήσω τὰν ἄφιξιν αὐτῶ, καὶ ἀγάπας ἐκ τήνω τῶ χρόνω, ὡς οὐδένα τῶν πὰρ τίν. Αἰ δέ τις γέγονε τραχύτας, ἀνθρωπίζεν χρή, κἀποδιδόμεν ἁμῖν ἀβλαβῆ τὸν ἄνδρα. Ταῦτα γὰρ πράττων δίκαια πραξεῖς καὶ ἁμῖν χαριῇ.

(Diogenes Laertius lib. III, 22.)

β'.

Ἀρχύτας Πλάτωνι ὑγιαίνειν.

Καλῶς ποιεῖς, ὅτι ἀποπέφευγας ἐκ τᾶς ἀρρωστίας. Ταῦτα γὰρ αὐτός τε ἐπέσταλκας καὶ τοὶ περὶ Λαμίσκον ἀπάγγελον. Περὶ δὲ τῶν ὑπομναμάτων ἐπεμελήθημες, καὶ ἀνήλθομες ὡς Λευκανώς, καὶ ἐνετύχομες τοῖς Ὀκέλλω ἐκγόνοις. Τὰ μὲν ὦν περὶ νόμω καὶ βασι-

---

habebit. Scientiâ enim recte judicare poterit, potestate punire, benignitate beneficum se præbere, denique legum ope hæc omnia rationi convenienter facere. Optimus autem erit princeps qui quam proxime ad legum exemplum accesserit, qualis futurus est, si nihil sua, sed omnia civium gratia faciat, quandoquidem et lex non ipsius sed civium ergo est.

e. Ex libro de Disciplinis.

XX. Etenim necesse est te vel ab alio disciplina accepta vel tua ipsum inventione ea quæ tenes didicisse. Ab alio discere, alienum quodammodo : per se invenire, proprium hominis est. Atque invenire quidem illi qui non inquisivit difficile est et rarum, inquirenti autem proclive et facile, ignoranti denique invenire non licet.

Ratio certe inventa seditionem compescit et concordiam auget : quod ubi fit, avaritia locum non habet, viget æqualitas. Ratio est quæ contractus conciliat : hinc est quod pauperes a potentioribus accipiant et divites indigentibus opem ferant, utrique se ea re juris æquabilitatem obtenturos esse confidentes. Ratio denique quasi regula quædam et prohibitio injuriarum prudentes ab ira revocat priusquam injuriam faciant, si facerent, latere se non posse ratos; imprudentes autem in manifestis injuriis convictos porro delinquere vetat.

f. Epistolæ.

1.

Archytas Dionysio salutem.

Misimus omnes Platonis necessarii Lamiscum et Photidam, virum illum abs te recepturi, sicut inter nos convenerat. Recte igitur feceris, si memineris, quanto a nobis omnibus studio antea efflagitaveris Platonis ad te adventum, volens eum incitare ac simul cum alia in te recipere, tum manenti atque abire cupienti publicam fidem dare. Illud etiam memento, magni te ejus adventum æstimasse, eumque ex eo tempore tibi ita in amoribus fuisse, ut nemo e cæteris sodalibus fuit. Quodsi quæ rerum asperitates inciderunt, humaniter te agere convenit illumque nobis incolumem reddere. Hæc enim si facias, et justitiam coles et nobis gratificaberis.

2.

Archytas Platoni salutem.

Bene facis, quod e morbo convaluisti. Hoc enim et ipse mihi perscripseras, et Lamiscus nuntiavit. Commentariorum curam egimus, ad Lucanos profecti, ubi Ocelli nepotes convenimus. Ac de legibus quidem, de regno, de pietate et de universi ortu commentarios simul ipsi

λη̃ίας καὶ ὁσιότατος καὶ τᾶς τῶ παντὸς γενέσιος αὐτοί τε ἔχομες, καὶ τὶν ἀπεστάλκαμες· τὰ δὲ λοιπὰ οὔτοι νῦν γε δύναται εὑρεθῆμεν· αἰ δέ κα εὑρεθῇ, ἡξεῖτοι.

(Diogenes Laertius lib. VIII, 80.)

η'.

Γνῶμαι καὶ Ἀποφθέγματά τινα.

α' Ἀρχύτας, ἀνὴρ Ταραντῖνος, τὰ Πυθαγόρου σοφός, ὑπὲρ παίδων ἀγωγῆς γράφων, ἔστω, φησίν, ὁ πατὴρ παράδειγμα ἀρετᾶς τοῖς παισίν.

(Philostratus vit. Apollon. Tyan. lib. VI cap. 31 pag. 270 ed. Olear. Posui ἀρετᾶς pro vulgata scriptura ἀρετῆς.)

β'. Ἀρχύτας ἔλεγεν· Ὥσπερ ἔργον ἐντὶ εὑρὲν ἰχθὺν ἄκανθαν μὴ ἔχοντα, οὕτω καὶ ἄνθρωπον μὴ κεκτημένον τι δολερὸν καὶ ἀκανθῶδες.

(Ælianus Var. Hist. lib. X, 12. Scripsi ἐντὶ εὑρὲν; codd. ἐστὶν εὑρεῖν.)

γ'. Ἀρχύτας ἔφη, ταυτὸν εἶναι διαιτητὴν καὶ βωμόν, ἐπ' ἄμφω γὰρ τὸν ἀδικούμενον καταφεύγειν.

(Aristoteles Rhet. lib. III cap. II pag. 1412 a ed. Bekker. Reposui τὸν ἀδικούμενον καταφεύγειν; codd. τὸ ἀδικούμενον καταφεύγει.)

δ'. Σπίνθαρος διηγεῖτο πολλάκις περὶ Ἀρχύτου Ταραντίνου, ὅτι διὰ χρόνου τινὸς εἰς ἀγρὸν ἀφικόμενος, ἐκ στρατείας νεωστὶ παραγεγονώς, ἣν ἐστρατεύσατο ἡ πολις εἰς Μεσσηνίους, ὡς εἶδε τόν τε ἐπίτροπον καὶ τοὺς ἄλλους οἰκέτας οὐκ εὖ τῶν περὶ τὴν γεωργίαν ἐπιμελείας πεποιημένους, ἀλλὰ μεγάλῃ τινὶ κεχρημένους ὀλιγωρίας ὑπερβολῇ, ὀργισθείς τε καὶ ἀγανακτήσας οὕτως, ὡς ἂν ἐκεῖνος, εἶπεν, ὡς ἔοικε, πρὸς τοὺς οἰκέτας, ὅτι εὐτυχοῦσιν, ὅτι αὐτοῖς ὤργισται· εἰ γὰρ μὴ τοῦτο συμβεβηκὸς ἦν, οὐκ ἄν ποτε αὐτοὺς ἀθώους γενέσθαι, τηλικαῦτα ἡμαρτηκότας.

(Jamblichus de vit. Pythag. cap. 31 pag. 405 ed. Kiessling. Cf. Cicero Tusc. lib. IV, 36; Valer. Maxim. lib. IV cap. 1, extern. 1; Plutarch. de puer. instit. cap. 14; Hieronym. Epist. IX ad Salvinam, tom. I pag. 50 ed. Tribbechov. Adde Mahnii diatr. de Aristoxeno pag. 47 seq. ed. Lips.)

ε'. Ἀρχύτας ὁ Ταραντῖνος, πολιτικός τε καὶ φιλόσοφος ἀνὴρ γενόμενος, πολλοὺς ἔχων οἰκέτας, τοῖς αὐτῶν παιδίοις πάνυ σφόδρα ἐτέρπετο, μετὰ τῶν οἰκοτρίβων παίζων· μάλιστα δὲ ἐφίλει τέρπεσθαι αὐτοῖς ἐν τοῖς συμποσίοις.

(Ælianus Var. Hist. lib. XII, 15.)

ς'. Ἀρχύτας τά τε ἄλλα ἦν σώφρων, καὶ οὖν καὶ τὰ ἄκοσμα ἐφυλάττετο τῶν ὀνομάτων. Ἐπεὶ δέ ποτε ἐβιάζετό τι εἰπεῖν τῶν ἀπρεπῶν, οὐκ ἐξενικήθη, ἀλλ' ἐσιώπησε μὲν αὐτό, ἐπέγραψε δὲ κατὰ τοῦ τοίχου, δείξας μέν, ὃ εἰπεῖν ἐβιάζετο, οὐ μὴν βιασθεὶς εἶπεν.

(Ælianus Var. Hist. lib. XIV, 19.)

---

habemus, simul tibi misimus: reliqua scripta nunc certe reperiri non possunt; si inventa fuerint, ad te perferentur.

g.

Sententiæ quædam et Apophthegmata.

1. Archytas Tarentinus et Pythagoræ doctrina imbutus, de puerorum educatione scribens, *Sit*, inquit, *pater filiis virtutis exemplar.*

2. Archytas dicebat: Quemadmodum difficile est piscem spinas non habentem invenire, sic et hominem qui non habeat dolosum quid et aculeatum.

3. Archytas dixit, idem esse arbitrum et aram, quoniam ad utrumque is qui injuriam accepit confugere solet.

4. Spintharus sæpe narrabat Archytam Tarentinum, quum post aliquod temporis intervallum a bello redux quod Tarentini adversus Messenios gesserant, rus suum reviseret, et villicum cum cætera familia rem rusticam non diligenter, sed admodum negligenter curasse animadverteret, tanta ira et indignatione concepta, quantam talis vir concipiat, ad rerum statum accommodate dixisse, bene cum famulis agi, quod iratus esset, alias tantorum delictorum graves justasque poenas daturos esse.

5. Archytas Tarentinus, vir reipublicæ simul et philosophiæ deditus, quum multos haberet servos, eorum filiis valde delectabatur, cum vernulis ludens; maximo autem inter convivia illis delectari solebat.

6. Archytas cum aliis in rebus modestus fuit, tum vero etiam verborum obscœnitatem vitabat. Quum vero aliquando cogeretur inhonestum aliquid dicere, non est victus, sed tacuit id quidem, inscripsit autem in pariete, monstrans, quod dicendum erat, nec tamen coactus dixit.

7. Nullam capitaliorem pestem, quam corporis voluptatem, hominibus dicebat (*Archytas*) a natura datam, cujus voluptatis avidæ libidines temere et effrenate ad potiundum incitarentur. Hinc patriæ proditiones, hinc rerum publicarum eversiones, hinc cum hostibus clandestina colloquia nasci; nullum denique scelus, nullum malum facinus esse, ad quod suscipiendum non libido voluptatis impelleret; stupra vero et adulteria et omne tale flagitium nullis aliis illecebris excitari, nisi voluptatis. Quumque homini sive natura sive quis deus nihil mente præstabilius dedisset, huic divino muneri ac dono nihil esse tam inimicum quam voluptatem. Nec enim libidine dominante temperantiæ locum esse; neque omnino in voluptatis regno virtutem posse consistere. Quod quo magis intelligi posset,

B. ΦΥΣΙΚΑ ΚΑΙ ΜΑΘΗΜΑΤΙΚΑ.

α'. Ἐκ τοῦ περὶ τᾶς μαθηματικᾶς.

I. Λέγει δὲ (Ἀρχύτας ὁ Πυθαγόρειος) ἐν τῷ περὶ μαθηματικῆς εὐθὺς ἐναρχόμενος τοῦ λόγου τάδε·

Καλῶς μοι δοκοῦντι (οἱ περὶ Πυθαγόραν) τὸ περὶ τὰ μαθήματα διαγνῶναι, καὶ οὐθὲν ἄτοπον ὀρθῶς αὐτῶς περὶ ἕκαστον θεωρέν. Περὶ γὰρ τᾶς τῶν ὅλων φύσιος καλῶς διαγνόντες, ἔμελλον καὶ περὶ τῶν κατὰ μέρος, οἷά ἐντι, ὀψεῖσθαι. Περί τε δὴ τᾶς τῶν ἄστρων ταχυτᾶτος, καὶ ἐπιτολᾶν, καὶ δυσίων παρέδωκαν ἁμῖν διάγνωσιν· καὶ περὶ γαμετρίας, καὶ ἀριθμῶν, καὶ οὐχ ἥκιστα περὶ μωσικᾶς [a]· ταῦτα γὰρ τὰ μαθήματα δοκοῦντι ἦμεν [b] ἀδελφεά. Πρᾶτον μὲν ὦν ἐσκέψαντο, ὅτι οὐ δυνατόν ἐντι ἦμεν ψόφον, μὴ γεναθείσας πλαγᾶς τινων ποτὶ ἄλλαλα. Πλαγὰν δὲ ἔφαν γίνεσθαι, ὄκκα τὰ φερόμενα ἀπαντιάξωντι [c] ἀλλάλοις. Συμποτητὰ [d] μὲν ἐναντίαν φορὰν φερόμενα, ἀπαντιάζοντα αὐτὰ αὑτοῖς [e] συγχαλᾶν· τὰ δὲ ὁμοίως φερόμενα, μὴ ἴσῳ δὲ τάχει, περικαταλαμβανόμενα παρὰ [f] τῶν ἐπιφερομένων, τυπτόμενα ποιὲν [g] ψόφον. Πολλὼς μὲν δὴ αὐτῶν οὐκ ἔντι ἁμῶν τᾷ φύσι οἵους τε γινώσκεσθαι· τὼς μὲν διὰ τὰν ἀσθένειαν τᾶς πλαγᾶς· τὼς δὲ διὰ τὸ μᾶκος τᾶς ἀφ' ἁμῶν ἀποστάσιος· τινὰς δὲ καὶ διὰ τὰν ὑπερβολὰν τῶ μεγέθεος· οὐ γὰρ παραδύεσθαι εἰς τὰν ἀκοὰν ἁμῖν τὼς μεγάλως τῶν ψόφων, ὥσπερ οὐδὲ τὰ σύστομα τῶν τευχέων, ὄκκα πολύ τις ἐγχέῃ, οὐδὲν ἐγχεῖται. Τὰ μὲν ὦν ποτιπίπτοντα ποτὶ τὰν αἴσθασιν, τὰ μὲν ἀπὸ τᾶν πλαγᾶν ταχὺ παραγίνεται, καὶ ὀξέα φαίνεται, τὰ δὲ βραδέως καὶ ἀσθενέως, βαρέα δοκοῦντι ἦμεν. Αἰ γάρ τις ῥάβδον λαβὼν κινοῖ ὀρθῶς καὶ ἀσθενέως, τᾷ πλαγᾷ βαρὺν ποιασεῖ [h] τὸν ψόφον· αἰ δὲ καττάχύ τε καὶ ἰσχυρῶς, ὀξύν. Οὐ μόνον δὲ κατὰ τοῦτο γνοίημες ἄν, ἀλλὰ καὶ ὄκκα ἁμὲς [i] ἢ λέγωμες ἢ ἀείδωμες, χρῄζομες καὶ μέγα φθέγξασθαι καὶ ὀξύ, σφοδρῷ τῷ πνεύματι φθεγγόμενοι. Ἔτι δὲ καὶ τοῦτο συμβαίνει, ὥσπερ ἐπὶ βελῶν· τὰ μὲν ἰσχυρῶς ἀφιέμενα πρόσω φέρεται, τὰ δὲ ἀσθενέως, ἐγγύς· τοῖς γὰρ ἰσχυρῶς φερομένοις μᾶλλον ὑπακούει ὁ ἀήρ, τοῖς δὲ ἀσθενέως, ἧσσον. Τοῦτο δὲ καὶ ταῖς φωναῖς συμβήσεται· τᾷ [k] μὲν ὑπὸ τῶ ἰσχυρῶ τῶ πνεύματος φερομένᾳ [l] μεγάλα τε ἦμεν καὶ ὀξεῖα, τᾷ [m] δὲ ὑπὸ ἀσθενέος, μικρά τε καὶ βαρεῖα. Ἀλλὰ μὰν καὶ τοῦτο κατείδομες ἰσχυρῷ τόπω [n] σαμήῳ [o], ὅτι τῶ αὐτῶ φθεγξαμένω μέγα μέν, πόρσωθεν κἀκούσαμες· μικρὸν δέ, οὐδὲ ἐγγύθεν. Ἀλλὰ

---

fingere animo jubebat tanta incitatum aliquem voluptate corporis, quanta percipi posset maxima : nemini censebat fore dubium, quin tamdiu, dum ita gauderet, nihil agitare mente, nihil ratione, nihil cogitatione consequi posset. Quocirca nihil esse tam detestabile tamque pestiferum, quam voluptatem : si quidem ea, quum major esset atque longior, omne animi lumen exstingueret.

(Cicero de Senectute cap. XII.)

8. Verum ergo illud est, quod a Tarentino Archyta, ut opinor, dici solitum, nostros senes commemorare audivi ab aliis senibus auditum ; *si quis in cœlum ascendisset naturamque mundi et pulchritudinem siderum perspexisset, insuavem illam admirationem ei fore, quæ jucundissima fuisset, si aliquem, cui narraret, habuisset.*

(Cicero de Amicitia cap. XXIII.)

B. PHYSICA ET MATHEMATICA.

1. E libro de Mathematica.

I. Dicit autem (Archytas Pythagoreus) in libro de Mathematica statim initio tractatus hæcce :

Bene mihi videntur (Pythagorei) de disciplinis judicasse, ac sine ineptiis recte de unaquaque quæsivisse. Quum enim de universi natura recte statuissent, volebant etiam qualia singula essent considerare. Astrorum igitur celeritatem eorumque ortus et occasus cognitos nobis tradiderunt, itemque geometriam et numeros maximeque musicam : quippe hæ disciplinæ videntur esse cognatæ. Primum igitur reputarunt, non posse fieri sonitum nisi facta quorundam inter se percussione. Percussionem autem fieri dixerunt, quando quæ moventur inter se occurrerent. Nam volantia quidem eodem tempore, quæ contrario motu feruntur, postquam invicem occurrerunt, a motu cessare : quæ autem similiter feruntur, sed non æquali celeritate, deprehensa ab insequentibus, percussa sonum edere. Horum quidem multos non tales esse, ut a nobis noscantur, partim propter ictus debilitatem, partim propter intervalli quo a nobis distant longinquitatem, partim etiam propter nimiam magnitudinem ; non enim accidere ad aures nostras magnos sonos, quemadmodum etiam in vascula angusti oris, si quis multum infundat, nihil infunditur. Quæ igitur sensibus percipiuntur, eorum alia ictibus celeriter allabentia acuta apparent, alia tarde atque imbecille, gravia videntur esse. Si quis enim baculum sumtum moveat recta ac parum valide, ictu faciet sonitum gravem : si vero celeriter et fortiter, acutum. Neque vero solum eo modo hoc cognoscimus, sed etiam, quando nos vel loquimur vel canimus, vehementi spiritu utentes magna et acuta voce verba proferre volumus. Porro etiam idem contingit quod in jaculis, siquidem fortiter vibrata longe feruntur, invalido jactu, prope; quia fortiter vibratis magis cedit aer, parum valide, minus. Hoc vocibus quoque continget, ut quæ fortiore spiritu profertur magna et acuta sit, quæ invalido spiritu, parva et gravis. Cæterum et hoc e certo spatii signo intelleximus, nos clare sonantem eundem hominem e longinquo audivisse, submisse loquentem ne e propinquo quidem. Verum in tibiis etiam spiritus qui ex ore emittitur in propiora ab ore foramina incidens propter vim vehementem acutiorem sonum dat, in remotiora, graviorem ; ut

μὰν καὶ ἔν γα τοῖς αὐλοῖς τὸ ἐκ τῶ στόματος φερόμενον πνεῦμα ἐς μὲν τὰ ἐγγὺς τῶ στόματος τρυπήματα ἐμπῖπτον, διὰ τὰν ἰσχὺν τὰν σφοδρὰν ὀξύτερον ἆχον ἀφίησιν, ἐς δὲ τὰ πόρσω, βαρύτερον· ὥστε δῆλον, ὅτι ἁ ταχεῖα κίνασις [p] ὀξὺν ποιεῖ, ἁ δὲ βραδεῖα βαρὺν τὸν ἆχον. Ἀλλὰ μὰν καὶ τοῖς ῥόμβοις τοῖς ἐν ταῖς τελεταῖς κινουμένοις τὸ αὐτὸ συμβαίνει· ἀσυχᾶ μὲν κινούμενοι βαρὺν ἀφίεντι ἆχον, ἰσχυρῶς δέ, ὀξύν. Ἀλλὰ μὰν καὶ ὁμοίως ὁ [q] κάλαμος· αἴκα τις αὐτῶ τὸ κάτω μέρος ἀποφράξας ἐμφυσῇ, ἀφήσει τινὰ βαρεῖαν φωνάν [r]· αἰ δὲ καὶ ἐς τὸ μέσον ἢ ἀνωτάτω [s] μέρος αὐτῶ, ὀξὺ φθεγξεῖται. Τὸ γὰρ αὐτὸ πνεῦμα διὰ μὲν τῶ μακρῶ τόπω ἀσθενὲς φέρεται, διὰ δὲ τῶ μήονος σφοδρόν. Εἰπὼν δὲ καὶ ἄλλα περὶ τοῦ διαστηματικὴν εἶναι τὴν τῆς φωνῆς κίνησιν, συγκεφαλαιοῦται τὸν λόγον, ὡς ὅτι μὲν δὴ τοὶ ὀξεῖς φθόγγοι τάχιον κινέονται, τοὶ [u] δὲ βαρεῖς, βράδιον, φανερὸν ἁμῖν ἐκ πολλῶν γέγονεν.

(**Porphyrius Comment. ad Ptolemæi Harmonica in Jo. Wallisii Opp. Mathem. Oxonii 1699 editis vol. III pag. 236-238. Emendavi** : [a] μωσικᾶς; **codd.** μουσικῆς. [b] ἦμεν; **codd.** εἶμεν. [c] ἀπαντιάξωντι; **codd.** ἀπαντάξαντα. [d] συμποτητὰ; **codd.** συμπετητὰ. [e] αὐτοῖς; **codd.** αὐτοῖς. [f] παρὰ; **codices** περὶ. [g] ποιὲν; **codd.** ποιεῖν. [h] ποιασεῖ; **codd.** ποιήσει. [i] γνοίημες ἂν ἀλλὰ καὶ ὄκκα ἁμὲς; **libri** γνοίημεν ἀλλὰ καὶ ὄκκα ἆμες. [k] τᾷ μὲν; **codd.** τὰ μὲν. [l] φερομένᾳ; **libri** φερόμενα. [m] τᾷ δὲ; **codd.** τὰ δὲ. [n] τόπω; **libri** τόπῳ. [o] σαμήῳ; **codices** σαμίῳ. [p] κίνασις; **libri** κίνησις. [q] ὁμοίως ὁ κάλαμος; **codices** ὅτου ἁ κάλαμος. [r] τινὰ βαρεῖαν φωνάν; **codd.** ἡσυχάμην φωνάν **vel** τινὰ ἁμῖν φωνάν. [s] ἐς τὸ μέσον ἢ ἀνωτάτω μέρος αὐτῶ; **libri** ἐς τὸ ἥμισυ ἢ ἀπόστον μέρος αὐτῷ. [t] τοὶ; **libri** τοι. [u] τοὶ δὲ; **libri** οἱ δὲ. **Cæterum prima hujus fragmenti verba in hunc modum scripta exhibet Nicomachus Arithm. lib. I cap. 3 p. 70 ed. Ast.** Ἀρχύτας ὁ Ταραντῖνος ἀρχόμενος τοῦ ἁρμονικοῦ τὸ αὐτὸ οὕτω πως λέγει· Καλῶς μοι δοκοῦντι τὸ περὶ τὰ μαθήματα διαγνώμεναι, καὶ οὐδὲν ἄτοπον αὐτοὺς ὀρθῶς, οἷά ἐντι, περὶ ἑκάστω φρονέειν· περὶ γὰρ τᾶς τῶν ὅλων φύσιος καλῶς διαγνόντες ἔμελλον καὶ περὶ τῶν κατὰ μέρος, οἷά ἐντι, Καλῶς ὀψεῖσθαι. Περὶ δὲ δὴ τᾶς ἀριθμητικᾶς καὶ γεωμετρίας καὶ σφαιρικᾶς παρέδωκαν ἄμμιν σαφῆ διάγνωσιν, οὐχ ἥκιστα δὲ καὶ περὶ μωσικᾶς. Ταῦτα γὰρ τὰ μαθήματα δοκοῦντι ἔμμεναι ἀδελφεά. Τὰ τῶ ὄντος πρώτιστα δύο εἴδεα τὰν ἀναστροφὰν ἔχει.)

β'. Ἐκ τῶν διατριβῶν.

II. Καὶ δοκεῖ ἁ λογιστικὰ ποτὶ τὰν ἄλλαν σοφίαν τᾶν μὲν ἀλλᾶν τεχνᾶν καὶ πολὺ διαφέρειν, ἀτὰρ καὶ τᾶς γεωμετρικᾶς ἐναργεστέρως [a] πραγματεύεσθαι ἃ θέλει· καθ' ἃ ἐκλείπει γὰρ ἁ γεωμετρία, τὰς ἀποδείξεις ἁ λογιστικὰ ἐπιτελεῖ. Καὶ ὁμοῦ ἐντι εἰδέων τε ἁ πραγματεία, καὶ τῶν περὶ τὰ εἴδεα [b].

(**Stobæus Eclog. lib. I cap. I pag. 4 ed. Gaisford. Emendavi** : [a] ἐναργεστέρως; **codd.** ἐναργεστέρω. [b] καὶ ὁμοῦ ἐντι εἰδέων τε ἁ πραγματεία καὶ τῶν περὶ τὰ εἴδεα; **codd.** καὶ ὅμως εἰμὲν εἰδέων τε ἁ πραγματεία, καὶ τὰ περὶ τοῖς εἴδεσιν.).

γ'. Ἐκ τοῦ περὶ νοῦ καὶ αἰσθήσεως.

III. Αἴσθασις μὲν ἐν σώματι γίνεται, νόος δ' ἐν ψυχᾷ. Τὸ μὲν γὰρ ἀρχὰ τῶν αἰσθατῶν ὑπάρχει, τὸ δὲ τῶν νοατῶν. Πλάθεος γὰρ μέτρον ἀριθμός, μάκεος δὲ πούς, ῥοπᾶς δὲ καὶ στάθμας ζυγόν, ὀρθότατος δὲ καὶ εὐθύτατος κανὼν καὶ στάθμα ὀρθὰ γωνία. Οὕτως δὲ καὶ τῶν μὲν σωμάτων αἴσθασις μέτρον, τῶν δὲ νοατῶν νόος ἀρχὰ καὶ μέτρον ἐντί. Καὶ ὁ μὲν νόος ἀρχὰ νοατῶν τε καὶ φύσι [a] πράτων· ἁ δὲ αἴσθασις αἰσθατῶν καὶ φύσι δευτέρων [b]. Ὁ μὲν γὰρ ἁμῖν ἐντι ἀρχὰ τᾶς ψυχᾶς, ἁ δὲ τῶ σώματος. Καὶ ὁ μὲν

---

manifestum sit, celeri motu acutum, tardo gravem sonum edi. Sed et rhombis qui in mysteriis moventur idem accidit : quippe leniter moti gravem reddunt sonum, fortiter acutum. Quin etiam similiter calamus : si quis obstructa intima parte eum inflaverit, gravem sonum edet : si vero media aut summa parte, acute sonabit. Namque idem spiritus per longius loci intervallum amissa vi penetrat, per brevius spatium retenta vehementia pervadit. Sed alia quoque in eam sententiam locutus, ut vocem per intervalla moveri diceret, facta disputationis summa ait, acutos sonos celerius moveri, graves tardius, e multis rebus nos intelligere.

2. E disputationibus.

II. Ac videtur arithmetica reliquæ scientiæ comparata cum aliis artibus multo antecellere, tum vero etiam planius ac diligentius quam geometria ea quæ vult pertractare : ubi enim deficit geometria, ibi probationes arithmetica absolvit. Quin etiam simul formarum eorumque quæ formis conveniunt pervestigatio est.

3. Ex libro De mente et sensu.

III. Sensus quidem in corpore reperitur, mens autem in anima. Nam ut ille eorum quæ sub sensus cadunt principium est : ita hæc eorum quæ sub intellectum. Etenim multitudinis mensura numerus habetur, longitudinis autem pes, ponderis vero et amussis trutina, porrectionis denique et rectitudinis regula et norma rectus angulus. Sic etiam corporum quidem mensura sensus est, rerum autem intelligendarum mens principium ac mensura. Et mens quidem intelligibilium suaque natura primarum rerum principium est, sensus vero sensibilium

νόος τῶν τιμιωτάτων ἐντὶ κριτάς, ἁ δ' αἴσθασις τῶν χρησιμωτάτων. Ἁ μὲν γὰρ αἴσθασις τῶ σώματος ἕνεκεν συνέσταχε καὶ τᾶς ἐς τοῦτο λειτουργίας, ὁ δὲ νόος καὶ τᾶς ἐς ταῦτα πολυφραδμοσύνας. Καὶ ὁ μὲν νόος ἐντὶ ἀρχὰ τᾶς ἐπιστάμας, ἁ δ' αἴσθασις τᾶς δόξας· ἁ μὲν γὰρ ἔχει τὰν ἐκ τῶν αἰσθατῶν ἐνέργειαν, ὁ δὲ τὰν ἐκ τῶν νοατῶν. Τυγχάνοντι δὲ τὰ μὲν αἰσθατὰ τῶν πραγμάτων κινάσιος μεταλαμβάνοντα κοινὰ ἐόντα, τὰ δὲ νοατὰ στάσιος καὶ ἰδιότατος. Παραπλασίως δὲ καὶ ἁ αἴσθασις καὶ ὁ νόος ἔχοντι. Ἁ μὲν γὰρ αἴσθασις τῷ αἰσθατῷ, τὸ δ' αἰσθατὸν καὶ κινεῖται καὶ μεταβάλλει καὶ οὐδέποτε ἐν ταυτῷ ἀτρεμεῖ· διὸ καὶ μᾶλλον καὶ ἧττον καὶ βέλτιον καὶ χεῖρον γίνεται ὁρῆν· ὁ δὲ νόος τῷ νοατῷ, τὸ δὲ νοατὸν ἀκίνατον ἐξ οὐσίας· διὸ οὔτε μᾶλλον, οὔτε ἧττον, οὔτε βέλτιον, οὔτε χεῖρόν ἐντι νοεῖν τὸ νοατόν. Καὶ καθάπερ νόος τὸ πρᾶτον βλέπει καὶ τὸ παράδειγμα, οὕτως ἁ αἴσθασις τὰν εἰκόνα καὶ τὸ δεύτερον. Ὁ μὲν γὰρ νόος οὐκ ἄνθρωπον ἁπλῶς, ἁ δ' αἴσθασις ἁπλῶς τὰν τῶ ἁλίω σφαῖραν ἢ τὰς χειροτεχνᾶν ἐργασίας βλέπει [c]. Ἔτι μὲν νόος ἀμερὴς καὶ ἀδιαίρετος, καθάπερ μονὰς καὶ στιγμά· παραπλασίως δὲ καὶ τὸ νοατόν. Τὸ γὰρ εἶδος οὔτε πέρας σώματός ἐντι οὔτε ὅρος, ἀλλὰ μόνον τύπωσις τῶ ὄντος, ᾇ ὄν ἐντι, ἁ δ' αἴσθασις μεριστὰ καὶ διαιρετά. Τῶν γὰρ ὄντων ἐντὶ τὰ μὲν αἰσθατά, τὰ δὲ δοξαστά, τὰ δὲ ἐπιστατά, τὰ δὲ νοατά. Καὶ τὰ μὲν σώματα, ὧν ἐντί τις ἀντιτυπία, αἰσθατά· δοξαστὰ δὲ τὰ μετέχοντα τῶν εἰδέων ὡς αἱ εἰκόνες, οἷον ὁ τὶς ἄνθρωπος τῶ ἀνθρώπω, καὶ τὸ τὶ τρίγωνον τῶ τριγώνω· ἐπιστατὰ δὲ τὰ τοῖς εἴδεσι συμβεβακότα ἐξ ἀνάγκας, ὡς ἐν γαμετρίᾳ τὰ τοῖς σχήμασι· νοατὰ δὲ αὐτὰ τὰ εἴδεα, καὶ αἱ ἀρχαὶ τῶν ἐπιστατῶν· οἷον αὐτὸς ὁ κύκλος, καὶ τρίγωνον, καὶ σφαῖρα. Τυγχάνοντι δὲ καὶ ἐν ἁμῖν αὐτοῖς κατὰ ψυχὰν γνώσιες τέτταρες, νόος, ἐπιστάμα, δόξα, αἴσθασις· ὧν αἱ μὲν δύο τῶ λόγω ἀρχαί ἐντι, οἷον νόος καὶ αἴσθασις, τὰ δὲ δύο τέλη οἷον ἐπιστάμα καὶ δόξα. Τὸ δὲ ὅμοιον ἀεὶ τῶ ὁμοίω γνωστικόν, ὅθεν φανερὸν ὅτι ὁ μὲν νόος ἐν ἁμῖν τῶν νοατῶν γνωστικός, ἁ δ' ἐπιστάμα τῶν ἐπιστατῶν, ἁ δὲ δόξα τῶν δοξαστῶν, ἁ δ' αἴσθασις τῶν αἰσθατῶν. Διόπερ ὧν δεῖ μεταβαίνειν ἀπὸ μὲν τῶν αἰσθατῶν ἐπὶ τὰ δοξαστὰ τὰν διάνοιαν, ἀπὸ δὲ τῶν δοξαστῶν ἐπὶ τὰ ἐπιστατά, καὶ ἀπὸ τούτων ἐπὶ τὰ νοατά· ταῦτα δὲ σύμφωνα ποιητέα θεωροῦντα [d] δι' αὐτῶν ἀλάθειαν. Διωρισμένως δὲ τούτων τὰ νοατὰ [e] δεῖ νοῆσαι, καθάπερ γραμμὰν δίχα τετμαμέναν καὶ ἴσα πάλιν ἑκατέρων τμάματα τετμαμένα. ἔχουσαν [f] ἀνὰ τὸν αὐτὸν λόγον καὶ οὕτω διηρήσθω κατὰ τὸν αὐτὸν ποττὸ ὁρατόν, καὶ πάλιν ἑκάτερον οὕτω διωρίσθω, ὥστε [g] διαφέρεν σαφηνείᾳ τε καὶ ἀσαφείᾳ ποτ' ἄλλαλα. Τὸν αὐτὸν δὴ τρόπον τῶ μὲν δὴ αἰσθατῶ τὸ μὲν ἅτερον τμᾶμά ἐντι, τά τε εἴδωλα τὰ ἐν τοῖς ὕδασι καὶ ἐν τοῖς κατόπτροις, τὸ δ' ἅτερον [h] μέρος, ὧν αὗται αἱ [i] εἰκόνες, φυτὰ καὶ ζῷα· τῶ δὲ νοατῶ τὸ μὲν ἀνάλογον

---

et sua natura secundarum. Namque ut illa nobis animæ principium est, ita hic corporis. Porro mens de præstantissimis rebus judicat, sensus de utilissimis. Quippe quomodo sensus corporis causa atque ad illud juvandum procreatus est : sic mens ad has res prudenter considerandas adhibetur. Præterea mens scientiæ principium est, sensus opinionis : siquidem haud aliter hic sub sensus cadentium habet perfunctionem atque illa intelligibilium. Jam vero sensibilia moventur et communia sunt, intelligibilia consistunt ac singularia apparent. Similiter sensus quoque ac mens se habent. Etenim sensus quidem ad id quod sentiri potest refertur; hoc autem et movetur et mutatur, neque unquam quiescit, ideoque forte tum magis ac minus, tum melius ac deterius sentitur : mens vero ad id quod intelligi potest refertur, hoc autem naturæ suæ convenienter motu caret, ideoque nec magis nec minus, neque melius neque deterius intelligitur. Jam quemadmodum mens primum et exemplum conspicit, sic sensus simulacrum et secundum. Nimirum ut mens non simpliciter hominem considerat : ita simpliciter sensus solis orbem vel artificum opera. Accedit quod mens quidem unitatis et puncti instar individua et indiscreta est : similiter omnis res intelligibilis. Forma enim neque finis neque terminus corporis est, sed tantum figuratio rei, quatenus res est : at sensus dividi ac separari potest. Nempe eorum quæ sunt alia sensu, alia opinione, alia scientia, alia denique intellectu comprehenduntur. Et corpora quidem quæ resistunt sensu comprehenduntur; opinione autem quæ formas habent, ut imagines, velut homo quidam hominis, et triangulum quoddam trianguli; scientiâ vero quæ necessario formis eveniunt, ut in geometria figuris; intellectu denique cum ipsæ formæ, tum doctrinarum principia, ut ipse circulus, ipsum triangulum, ipsa sphæra. Jam in anima quoque nostra quattuor cernuntur cognoscendi facultates, mens, scientia, opinio, sensus; e quibus duo rationis principia sunt, mens ac sensus, duo fines, scientia et opinio. Quum porro simile semper a simili cognoscatur, efficitur ut mens nostra quæ sub intellectum cadunt cognoscat, scientia quæ sub scientiam, opinio quæ sub opinionem, sensus quæ sub sensum. Quamobrem transeundum est a sensibilibus ad opinabilia, ab opinabilibus ad ea quæ sub scientiam cadunt atque ab his ad intelligibilia : hæc autem apte inter se conjungenda sunt per ea veritatem spectanti. Ex his intelligibilia definite cogitari oportet, tanquam lineam bifariam divisam et æqualia rursus utriusque partis segmenta pro pari portione habentem : atque ita dispertita sit linea pro portione oculis conspicua, rursusque utraque pars sic distincta sit, ut perspicuitate et obscuritate inter se differant. Eodem modo sensibilium alterum segmentum continet simulacra in aquis et speculis repercussa, alterum plantas et animalia, quorum sunt istæ imagines : intelligibilium vero

ἔχον ὡς αἱ εἰκόνες τὰ περὶ μαθήματα γένεά ἐντι [l]. Οἱ γὰρ περὶ γαμετρίαν [m], ὑποθέμενοι τό τε περισσὸν καὶ τὸ ἄρτιον καὶ σχήματα καὶ γωνιᾶν τρισσὰ εἴδεα, ἐκ τούτων πραγματεύονται τὰ λοιπά· τὰ δὲ πράγματα ἐῶντι ὡς εἰδότες, λόγον τε οὐκ ἔχοντι διδόμεν οὔθ' αὐτοῖς [n] οὔτ' ἄλλοις, ἀλλὰ τοῖς μὲν αἰσθατοῖς, ὡς εἰκός, χρῶνται, ζατοῦντι δὲ οὐ ταῦτα, οὐδὲ τούτων ἕνεκα ποιεῦντι τὼς λόγως, ἀλλὰ τᾶς διαμέτρω χάριν καὶ αὐτῶ τετραγώνω. Τὸ δεύτερον τμᾶμά ἐντι τῶ νοατῶ, περὶ δ ἁ [o] διαλεκτικὰ κατασχολεῖται [p]. Αὕτα [q] γὰρ τῷ ὄντι οὐ τὰς ὑποθέσιας [r], ἀλλ' ἀρχάς τε καὶ ἐπιβάσιας ποιεῖται, μέχρι ἂν ἐπ' ἀνυπόθετον [s] τῶ παντὸς ἀρχὰν ἔλθῃ, καὶ πάλιν αὐτᾶς ἐχομένα καταβῇ [t] ἐπὶ τὰν τελευτάν, οὐδενὶ προσχρωμένα [u] αἰσθατῷ, ἀλλ' εἴδεσιν αὐτοῖς δι' αὐτῶν. Ἐπὶ δὲ τέτταρσι [x] τούτοις τμάμασι καλῶς ἔχει διανέμεν καὶ τὰ πάθεα τᾶς ψυχᾶς, καὶ καλέσαι νόασιν μὲν τὸ [y] ἐπὶ τῶ ἀκροτάτω, διάνοιαν δὲ ἐπὶ τῶ δευτέρω, ἐπὶ δὲ τῶ τρίτω πίστιν, εἰκασίαν δὲ ἐπὶ τῶ τετάρτω.

(Stobæus Eclog. lib. I cap. 40 pag. 317 seqq. ed. Gaisford. usque ad verba ἁ δὲ δόξα τῶν δοξαστῶν, ἁ δὲ αἴσθασις τῶν αἰσθατῶν. Reliqua servavit Jamblichus in Villoisoni Anecdotis Græcis tom. II pag. 199. Congruit autem hic locus cum iis quæ leguntur apud Platonem de Republ. lib. VI p. 510 seq. Emendavi : [a] φύσι πράτων; codd. φύσει πρῶτον vel πράτων. [b] φύσι δευτέρων; libri φύσει δευτέρων. [c] τὰς χειροτεχνᾶν ἐργασίας βλέπει; codd. τὰς χειροτεχνατῶν. [d] ποιητέα θεωροῦντα; cod. ποιητά, θεωρούμενα. [e] τούτων τὰ νοατὰ; cod. τούτων τὰ μὲν ταῦτα. [f] ἔχουσαν; deest in cod. [g] κατὰ; cod. καὶ. [h] ὥστε διαφέρεν σαφηνείᾳ τε καὶ ἀσαφείᾳ ποτ' ἄλλαλα; cod. καὶ διαφέρεν σαφηνείᾳ τε καὶ ἀσαφείᾳ ποττ' ἄλλα. [i] ἅτερον, cod. ἕτερον. [k] αὖται αἱ; cod. ταῦτ'. [l] γένεά ἐντι; cod. γένη ἐντί. [m] γαμετρίαν; cod. γεωμετρίαν. [n] οὔθ' αὐτοῖς; cod. οὔτ' αὐτοῖς. [o] ἁ διαλεκτικὰ; cod. διαλεκτικά. [p] κατασχολεῖται; cod. κατασχόληται. [q] αὕτα; cod. αὐτά. [r] τῷ ὄντι οὐ τὰς ὑποθέσιας, ἀλλ' ἀρχάς τε καὶ ἐπιβάσιας ποιεῖται; cod. τῷ ὄντι τὰς ὑποθεσίας, ἀλλ' ὑποθεσίας, ἀλλ' ἀρχάς τε καὶ ἐπιβασίας ποιεῖται. [s] μέχρι ἂν ἐπ' ἀνυπόθετον τῶ παντὸς ἀρχὰν ἔλθῃ; cod. μέχρι τῶ ἀνυποθέτω ἐπὶ παντὸς ἀρχὰν ἔλθῃ. [t] καὶ πάλιν αὐτᾶς ἐχομένα καταβῇ; cod. καὶ πάλιν ἐχομένα καταβᾶ. [u] οὐδενὶ προσχρωμένα; cod. οὐδενὶ προσχρώμενα. [x] τέτταρσι; cod. τέταρσι. [y] καὶ καλέσαι νόασιν μὲν τὸ ἐπὶ τῶ ἀκροτάτω; cod. καὶ καλέσαι τὸ νοάσεμεν ἐπὶ τῶ ἀκροτάτω.)

δ'. Ἐκ τοῦ περὶ ἀρχῶν.

IV. Ἀνάγκα καὶ δύο ἀρχὰς ἦμεν τῶν ὄντων, μίαν μέν, τὰν συστοιχείαν ἔχουσαν τῶν τεταγμένων καὶ ὁριστῶν, ἑτέραν δὲ τὰν συστοιχείαν ἔχουσαν τῶν ἀτάκτων καὶ ἀορίστων. Καὶ τὰν μὲν ῥητὰν καὶ λόγον ἔχουσαν καὶ τὰ ἐόντα ὁμοίως συνέχεν, καὶ τὰ μὴ ἐόντα ὁρίζεν καὶ συντάσσεν [a]. Πλατιάζουσαν γὰρ ἀεὶ τοῖς γινομένοις εὐλόγως καὶ εὐρύθμως ἀνάγεν ταῦτα, καὶ τὸ καθ' ὅλω ὠσίας τε καὶ εἴδεος μεταδιδόμεν. Τὰν δ' ἄλογον καὶ ἄῤῥητον καὶ τὰ συντεταγμένα λυμαίνεσθαι, καὶ τὰ ἐς γένεσίν τε καὶ ὠσίαν παραγινόμενα διαλύεν· πλατιάζουσαν γὰρ ἀεὶ τοῖς πράγμασιν ἐξομοιοῦν αὔταυτα [b]. Ἀλλ' ἐπείπερ ἀρχαὶ δύο κατὰ γένος ἀντιδιαιρούμεναι τῶν πραγμάτων [c] τυγχάνοντι, τῷ τὰν μὲν ἦμεν ἀγαθοποιόν, τὰν δ' ἦμεν κακοποιόν, ἀνάγκα καὶ δύο λόγως ἦμεν, τὸν μὲν ἕνα τᾶς ἀγαθοποιῶ φύσιος, τὸν δ' ἕνα τᾶς κακοποιῶ. Διὰ τοῦτο καὶ τὰ

---

segmentum parti imaginum plenæ respondens disciplinarum genera repræsentat. Etenim geometræ postquam numeros impares et pares et figuras angulorumque triplicem speciem posuerunt, his convenienter reliqua pertractant : ipsas autem res prætermittunt quasi scientes, earumque neque sibi neque aliis rationem reddere possunt, sed rebus quæ sub sensus cadunt, ut par est, utuntur neque has perscrutantur, neque propter eas multa verba faciunt, sed de diametro et ipso quadrato disserunt. Alterum segmentum est intelligibilium, circa quæ dialectica versatur. Hæc enim revera non argumenta, sed principia et fundamenta ponit, donec ad universi principium non positum perveniat, atque illi rursus adhærens ad finem descendat, nulla re quæ subjecta sensibus est, sed ipsis per se rerum formis utens. Per hæc quattuor segmenta decet etiam animi affectiones dispertire, atque appellare summæ partis affectionem intelligentiam, secundæ cogitationem, tertiæ fidem, quartæ imaginationem.

4. E libro de Principiis.

IV. Duo etiam necesse est rerum esse principia, alterum seriem ordinatorum et finitorum, alterum inordinatorum et infinitorum complectens : et illud quidem effabile ac rationis particeps tum ea quæ sunt continere, tum quæ non sunt definire et componere, semperque rebus adjunctum rationi ac numero convenienter eas producere universoque naturam ac speciem largiri : hoc vero ratione carens et ineffabile tum composita corrumpere, tum nascentia dissolvere perpetuoque rebus adhærens ipsas sibi assimilare. Sed quoniam generatim duo contrariarum rerum principia sunt, quod alterum boni sit, alterum mali causa : duæ quoque rationes, altera beneficæ, altera maleficæ naturæ requiruntur. Quapropter tam artis quam naturæ opera hæc duo primum nanciscuntur, formam et substantiam. Ex his forma facit, ut certum quid res sit : substantia subjecta formam accipit. Atqui nec

τέχνα καὶ τὰ φύσι [d] γινόμενα δύο τούτων πρᾶτον μετείληφεν, τᾶς τε μορφῶ καὶ τᾶς ὠσίας. Καὶ ἁ μὲν μορφὼ ἐντι αἰτία τῶ τόδε τι ἦμεν· ἁ δ' ὠσία τὸ ὑποκείμενον, παραδεχόμενον τὰν μορφώ. Οὔτε δὲ τᾷ ὠσίᾳ οἷόν τέ ἐντι μορφᾶς μετῆμεν αὐτᾷ ἐξ αὐτᾶς, οὔτε μὰν τὰν μορφὼ γενέσθαι περὶ τὰν ὠσίαν, ἀλλ' ἀναγκαῖον ἑτέραν τινὰ ἦμεν αἰτίαν, τὰν κινάσοισαν τὰν ἐστὼ τῶν πραγμάτων ἐπὶ τὰν μορφώ. Ταύταν δὲ τὰν πράταν τᾷ δυνάμι [e] καὶ καθυπερτάταν ἦμεν τᾶν ἀλλᾶν· ὀνομάζεσθαι δ' αὐτὰν ποθήκει θεόν· ὥστε τρεῖς ἀρχὰς ἦμεν ἤδη, τόν τε θεόν, καὶ τὰν ἐστὼ τῶν πραγμάτων, καὶ τὰν μορφώ. Καὶ τὸν μὲν θεὸν τεχνίταν καὶ τὸν κινέοντα, τὰν δ' ἐστὼ τὰν ὕλαν καὶ τὸ κινεόμενον, τὰν δὲ μορφὼ τὰν τέχναν ποθ' ἂν κινέεται [f] ὑπὸ τῶ κινέοντος ἁ ἐστώ. Ἀλλ' ἐπεὶ τὸ κινεόμενον ἐναντίας ἑαυτῷ δυνάμιας ἴσχει τὰς τῶν ἁπλῶν σωμάτων, τὰ δ' ἐναντία συναρμογᾶς τινος δεῖται καὶ ἑνώσιος, ἀνάγκα ἀριθμῶν δυνάμιας καὶ ἀναλογίας καὶ τὰ ἐν ἀριθμοῖς καὶ γαμετρικοῖς [g] δεικνύμενα παραλαμβάνεν, ἃ καὶ συναρμόσαι καὶ ἑνῶσαι τὰ ἐναντιώτατα [h] δυνασεῖται τὰν ἐστὼ τῶν πραγμάτων ποττὰν μορφώ. Καθ' αὐτὰν μὲν γὰρ ἔσσα ἁ ἐστὼ ἄμορφός ἐντι, κιναθεῖσα δὲ ποτὶ τὰν μορφὼ ἔμμορφος γίνεται καὶ λόγον ἔχοισα τὸν τᾶς συντάξιος. Ὁμοίως δὲ εἴ τι κινέεται [i] τὸ κινεόμενόν ἐντι καὶ τὸ πράτως κινέον· ὥστ' ἀνάγκα τρεῖς ἦμεν τὰς ἀρχάς, τάν τε ἐστὼ τῶν πραγμάτων, καὶ τὰν μορφώ, καὶ τὸ ἐξ αὐτῶ κινατικὸν καὶ ἀόρατον τᾷ δυνάμι. Τὸ δὲ τοιοῦτον οὐ νόον μόνον ἦμεν δεῖ, ἀλλὰ καὶ νόω τι κρέσσον· νόω δὲ κρέσσον ἐντί, ὅπερ ὀνομάζομεν θεόν, φανερῶς. Ὁ μὲν ὦν τῶ ἴσω λόγος περὶ τὰν ῥητὰν καὶ λόγον ἔχοισαν φύσιν ἐντί· ὁ δὲ τῶ ἀνίσω περὶ τὰν ἄλογον καὶ ἄρρητον· αὐτὰ δ' ἐντὶ ἁ ἐστώ, καὶ διὰ τοῦτο γένεσις καὶ φθορὰ γίνεται περὶ ταύταν, καὶ οὐκ ἄνευ ταύτας.

(Stobæus Eclog. lib. I cap. 35 pag. 278 seqq. ed. Gaisf. Emendavi : [a] συντάσσεν; codd. συντάσσειν. [b] αὔταυτα cum Gaisfordio; codd. αὖ ταῦτα. [c] τῶν πραγμάτων; codd. τὰ πράγματα. [d] φύσι; codd. φύσει. [e] δυνάμι; libri δυνάμει. [f] ποθ' ἂν κινέεται cum Kœnio ad Greg. Corinth. pag. 194; codd. καὶ πόθεν κινέεται. [g] γαμετρικοῖς δεικνύμενα παραλαμβάνεν; codd. γεωμέτροις δεικνύμενα παραλαμβάνει vel παραλαμβάνειν. [h] ἃ καὶ συναρμόσαι καὶ ἑνῶσαι τὰ ἐναντιώτατα δυνασεῖται τὰν ἐστὼ τῶν πραγμάτων ποττὰν μορφώ cum Kœnio ad Greg. Corinth. p. 277; codd. ἃ καὶ συναρμόσαι ἑνῶσαι τᾷ δυνάσει τε ἐν τὰ ἐστὼ τῶν πραγμάτων ποττὰν μορφάν. [i] ὁμοίως δὲ εἴ τι κινέεται τὸ κινεόμενόν ἐντι καὶ τὸ πράτως κινέον; codd. ὁμοίως δὲ καὶ τὸ συσκινέεται τὸ κινεόμενόν ἐστι τὸ πράτως κινέον.)

V. Ἀρχὰ τᾶς τῶν ἐόντων γνώσιος τὰ αὐτόθεν φαινόμενα. Τῶν δ' αὐτόθεν φαινομένων τὰ μέν ἐντι νοατά, τὰ δ' αἰσθατά· νοατὰ μὲν τὰ ἀκίνητα, αἰσθατὰ δὲ τὰ κινεόμενα. Κριτήριον δὲ τῶν μὲν νοατῶν ὁ κόσμος, τῶν δ' αἰσθατῶν ἁ αἴσθασις. Τῶν δὲ μὴ αὐτόθεν φαινομένων τὰ μέν ἐντι ἐπιστατά, τὰ δὲ δοξαστά· ἐπιστατὰ μὲν τὰ ἀκίνητα, δοξαστὰ δὲ τὰ κινεόμενα. Δεῖ δὲ ταῦτα τρία νοᾶσαι, τό τε κρῖνον καὶ τὸ κρινόμενον καὶ ποθ' ὅπερ κρίνεται· καὶ τὸ μὲν κρῖνον ἦμεν τὸν νόον καὶ τὰν αἴσθασιν· τὸ δὲ κρινόμενον τὸν λόγον, ποθ' ἅπερ δὲ κρίνεται τὸ αὐτόθεν φαινόμενον· τούτου δὲ τὸ μὲν νοατόν, τὸ δὲ αἰσθατόν. Ἐπικρίνει δὲ ὁ νόος τὸν λόγον, ὅκα μὲν ποτὶ τὸ νοατὸν ἐπιβάλλων, ὅκα δὲ ποτὶ τὸ αἰσθατόν. Ὅκα μὲν γὰρ περὶ νοατῶν

---

substantia per se potest formam accipere, nec illa hanc vestire, sed major alia flagitatur causa, quæ rerum substantiam ad formam perducat, eademque prima ac potentissima sit : quam quidem vocari convenit Deum. Itaque tria jam sunt principia, Deus, rerum substantia et forma : Deus quidem opifex et motor, substantia autem materia et mota, forma denique ars, ad quam a motore substantia perducitur. Jam quia quod movetur contrarias in se habet corporum simplicium vires, contraria autem compagem quandam et copulam desiderant : numerorum vires ac proportiones et arithmeticas geometricasque demonstrationes oportet assumere, quæ res maxime contrarias substantiam cum forma conjungere et copulare possint. Nam per se quidem substantia informis est, formæ autem admota figuratur et compositionis rationem accipit. Si quid autem movetur, pariter motum atque id quod primum movet exstare oportet. Quocirca tria sunt ponenda principia, rerum substantia, forma, quodque per se movet ac vi oculis inaccessa valet. Tale quid autem non tantum mentem esse, sed etiam menti præstare oportet : menti autem manifesto præstat, quem Deum vocamus. Quamobrem æqualis quidem ratio ad effabilem et rationis participem naturam, inæqualis autem ad rationis expertem et ineffabilem pertinet : ea vero substantia est, ideoque in hac, non sine hac ortus et interitus cernuntur.

V. Rerum cognitionis principium ab iis quæ cernuntur sumitur. Ea vero partim intellectu partim sensu percipiuntur, illo immobilia, hoc mobilia : quorum priora mundo, posteriora sensu judicantur. Quæ autem non cernuntur, partim scientia partim opinione comprehenduntur, illa immobilia, hac mobilia. Tria autem hæc flagitantur, quod judicet, quod judicetur et ad quod judicetur : quorum primum est mens ac sensus, alterum vero ratio, tertium denique id quod cernitur : id quod partim intellectu, partim sensu percipitur. Judicat porro rationem mens, nunc intelligibilibus, nunc sensibilibus inhærens. Quando enim ratio de intelligibilibus quærit, ad hæc intenditur mens ; quando de sensibilibus, ad illa advertitur. Idcirco cum fictæ figurarum et numerorum descriptiones in geometria sunt, tum quæstiones de causis factorum et

μαστεύηται ὁ λόγος, ποτὶ τὸ νοατὸν ποτιβάλλει, ὅκα δὲ περὶ αἰσθατῶν, ποτὶ τὸ αἰσθατόν. Καὶ δι' αὐτὸ ψευδογραφίαι ἐν γαμετρίᾳ κατὰ σχήματα καὶ ἀριθμοὺς ἐμφαίνονται, αἰτιολογίαι δὲ καὶ εἰκοτολογίαι ἐν φυσιολογίᾳ καὶ πολιτικᾷ κατὰ γένεσιν καὶ πράξιας. Τὸ μὲν γὰρ ὅτι ἐν διπλόῳ λόγῳ ἁρμονία τυγχάνει, ποτὶ τὸ νοατὸν ποτιβάλλων ὁ λόγος γινώσκει· τὸ δ' ὅτι συμφωνεῖ ὁ διπλόος λόγος, διὰ τᾶς αἰσθάσιος ἐπιμαρτυρεῖται. Καὶ τῶν μαχανικῶν δὲ τοὶ λόγοι ποττὰ νοατὰ ποτιβάλλονται σχήματα καὶ ἀριθμὼς καὶ ἀναλογίας, τὰ δὲ ἀποτελέσματα ποτὶ τὰ αἰσθατά· μεθ' ὕλας γὰρ ταῦτα θεωρεῖται καὶ κινάσιος. Καθόλω δὲ ἀμάχανον γνῶμεν τὸ διὰ τί ἐν ἑκάστῳ, μὴ προειδότας τὸ τί ἐντι ἕκαστον. Κρίνεται δὲ τὸ μὲν τί ἐντι ἕκαστον τῶν ἐόντων τῷ νόῳ· τὸ δὲ διὰ τί [a] ἐντι, ἢ ὅτι οὕτως ἔχει, λόγῳ καὶ αἰσθάσι [b]· λόγῳ μέν, ὅκα δεῖξίν τινος σαμάνωμεν διὰ συλλογισμῶ, ὑπάρχοντος ἐξ ἀνάγκας, αἰσθάσι δέ, ὅκα ἐπιμαρτυρώμεθα τὸν λόγον διὰ τᾶς αἰσθάσιος.

(Stobæus Eclog. lib. I cap. 35 pag. 283 seq. ed. Gaisf. Scripsi : [a] διὰ τί; codd. ὅτι. [b] αἰσθάσι; codd. αἰσθάσει.)

ε'. Ἐκ τοῦ περὶ τοῦ ὄντος.

VI. Πάντα μοι δοκοῦντι ἁμαρτάνεν [a] οἱ λέγοντες δύο λόγως περὶ παντὸς λέγεσθαι ἐναντίως ἀλλάλοις ναμερτέας ἀμφοτέρως. Ἐγὼ δὲ πρᾶτον τοῦτ' ἀδύνατον νομίζω, ἀμφοτέρων πιστῶν ἐόντων, ἐναντίως ἦμεν ἀλλάλοις, ὡς τὸ καλὸν τῷ καλῷ καὶ τὸ λευκὸν τῷ λευκῷ. Ἀλλὰ γὰρ οὐχ οὕτως ἔχει, ἀλλά ἐντι τὸ καλὸν καὶ αἰσχρὸν ἐναντία, καὶ τὸ λευκὸν καὶ τὸ μέλαν. Οὕτω δὲ καὶ τὸ ναμερτὲς τῷ ψεύδει φαμέν, οὐδὲ ναμερτέας δύο λόγως λέγεσθαι, ἢ δύο ψευδέας, ἀλλὰ τὸν μὲν ἀλαθῆ, τὸν δὲ ψεύσταν. Ὁ γὰρ τὰν ψυχὰν ἐπαινῶν τῶ ἀνθρώπω καὶ τὸ σῶμα μεμφόμενος οὐχ ὑπὲρ ταυτῶ ἂν λέγοι [b] τι, εἰ μὴ καὶ εἴ τι περὶ τᾶς γᾶς λέγοι καὶ τῶ οὐρανῶ ταυτόν. Ταῦτα γὰρ δύο ἐντί, ἀλλ' οὐχ ἓν ὄνομα. Καὶ τί δὲ θέλω καὶ τοῦτο δεῖξαι; Ὁ γὰρ λέγων περὶ τῶν Ἀθαναίων, ὡς ἐντι κατὰ λόγον ἄνδρες ἀγαθοί, καὶ ὁ λέγων, ὥς ἐντι περὶ χάριτας φαῦλοι, οὐκ ἐναντία λέγοντι. Τὰ γὰρ ἐναντία περὶ ταυτὸ πρᾶγμα ἀντιχέαται ἀλλάλοις, ταῦτα δὲ δύο ἐντὶ πράγματα.

(Stobæus Eclog. lib. II cap. 2 pag. 521 seq. ed. Gaisf. Scripsi : [a] ἁμαρτάνεν; codd. ἁμαρτάνειν. [b] ἂν λέγοι τι; libri λέγοι τι.)

VII. Ἀρχύτας ἔλεγεν ἐν τῇ κινήσει τῇ φυσικῇ ἐνεῖναι τὴν τοῦ ἴσου ἀναλογίαν (κινεῖσθαι γὰρ ἀνάλογον πάντα), ταύτην δὲ μόνην εἰς αὑτὴν ἀνακάμπτειν, ὥστε κύκλους ποιεῖν καὶ στρογγύλα, ὅταν ἐγγένηται.

(Aristoteles Problem. XVI, 9 pag. 915 ed. Bekker.

ϛ'. Ἐκ τῶν ὅρων.

VIII. Τί ἐστι νηνεμία; Ἠρεμία ἐν πλήθει ἀέρος. Τί ἐστι γαλήνη; Ὁμαλότης θαλάττης.

(Aristoteles Metaph. lib. VII, 2 pag. 1043 ed. Bekker.)

---

probabiles conjecturæ de rerum ortu in physiologia ac prudentia civili. Etenim harmoniam quidem duplici ratione contineri, ratio intelligibilibus intenta videt : convenire autem duplicem hanc rationem sensus docet. Quin etiam mechanici allatis rationibus figuras et numeros et proportiones ad intelligibilia accommodant, at effectus a l sensibilia, quandoquidem in materia ac motu cernuntur. Omnino fieri nequit, ut quis suam cujusque rei causam cognoverit, nisi ejus naturam ante consideraverit. Ac natura quidem cujusque rei mente judicatur, causa autem et modus ratione et sensu : ratione quidem, quum aliquid necessario efficitur; sensu vero, quum sensum rationis testem adhibemus.

5. E libro de Ente.

VI. Valde falli mihi videntur qui de quavis re duas sententias inter se contrarias, sed utramque veram pronuntiari posse dicunt. Ego primum hoc fieri non posse arbitror, ut si duæ sententiæ rectæ afferantur, eæ inter se contrariæ sint, quemadmodum pulchrum pulchro et album albo opponatur. Verumenimvero non ita se habet res, sed contraria sunt pulchrum ac deforme, album et nigrum. Sic etiam verum falso contrarium statuimus, neque duas veras sententias dici contendimus, aut duas falsas, sed alteram veram, alteram falsam. Non enim qui animum hominis laudat, corpus reprehendit, de eodem argumento disserit, nisi forte etiam qui de terra ac de cœlo agit, de eodem agere dicendus est; siquidem duo sunt illa, non unum. Sed quid opus est verbis ad hoc demonstrandum? Qui enim Athenienses doctos esse ait et qui eos ingratos vocat, ii non contraria dicunt. Quum enim inter se contraria pugnent in eodem, hic utique duo cernuntur.

VII. Archytas dicebat in motu naturali æquam proportionem inesse (omnia enim proportione moveri), hanc autem solam in sese reverti, adeo ut data occasione orbes et rotunda volvat.

6. E libro de Definitionibus.

VIII. Quid est malacia? Quies in multitudine aeris. Quid est maris tranquillitas? Ejus æqualitas.

ζ'. Ἐκ τοῦ περὶ τοῦ παντός.

IX. Ὁ χρόνος ἤτοι τὸ παράπαν οὐκ ἐντί, ἢ ἀμυδρῶς καὶ μόλις ἐντί. Ὧ γὰρ τὸ μὲν παρεληλυθὸς οὐκ ἔτι ἐντί, τὸ δὲ μέλλον οὐδέπω ἐντί, τὸ δὲ νῦν ἀμερὲς καὶ ἀδιαίρετον, πῶς ἂν ὑπάρχοι τοῦτο κατ' ἀλάθειαν;

(Simplicius Comment. in Aristotelis Phys. fol. 137.)

Γ. ΛΟΓΙΚΑ.

Περὶ τῶν δέκα κατηγοριῶν βιβλίον *.

